Πόθεν μαθήσῃ πόσσον εἰς ἕω λείπει
Τὸν ὡρονόμον θύσας με; . . . . .

βοῦσα δέ τις αὐτῶν εἶπεν· Ὦ αὕτη, ἀλλ' εἰ οὐ σοὶ τοῦτο συνέφερεν, οὐκ ἂν ἡμῖν αὐτὸ συνεβούλευες.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ πονηροὶ τῶν ἀνθρώπων οὐ δι' εὔνοιαν τὰς πρὸς τοὺς πέλας ποιοῦνται συμβουλίας, διὰ δὲ τὸ αὐτοῖς συμφέρον.

8. ΑΛΩΠΗΞ ΚΑΙ ΒΑΤΟΣ.

Αλώπηξ φραγμὸν ἀναβαίνουσα, ἐπειδὴ ὀλισθήσασα καταπίπτειν ἔμελλεν, ἐπελάβετο πρὸς βοήθειαν βάτου. Καὶ δὴ τοὺς πόδας ἐπὶ τοῖς ἐκείνης κέντροις αἱμάξασα, καὶ ἀλγήσασα, πρὸς αὐτὴν εἶπεν· Οἴμοι· καταφυγοῦσάν με γὰρ ἐπὶ σὲ, ὡς ἐπὶ βοηθὸν, σὺ χεῖρον διέθηκας. Ἀλλ' ἐσφάλης, ὦ αὕτη, φησὶν ἡ βάτος, ἐμοῦ βουληθεῖσα ἐπιλαβέσθαι, ἥτις πάντων ἐπιλαμβάνεσθαι εἴωθα.

Ὁ μῦθος δηλοῖ, ὅτι οὕτω καὶ τῶν ἀνθρώπων μάταιοι, ὅσοι βοηθοῖς προστρέχουσιν, οἷς τὸ ἀδικεῖν μᾶλλον ἔμφυτον.

ΑΛΛΩΣ.

Φραγμοὺς ἀλώπηξ ὡς ὑπερβαίνειν θέλεν,
Ὀλισθάνουσα, καὶ βάτου δεδραγμένη,
Ἔξεστο πέλμα, 'λοιδόρει δὲ τὴν βάτον.
Μέμφου σεαυτὴν, μὴ 'μέ περ, κείνη φάτο.

Πρὸς τοὺς τὰ ἑαυτῶν κακὰ σιωπῶντας, τὰ δὲ τῶν ἑτέρων κατηγοροῦντας.

9. ΑΛΩΠΗΞ ΚΑΙ ΚΡΟΚΟΔΕΙΛΟΣ.

Αλώπηξ καὶ κροκόδειλος ἠμφισβήτουν περὶ εὐγενείας. Πολλὰ δὲ τοῦ κροκοδείλου ὑπερήφανα περὶ τῆς τῶν προγόνων

διεξιόντος λαμπρότητος, ὡς γεγυμνασιαρχηκότων, ἡ ἀλώπηξ ὑπολαβοῦσα, Ὦ τὰν, εἶπεν, ἀλλὰ κἂν μὴ σὺ λέγῃς, ἀλλ' ἀπὸ τοῦ δέρματός γε φαίνῃ, ὡς ἐκ παλαιῶν ἐτῶν εἶ γεγυμνασμένος.

Ὁ μῦθος δηλοῖ, ὅτι τῶν ψευδομένων ἀνδρῶν ἔλεγχος τὰ πράγματα γίνεται.

10. ΑΛΕΚΤΡΥΟΝΕΣ ΚΑΙ ΠΕΡΔΙΞ.

Ἀλεκτρυόνας τις ἔχων ἐπὶ τῆς οἰκίας, πριάμενος καὶ πέρδικα, σὺν ἐκείνοις ἀφῆκε νέμεσθαι. Τῶν δὲ, τυπτόντων καὶ ἀπελαυνόντων, ἐκεῖνος ἠθύμει σφόδρα, νομίζων ὡς ἀλλόφυλος ταῦτα πάσχειν ὑπὸ τῶν ἀλεκτρυόνων. Ὡς δὲ μετὰ μικρὸν κἀκείνους ἑώρακε μαχομένους, καὶ ἀλλήλους κόπτοντας, τῆς λύπης ἀπολυθεὶς, εἶπεν· Ἀλλ' ἔγωγε ἀπὸ τοῦ νῦν οὐ λυπήσομαι, ὁρῶν καὶ αὐτοὺς μαχομένους ἀλλήλοις.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ φρόνιμοι ῥᾳδίως φέρουσι τὰς παρὰ τῶν ἀλλοτρίων ὕβρεις, ὅταν αὐτοὺς ἴδωσι μηδὲ τῶν οἰκείων ἀπεχομένους.

11. ΑΛΩΠΗΞ.

Ἀλώπηξ, εἰς οἰκίαν ἐλθοῦσα ὑποκριτοῦ, καὶ ἕκαστα τῶν αὐτοῦ σκευῶν διερευνωμένη, εὗρε καὶ κεφαλὴν μορμολυκείου εὐφυῶς κατεσκευασμένην, ἣν καὶ ἀναλαβοῦσα ταῖς χερσὶν, ἔφη· Ὢ οἵα κεφαλὴ, καὶ ἐγκέφαλον οὐκ ἔχει.

Ὁ μῦθος πρὸς ἄνδρας μεγαλοπρεπεῖς μὲν τῷ σώματι, κατὰ δὲ ψυχὴν ἀλογίστους.

12. ΑΝΘΡΑΚΕΥΣ ΚΑΙ ΓΝΑΦΕΥΣ.

Ἀνθρακεὺς, ἐπί τινος οἰκῶν οἰκίας, ἠξίου καὶ γναφέα

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

παραγενόμενον αὐτῷ συνοικῆσαι. Ὁ δὲ γναφεὺς ὑπολαβὼν ἔφη· Ἀλλ' οὐκ ἂν ἔγωγε τοῦτο πρᾶξαι δυναίμην· δέδια γὰρ, μήπως, ἅπερ ἐγὼ λευκαίνω, αὐτὸς ἀσβόλης πληροῖς.

Ὁ μῦθος δηλοῖ, ὅτι πᾶν τὸ ἀνόμοιον ἀκοινώνητον.

13. ΑΛΙΕΙΣ.

Ἁλιεῖς εἷλκον σαγήνην. Βαρείας δὲ αὐτῆς οὔσης, ἔχαιρον καὶ ἐσκίρτων, πολλὴν εἶναι τὴν ἄγραν νομίζοντες. Ὡς δ' ἐπὶ τῆς ἠϊόνος αὐτὴν ἑλκύσαντες, τῶν μὲν ἰχθύων εὗρον ὀλίγους, λίθον δ' ἐν αὐτῇ παμμεγέθη, ἀθυμεῖν ἤρξαντο καὶ ἀλύειν, οὐ τοσοῦτον ἐπὶ τῇ τῶν ἰχθύων ὀλιγότητι, ὅσον, ὅτι καὶ τἀναντία προσαπειλήφασιν. Εἷς δέ τις ἐν αὐτοῖς πρεσβύτερος εἶπε· Μὴ ἀχθώμεθα, ὦ ἑταῖροι· τῇ γὰρ ἡδονῇ, ὡς ἔοικεν, ἀδελφή ἐστιν ἡ λύπη. Καὶ ἡμᾶς οὖν ἔδει, τοσαῦτα προησθέντας, πάντως τι καὶ λυπηθῆναι.

Ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ λυπεῖσθαι ἐπὶ ταῖς ἀποτυχίαις.

14. ΚΟΜΠΑΣΤΗΣ.

Ἀνήρ τις, ἀποδημήσας, εἶτα δὲ πάλιν πρὸς τὴν ἑαυτοῦ γῆν ἐπανελθὼν, ἄλλα τε πολλὰ ἐν διαφόροις ἠνδραγαθηκέναι χώραις ἐκόμπαζε, καὶ δὴ κἀν τῇ Ῥόδῳ πεπηδηκέναι πήδημα, οἷον οὐδεὶς τῶν ἐπ' αὐτοῦ δυνατὸς ἂν εἴη πηδῆσαι. Πρὸς ταῦτα δὲ καὶ μάρτυρας τοὺς ἐκεῖ παρόντας ἔλεγεν ἔχειν. Τῶν δὲ παρόντων τις ὑπολαβὼν, ἔφη· Ὦ οὗτος, εἰ ἀληθὲς τοῦτ' ἐστιν, οὐδὲν δεῖ σοι μαρτύρων. Ἰδοὺ ἡ Ῥόδος, ἰδοὺ καὶ τὸ πήδημα.

Ὁ μῦθος δηλοῖ, ὅτι ἐὰν μὴ πρόχειρος ἡ τοῦ πράγματος ἀπόδειξις ᾖ, πᾶς λόγος περιττός ἐστιν.

15. ΑΔΥΝΑΤΑ ΕΠΑΓΓΕΛΛΟΜΕΝΟΣ.

Ἀνὴρ πένης νοσῶν, καὶ κακῶς διακείμενος, ἐπειδὴ πρὸς τῶν ἰατρῶν ἀπεγνώσθη, τῶν θεῶν ἐδεῖτο, ὡς, εἰ τὴν ὑγίειαν αὐτῷ πάλιν ἐπανελθεῖν ποιήσειαν, ἑκατὸν βόας αὐτοῖς προσοίσειν ὑπισχνούμενος εἰς θυσίαν. Τῆς δὲ γυναικὸς αὐτοῦ πυθομένης, Καὶ ποῦ σοι ταῦτα, ἢν ὑγιάνῃς; ἐκεῖνος ἔφη, Οἴει γὰρ ἀναστῆναί με ἐντεῦθεν, ἵν' οἱ θεοὶ ταῦτά με ἀπαιτήσωσιν.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ ῥᾳδίως κατεπαγγέλλονται, ἅπερ τελέσαι ἔργῳ οὐ προσδοκῶσιν.

16. ΚΑΚΟΠΡΑΓΜΩΝ.

Ἀνὴρ κακοπράγμων εἰς τὸν ἐν Δελφοῖς ἧκεν Ἀπόλλωνα, πειρᾶσαι τοῦτον βουλόμενος. Καὶ δὴ λαβὼν στρουθίον ἐν τῇ χειρὶ, καὶ τοῦτο τῇ ἐσθῆτι σκεπάσας, ἔστη τε τοῦ τρίποδος ἔγγιστα, καὶ ἤρετο τὸν θεὸν, λέγων· Ὦ Ἄπολλον, ὃ μετὰ χεῖρας φέρω, πότερον ἔμπνουν ἐστὶν, ἢ ἄπνουν; βουλόμενος ὡς, εἰ μὲν ἄπνουν εἴποι, ζῶν ἀναδεῖξαι τὸ στρουθίον· εἰ δ' ἔμπνουν, εὐθὺς ἀποπνίξας, νεκρὸν ἐκεῖνο προενεγκεῖν. Ὁ δέ γε θεὸς, τὴν κακότεχνον αὐτοῦ γνοὺς ἐπίνοιαν, εἶπεν· Ὁπότερον, ὦ οὗτος, βούλει ποιῆσαι, ποίησον. Παρὰ σοὶ κεῖται γὰρ τοῦτο πρᾶξαι, ἤτοι ζῶν, ὃ κατέχεις, ἢ νεκρὸν ἀποδεῖξαι.

Ὁ μῦθος δηλοῖ, ὅτι τὸ θεῖον ἀπαραλόγιστον καὶ ἀλάθητον.

ΑΛΛΩΣ.

Ἀνὴρ κακοπράγμων ἐν γνώσει ἧκεν εἰς τὸ ἐν Δελφοῖς μαντεῖον, ἐρωτήσων πανούργως. Καὶ δὴ λαβὼν στρουθίον ἐν τῇ χειρὶ, καὶ τοῦτο σκεπάσας τῷ ἱματίῳ αὐτοῦ, καὶ σταθεὶς ἄν-

τικρυς τοῦ ἱεροῦ, ἐπηρώτησε τὸν Ἀπόλλωνα· Τί ἔχω εἰς τὰς χεῖράς μου, ἔμπνουν, ἢ ἄπνουν; βουλόμενος, ἐὰν ἄπνουν εἴπῃ, ζῶν τὸ ϛρουθίον δεῖξαι· εἰ δὲ ἔμπνουν, ἀποπνίξας προενεγκεῖν. Γνοὺς δὲ ὁ Θεὸς τὸ κακότεχνον αὐτοῦ, καὶ τὴν πονηρὰν γνώμην, εἶπεν· Ὦ οὗτος, εἰ θέλεις, δεῖξον (ἐν σοὶ γάρ ἐϛι τοῦτο πρᾶξαι) ἢ ἔμπνουν, ἢ ἄπνουν, *εἰ βούλει, ἀπόδειξον*.

Ὁ μῦθος δηλοῖ, ὅτι τὸ θεῖον απαρατήρητον καὶ ἀλάθητόν ἐϛιν.

17. ΑΛΙΕΙΣ.

Αλιεῖς, ἐξελθόντες ἐπ' ἄγραν, ἐπειδὴ πολὺν χρόνον ταλαιπωρήσαντες, οὐδὲν εἷλον, σφόδρα τε ἠθύμουν, καὶ ἀναχωρῆσαι παρεσκευάζοντο. Εὐθὺς δὲ θύννος, ὑπό του τῶν μεγίστων διωκόμενος ἰχθύων, εἰς τὸ πλοῖον αὐτῶν εἰσήλατο. Οἱ δὲ, τοῦτον λαβόντες, μεθ' ἡδονῆς ἀνεχώρησαν.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλάκις ἃ μὴ τέχνη παρέσχε, ταῦτα τύχη ἐδωρήσατο.

18. ΦΕΝΑΞ.

Ανὴρ πένης, νοσῶν, ηὔξατο τοῖς θεοῖς, εἰ διασωθείη, βοῦς ἑκατὸν εἰς θυσίαν προσοίσειν. Οἱ δὲ θεοὶ, πειρᾶσαι τοῦτον βουλόμενοι, τοῦ πάθους ἀπήλλαξαν. Ὁ δ', ἀναστὰς, ἐπειδὴ βοῶν ἠπόρει, ϛεατίνους βοῦς ἑκατὸν πλάσας, ἐπὶ τοῦ βωμοῦ θεὶς, ὡλοκαύτωσεν. Οἱ δὲ θεοὶ, βουλόμενοι αὐτὸν ἀμύνασθαι, ὄναρ ἐπιϛάντες αὐτῷ, εἶπον· Ἄπελθε εἰς τὸν αἰγιαλὸν εἰς τόνδε τὸν τόπον· ἐκεῖ γὰρ ἀττικὰς χιλίας εὑρήσεις. Ἐκεῖνος δὲ, διυπνισθεὶς, σὺν ἡδονῇ καὶ σπουδῇ πρὸς τὸν ὑποδειχθέντα τόπον ἀφίκετο, τὸ χρυσίον διερευνῶν. Ἐκεῖ δὲ δὴ πειραταῖς περιτυχὼν, ὑπ' αὐτῶν συνελήφθη. Ἁλοὺς δὲ ἤδη ἀφεθῆναι τῶν πειρατῶν ἐδεῖτο, χίλια χρυσίου τάλαντα δώσειν αὐτοῖς ὑπισχνούμενος. Ὡς δ'

οὐκ ἐπιστεύετο, ἀπαχθεὶς ὑπ' αὐτῶν, ἀπεμπωλήθη χιλίων δραχμῶν.

ὁ μῦθος δηλοῖ, ὅτι τοῖς ψευδέσι τῶν ἀνθρώπων ἐχθραίνει τὸ θεῖον.

19. ΒΑΤΡΑΧΟΙ.

Βάτραχοι δύο ἐν λίμνῃ ἐνέμοντο. Θέρους δὲ, ξηρανθείσης τῆς λίμνης, ἐκείνην καταλιπόντες, ἐπεζήτουν ἑτέραν. Καὶ δὴ βαθεῖ περιέτυχον φρέατι, ὅπερ ἰδὼν ἅτερος, θατέρῳ φησί· Συγκατέλθωμεν, ὦ οὗτος, εἰς τόδε τὸ φρέαρ. Ὁ δὲ ὑπολαβὼν εἶπεν· Ἂν οὖν καὶ τὸ ἐνθάδε ὕδωρ ξηρανθῇ, πῶς ἀναβησόμεθα.

ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ ἀπερισκέπτως προσιέναι τοῖς πράγμασιν.

ΑΛΛΩΣ.

Βάτραχοι δύο, ξηρανθείσης τῆς λίμνης, ἐν ᾗ κατῴκουν, περιήεσαν ζητοῦντες ποῦ καταμεῖναι. Καὶ ἐλθόντες εἰς φρέαρ βαθὺ, καὶ κύψαντες κάτω, καὶ ἰδόντες τὸ ὕδωρ, ὁ μὲν εἷς συνεβούλευεν, ἵνα πηδήσωσι παρευθὺς κάτω· ὁ δ' ἕτερος εἶπεν, Ἢν δὲ καὶ τοῦτο ξηρανθῇ, πῶς δυνησόμεθα ἀναβῆναι;

ὁ μῦθος δηλοῖ, ὅτι ἄνευ συμβουλῆς μὴ δεῖ ποιεῖν τι.

20. ΓΕΡΩΝ ΚΑΙ ΘΑΝΑΤΟΣ.

Γέρων ποτὲ, ξύλα τεμὼν ἐξ ὄρους, κἀπὶ τῶν ὤμων ἀράμενος, ἐπειδὴ πολλὴν ὁδὸν ἐπηχθισμένος ἐβάδισεν, ἀπειρηκὼς, ἀπέθετό τε τὰ ξύλα, καὶ τὸν θάνατον ἐλθεῖν ἐπεκαλεῖτο. Τοῦ δὲ θανάτου εὐθὺς ἐπιστάντος, καὶ τὴν αἰτίαν πυνθανομένου, δι' ἣν αὐτὸν καλοίη, ὁ γέρων ἔφη, Ἵνα τὸν φόρτον τοῦτον ἄρας ἐπιθῇς μοι. (1).

ὁ μῦθος δηλοῖ, ὅτι πᾶς ἄνθρωπος, φιλόζωος ὢν, κἂν μυρίοις κινδύνοις περιπεσὼν δοκῇ θανάτου ἐπιθυμεῖν, ὅμως τὸ ζῆν πολὺ πρὸ τοῦ θανάτου αἱρεῖται.

---

(1) Τοῦτον αἰνίττεται τὸν μῦθον Εὐριπίδης (Ἀλκής. 669-672), λέγων,

ΑΛΛΩΣ.

Γέρων, ποτὲ ξύλα κόψας, ταῦτα ἐπὶ τῶν ὤμων ἀράμενος, ἐπὶ πολλὴν ἐβάδιζεν ὁδόν. Κεκοπιακὼς δὲ, καὶ τὸν φόρτον ἀποθέμενος, ἐπεκαλεῖτο τὸν θάνατον. Τοῦ δὲ θανάτου φανέντος, καὶ πυνθανομένου, δι' ἣν τοῦτον ἐπεκαλεῖτο αἰτίαν, ὁ γέρων ἔφη· Ἵνα ἄρῃς τὸν φόρτον.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ ἀσθενεῖς τῶν ἀνθρώπων τοὺς δυνατοὺς πρὸς ἐπικουρίαν ἐπικαλοῦνται.

ΑΛΛΩΣ.

Γέρων ποτὲ ξύλα κόψας, ταῦτα φέρων, πολλὴν ὁδὸν ἐβάδιζε, καὶ διὰ τὸν πολὺν κόπον ἀποθέμενος ἐν τόπῳ τινὶ τὸν φόρτον, τὸν θάνατον ἐπεκαλεῖτο. Τοῦ δὲ θανάτου παρόντος, καὶ πυνθανομένου τὴν αἰτίαν, δι' ἣν αὐτὸν ἐκάλει, δειλιάσας ὁ γέρων, ἔφη. Ἵνα μου τὸν φόρτον ἄρῃς

Ὁ μῦθος δηλοῖ, ὅτι πᾶς ἄνθρωπος φιλόζωος, εἰ καὶ δυςυχεῖ, καὶ πτωχός ἐςι.

ΑΛΛΩΣ (1).

ΑΝΘΡΩΠΟΣ ΚΑΙ ΘΑΝΑΤΟΣ.

Ἄνθρωπός τις ἦν πένης, ὃς καὶ ξύλων γόμον ἐπὶ τῶν ὤμων ἐβάσταζε. Κατὰ δὲ τὴν ὁδοιπορίαν ἰλιγγιάσας ἐκαθέσθη,

---

Μάτην ἄρ' οἱ γέροντες εὔχονται θανεῖν,
Γῆρας ψέγοντες, καὶ μακρὸν χρόνον βίου.
Ἢν δ' ἐγγὺς ἔλθῃ θάνατος, οὐδεὶς βούλεται
Θνήσκειν· τὸ γῆρας δ' οὐκ ἔτ' ἐς' αὐτοῖς βαρύ.

(1) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. ϛ'.

καὶ τὸν γόμον τῶν ξύλων κατέθετο, καὶ τὸν θάνατον οἰκτρῶς ἀνεκαλεῖτο, λέγων· Ὦ θάνατε. Αὐτίκα γοῦν ὁ θάνατος ἔφθασε, καὶ πρὸς αὐτὸν ἔφησε· Τίνος χάριν ἐκάλεσάς με. Λέγει πρὸς αὐτὸν ὁ ἀνήρ· Ἵνα τὸν γόμον ἀπὸ τῆς γῆς συνεξάρῃς μοι.

Ὁ μῦθος δηλοῖ, ὅτι πάντες ἄνθρωποι φιλόζωοι τυγχάνουσιν, εἰ καὶ θλίψεσι καὶ ἀνάγκαις συνέχονται.

21. ΓΡΑΥΣ ΚΑΙ ΙΑΤΡΟΣ.

Γυνὴ γραῦς, ἀλγοῦσα τοὺς ὀφθαλμοὺς, εἰσκαλεῖταί τινα τῶν ἰατρῶν ἐπὶ μισθῷ, συμφωνήσασα, ὡς, εἰ μὲν θεραπεύσειεν αὐτὴν, τὸν ὁμολογηθέντα μισθὸν αὐτῷ δώσειν, εἰ δὲ μὴ, μηδὲν δώσειν. Ἐνεχείρησε μὲν οὖν ὁ ἰατρὸς τῇ θεραπείᾳ. Καθ' ἡμέραν δὲ φοιτῶν ὡς τὴν πρεσβύτιν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῇ χρίων, ἐκείνης μηδαμῶς ἀναβλέπειν ἐχούσης τὴν ὥραν ἐκείνην ὑπὸ τοῦ χρίσματος, αὐτὸς, ἕν τι τῶν τῆς οἰκίας σκευῶν ὑφαιρούμενος ὁσημέραι ἀπῄει. Ἡ μὲν οὖν γραῦς τὴν ἑαυτῆς περιουσίαν ἑώρα καθ' ἑκάστην ἐλαττουμένην ἐπὶ τοσοῦτον, ὡς καὶ τέλος παντάπασιν αὐτῇ θεραπευθείσῃ μηδὲν ὑπολειφθῆναι. Τοῦ δ' ἰατροῦ τοὺς συμφωνηθέντας μισθοὺς αὐτὴν ἀπαιτοῦντος, ὡς καθαρῶς βλέπουσαν ἤδη, καὶ τοὺς μάρτυρας παραγαγόντος, Μᾶλλον μεν οὖν, εἶπεν ἐκείνη, τανῦν οὐδοτιοῦν βλέπω. Ἡνίκα μὲν γὰρ τοὺς ὀφθαλμοὺς ἐνόσουν, πολλὰ τῶν ἐμῶν κατὰ τὴν ἐμαυτῆς ἔβλεπον οἰκίαν· νῦν δ', ὅτε με σὺ βλέπειν φῂς, οὐδοτιοῦν ἐκείνων ὁρῶ.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ πονηροὶ τῶν ἀνθρώπων, ἐξ ὧν πράττουσι, λανθάνουσι καθ' ἑαυτῶν τὸν ἔλεγχον ἐπισπώμενοι.

ΑΛΛΩΣ.

Γυνὴ πρέσβις, τοὺς ὀφθαλμοὺς νοσοῦσα, ἰατρόν τινα ἐπὶ μισθῷ ἐκάλει, στοιχήσασα ἐνώπιον μαρτύρων, ὅτι, ἐὰν θεραπεύσῃ

αὐτῆς τοὺς ὀφθαλμοὺς, λήψεται παρ' αὐτῆς τὸν μισθόν· ἢν δὲ μὴ θεραπευθῇ, ἀλλ' ἐπιμείνῃ αὐτῇ ἡ νόσος, μηδὲν αὐτῷ παράσχῃ. Καὶ τούτου γενομένου, ὅσον ὁ ἰατρὸς ἐπετίθει αὐτῇ τὴν θεραπείαν, κατ' ὀλίγον τὰ προσόντα ἀφήρει αὐτῆς. Μετ' οὐ πολὺ δὲ θεραπεύσας αὐτὴν, ἐζήτει τὸν στοιχηθέντα αὐτῷ μισθόν. Ἀναβλέψασα τοίνυν ἡ γραῦς, καὶ μηδὲν τῶν προσόντων θεασαμένη, οὐδὲν ἐδίδου αὐτῷ. Ὡς οὖν ἐπέμενεν ὁ ἰατρὸς ἐκβιάζων αὐτὴν, ἐκείνη δὲ ἀνεβάλετο, ἐπήγαγεν αὐτὴν κριθησομένην ἐπὶ τοὺς ἄρχοντας. Ἐκείνη δὲ, ἐνώπιον αὐτῶν σταθεῖσα, εἶπε, Μᾶλλον μὲν οὖν τανῦν οὐδ' ὁτιοῦν βλέπω. Ἡνίκα γὰρ τοὺς ὀφθαλμοὺς ἐνόσουν, πολλὰ τῶν ἐμῶν κατὰ τὴν ἐμαυτῆς ἔβλεπον οἰκίαν, νυνὶ δὲ, ὅτε με σὺ βλέπειν φῂς, οὐδ' ὁτιοῦν ἐκείνων ὁρῶ.

22. ΓΕΩΡΓΟΣ ΚΑΙ ΠΑΙΔΕΣ ΑΥΤΟΥ.

Γεωργός τις, μέλλων καταλύειν τὸν βίον, καὶ βουλόμενος τοὺς ἑαυτοῦ παῖδας πεῖραν λαβεῖν τῆς γεωργίας, προσκαλεσάμενος αὐτοὺς, ἔφη· Παῖδες ἐμοὶ, ἐγὼ μὲν ἤδη τοῦ βίου ὑπέξειμι, ὑμεῖς δ', ἅπερ ἐν τῇ ἀμπέλῳ μοι κέκρυπται, ζητήσαντες, εὑρήσετε πάντα. Οἱ μὲν οὖν, οἰηθέντες θησαυρὸν ἐκεῖ που κατορωρύχθαι, πᾶσαν τὴν τῆς ἀμπέλου γῆν μετὰ τὴν ἀποβίωσιν τοῦ πατρὸς κατέσκαψαν· καὶ θησαυρῷ μὲν οὐ περιέτυχον, ἡ δὲ ἄμπελος, καλῶς σκαφεῖσα, πολλαπλασίονα τὸν καρπὸν ἀνέδωκεν.

Ὁ μῦθος δηλοῖ, ὅτι ὁ κάματος θησαυρός ἐστι τοῖς ἀνθρώποις.

ΑΛΛΩΣ.

Ἀνήρ τις τῇ τέχνῃ γεωργὸς, μέλλων καταλῦσαι τὸν βίον, καὶ βουλόμενος τοὺς παῖδας αὐτοῦ ἐμπείρους ποιῆσαι τῆς γεωργικῆς, προσκαλεσάμενος εἶπεν αὐτοῖς. Τέκνα, ἐγὼ τοῦ βίου ὑπεξίσταμαι· πλὴν ἅπερ ὑπάρχει μοι, ἐν τῷ ἀμπελῶνι εὑρήσετε.



Mougeot Sculp.

ΑΡΧΙΛΟΧΟΣ.

ΕΚ ΤΟΥ ΕΝ ΟΥΑΤΙΚΑΝΩΙ ΜΟΥΣΕΙΟΥ.

Εἶδον γὰρ, ἑκὰς ἐὼν, τὰ πόλ-
λ᾽ ἐν ἀμαχανίᾳ
Ψογερὸν Ἀρχίλοχον βαρυλό-
γοις ἔχθεσιν πιαινόμενον. ——

Πινδάρ. Πυθ. Β, 98–101.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

εὐρήσετε. Οἱ δὲ, νομίσαντες θησαυρὸν ἔχειν ἐνταῦθα, μετὰ τὴν ἀποβίωσιν τοῦ πατρὸς αὐτῶν, λαβόντες δικέλλας καὶ ἀξίνας κατέσκαπτον πᾶσαν τὴν γῆν ἐκ πόθου. Καὶ θησαυρὸν [μὲν] οὐχ εὗρον· ἡ δ᾽ ἄμπελος, καλῶς κατασκαφεῖσα καὶ ὠφεληθεῖσα, πολλαπλάσιον τὸν καρπὸν ἀνήνεγκε.

23. ΔΕΣΠΟΤΗΣ ΚΑΙ ΚΥΝΕΣ.

Ἀνήρ τις, ὑπὸ χειμῶνος ἐν τῷ αὐτοῦ προαστείῳ ἀποληφθεὶς, καὶ τροφῆς ἀπορῶν, πρῶτα μὲν τὰ πρόβατα κατέφαγεν, εἶτα τὰς αἶγας. Τοῦ δὲ χειμῶνος ἐπικρατοῦντος, καὶ τοὺς ἐργάτας βοῦς σφάξας ἐθοινήσατο. Οἱ δὲ κύνες, ταῦτα ἰδόντες, διελέχθησαν πρὸς ἀλλήλους· Φεύγωμεν ἀλλ᾽ ἡμεῖς γε ἐντεῦθεν· εἰ γὰρ τῶν ἐργατῶν βοῶν ὁ δεσπότης ἡμῶν οὐκ ἐφείσατο, πῶς ἡμῶν φείσεται;

Ὁ Μῦθος δηλοῖ, ὅτι τούτους μάλιστα φεύγειν καὶ φυλάττεσθαι χρὴ, οἵτινες οὐδὲ τῶν οἰκείων ἀπέχονται.

24. ΓΥΝΗ ΚΑΙ ΟΡΝΙΣ.

Γυνή τις χήρα ὄρνιν εἶχε, καθ᾽ ἑκάστην ἡμέραν ὠὸν αὐτῇ τίκτουσαν. Νομίσασα δὲ, ὡς, εἰ πλείους τῇ ὄρνιθι κριθὰς παραβάλοι, δὶς τέξεται τῆς ἡμέρας, τοῦτο πεποίηκεν. Ἡ δ᾽ ὄρνις, πιμελὴς γενομένη, οὐδ᾽ ἅπαξ τῆς ἡμέρας τεκεῖν ἠδύνατο.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ διὰ πλεονεξίαν τῶν πλειόνων ἐπιθυμοῦντες, καὶ τὰ παρόντα ἀποβάλλουσι.

ΑΛΛΩΣ (1).

Γυνή τις χήρα ὄρνιν ἐκέκτητο, ἐν αὐτῇ ὠὸν καθ᾽ ἑκάστην ἀποτίκτουσαν· ἣν καὶ δαψιλῶς διέτρεφεν ἡ γυνὴ, δοκοῦσα, ὡς τοῖς

(1) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. μϐ΄.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

πλείοσι σιτίοις δύο ἔϛαι γεννῶσα ὠά. Ἡ δὲ ὄρνις ὑπὸ τῆς πλησμονῆς ἐμβριθὴς γενομένη, οὐδὲ τὸ ἓν ὠὸν γεννᾷν, ὡς τὸ πρότερον, ἠδύνατο.

Ὁ λόγος δηλοῖ, ὡς οἱ τῶν πλειόνων ὀρεγόμενοι, καὶ τῶν ἐν χερσὶν ὀλίγων ϛερίσκονται.

25. ΚΥΝΟΔΗΚΤΟΣ.

Δηχθείς τις ὑπὸ κυνὸς τὸν ἰασόμενον περιῄει ζητῶν. Ἐντυχὼν δέ τις αὐτῷ, καὶ γνοὺς, ὃ ζητεῖ, Ὦ οὗτος, εἶπεν, εἰ σώζεσθαι βούλει, λαβὼν ἄρτον, καὶ τούτῳ τὸ αἷμα τῆς πληγῆς ἐκμάξας, τῷ δακόντι κυνὶ φαγεῖν ἐπίδος. Κἀκεῖνος, γελάσας, ἔφη· Ἀλλ' εἰ τοῦτο ποιήσω, δεήσει με ὑπὸ πάντων τῶν ἐν τῇ πόλει κυνῶν δηχθῆναι.

Ὁ μῦθος δηλοῖ, ὅτι καὶ τῶν ἀνθρώπων οἱ πονηροὶ, εὐεργετούμενοι, μᾶλλον ἀδικεῖν παροξύνονται.

ΑΛΛΩΣ (1).

ΑΝΔΡΕΣ ΔΥΟ ΚΑΙ ΚΥΩΝ.

Ἀνήρ τις, ὑπὸ κυνὸς καιρίως δηχθεὶς, ἐζήτει τὸν τὴν αὐτοῦ πληγὴν θεραπεύσοντα. Ἕτερος δέ τις, αὐτῷ συναντήσας, ἔφη πρὸς αὐτόν· Τοῦτο προσήκει ποιῆσαί σε· ἀπὸ τοῦ τῆς πληγῆς αἵματος ἐπιϛαλάξαι τῷ ψωμῷ, καὶ τῷ δακόντι κυνὶ τὸν ψωμὸν ἐπιῤῥίψαι, καὶ οὕτως ἡ πληγή σου θεραπευθήσεται. Ὁ δὲ δηχθεὶς ἀντέφη αὐτῷ· Εἰ τοῦτο ποιήσω, ὑπὸ πάντων τῶν ἐν τῇδε τῇ πόλει κυνῶν ἔσομαι δακνόμενος.

Ὁ λόγος δηλοῖ, ὡς εἰ καὶ τὸν σκαιὸν ἄνθρωπον τιμήσειέ τις καὶ δεξιώσαιτο, ἀλλ' οὖν ἐκεῖνος οὐ τὸν τιμήσαντα, ἀλλὰ τοὺς ὁμοίους αὐτῷ κακοὺς ἀγαπᾷ.

---

(1) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. νϛ'.

26. ΝΕΑΝΙΣΚΟΙ ΚΑΙ ΜΑΓΕΙΡΟΣ.

Δύο νεανίσκοι μαγείρῳ παρεκάθηντο. Καὶ δὴ τοῦ μαγείρου περί τι τῶν οἰκείων ἔργων ἀσχολουμένου, ἅτερος τούτων, μέρος τι τῶν κρεῶν ὑφελόμενος, εἰς τὸν θατέρου καθῆκε κόλπον. Ἐπιστραφέντος δὲ τοῦ μαγείρου, καὶ τὸ κρέας ἐπιζητοῦντος, ὁ μὲν εἰληφὼς ὤμνυε, μὴ ἔχειν, ὁ δ' ἔχων, μὴ εἰληφέναι. Ὁ δὲ μάγειρος, αἰσθόμενος τὴν κακουργίαν αὐτῶν, εἶπεν· Ἀλλὰ κἂν ἐμὲ λάθητε, τὸν γ' ἐπιορκούμενον θεὸν οὔκουν λήσεσθε.

Ὁ μῦθος δηλοῖ, ὅτι, κἂν ἀνθρώπους ἐπιορκοῦντες λάθωμεν, ἀλλὰ τόν γε θεὸν οὐ λήσομεν.

27. ΕΧΘΡΟΙ.

Δύο τινὲς, ἀλλήλοις ἐχθραίνοντες, ἐπὶ τῆς αὐτῆς νεὼς ἔπλεον, ὧν ἅτερος μὲν ἐπὶ τῆς πρύμνης, ἅτερος δὲ ἐπὶ τῆς πρώρας ἐκάθητο. Χειμῶνος δὲ ἐπιγενομένου, καὶ τῆς νεὼς μελλούσης ἤδη καταποντίζεσθαι, ὁ ἐπὶ τῆς πρύμνης τὸν κυβερνήτην ἤρετο, πότερον τῶν μερῶν τοῦ πλοίου πρότερον μέλλει καταβαπτίζεσθαι. Τοῦ δὲ, τὴν πρώραν, εἰπόντος, Ἀλλ' ἔμοιγε οὐκ ἔστι λυπηρὸν, εἶπεν, ὁ θάνατος, εἴγε ὁρᾷν μέλλω πρὸ ἐμοῦ τὸν ἐχθρὸν ἀποθνήσκοντα.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ τῶν ἀνθρώπων οὐδὲν τῆς ἑαυτῶν βλάβης φροντίζουσιν, εἰ τοὺς ἐχθροὺς μόνον ἴδοιεν πρὸ αὐτῶν κακουμένους.

28. ΑΙΛΟΥΡΟΣ ΚΑΙ ΜΥΕΣ.

Ἐν οἰκίᾳ τινὶ πολλῶν μυῶν ὄντων, αἴλουρος τοῦτο γνοὺς, ἧκεν ἐνταῦθα, καὶ καθ' ἕκαστον αὐτῶν συλλαμβάνων κατήσθιεν. Οἱ δὲ, καθ' ἑκάστην ἑαυτοὺς ἀναλισκομένους ὁρῶντες, ἔφασαν πρὸς ἀλλήλους· Μηκέτι κάτω κατέλθωμεν, ἵνα μὴ παντάπασιν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ἀπολώμεθα· τοῦ γὰρ αἰλούρου μὴ δυναμένου δεῦρο ἐξικνεῖσθαι, ἡμεῖς σωθησόμεθα. Ὁ δὲ αἴλουρος, μηκέτι τῶν μυῶν κατιόντων, ἔγνω δι' ἐπινοίας αὐτοὺς σοφιζόμενος ἐκκαλέσασθαι. Καὶ δὴ ἀπὸ παττάλου τινὸς ἑαυτὸν ἀναβὰς ἀπῃώρησε, καὶ προσεποιεῖτο νεκρὸς εἶναι. Τῶν δὲ μυῶν τις, παρακύψας, καὶ ἰδὼν αὐτὸν, ἔφη· Ὦ οὗτος, κἂν θύλαξ γένῃ, οὐ προσελεύσομαί σοι.

ὁ μῦθος δηλοῖ, ὅτι τῶν ἀνθρώπων οἱ φρόνιμοι, ὅταν τῆς ἐνίων μοχθηρίας πειραθῶσιν, οὐκέτι αὐτῶν ἐξαπατῶνται ταῖς ὑποκρίσεσιν.

29. ΑΛΩΠΗΞ ΚΑΙ ΠΙΘΗΚΟΣ.

ΕΝ συνόδῳ ποτὲ τῶν ἀλόγων ζώων ὠρχήσατο πίθηκος, καὶ εὐδοκιμήσας, βασιλεὺς ὑπ' αὐτῶν ἐχειροτονήθη. Ἀλώπηξ δ', αὐτῷ φθονήσασα, ὡς ἔν τινι παγίδι κρέας ἐθεάσατο, τὸν πίθηκον λαβοῦσα, ἐνταῦθα ἤγαγεν, ὡς εὕροι μὲν αὐτὴ, λέγουσα, θησαυρὸν τοῦτον, μὴ μέντοι καὶ χρήσασθαι αὐτῷ· τῷ βασιλεῖ γὰρ τοῦτον ὁ νόμος δίδωσι. Καὶ προὐτρέπετο αὐτὸν, ἅτε δὴ βασιλέα, τὸν θησαυρὸν ἀνελέσθαι. Ὁ δ', ἀπερισκέπτως προσελθὼν, καὶ συλληφθεὶς ὑπὸ τῆς παγίδος, ὡς ἐξαπατήσασαν ἐμέμφετο τὴν ἀλώπεκα. Ἡ δὲ πρὸς αὐτόν· Ὦ πίθηκε, τοιαύτην σὺ μωρίαν ἔχων, τῶν ἀλόγων βασιλεύσεις;

ὁ μῦθος δηλοῖ, ὅτι οἱ πράξεσί τισιν ἀπερισκέπτως ἐπιχειροῦντες, δυστυχήμασι περιπίπτουσι.

30. ΘΥΝΝΟΣ ΚΑΙ ΔΕΛΦΙΝ.

ΘΥΝΝΟΣ, διωκόμενος ὑπὸ δελφῖνος, καὶ πολλῷ τῷ ῥοίζῳ φερόμενος, ἐπειδὴ καταλαμβάνεσθαι ἔμελλεν, ἔλαθεν ὑπὸ σφοδρᾶς ῥύμης ἐκπεσὼν εἴς τινα νῆσον. Ὑπὸ δὲ τῆς ὁμοίας ῥύμης καὶ ὁ δελφὶν αὐτῷ συνεξώκειλεν. Ὁ δὲ θύννος ἐπιστραφεὶς, καὶ λειποψυχοῦντα τὸν δελφῖνα ἑωρακὼς, εἶπεν· Οὐκ ἔτι μοι ὁ θά-

νατος λυπηρὸς, ὁρῶντι τὸν αἴτιον γεγονότα μοι τούτου σὺν ἐμοὶ ἀποθνήσκοντα.

Ὁ μῦθος δηλοῖ, ὅτι ῥαδίως τὰς συμφορὰς οἱ ἄνθρωποι φέρουσι, τοὺς τούτων αἰτίους δυστυχοῦντας ὁρῶντες.

31. ΙΑΤΡΟΣ ΚΑΙ ΝΟΣΩΝ.

Ιατρὸς νοσοῦντα ἐθεράπευε. Τοῦ δὲ νοσοῦντος ἀποθανόντος, ἐκεῖνος πρὸς τοὺς ἐκκομίζοντας ἔλεγεν· Οὗτος ὁ ἄνθρωπος, εἰ οἴνου ἀπείχετο, καὶ κλυστῆρσιν ἐχρῆτο, οὐκ ἂν ἐτεθνήκει. Τῶν δὲ παρόντων ὑπολαβών τις ἔφη· Ὦ βέλτιστε, οὐκ ἔδει σε ταῦτα νῦν λέγειν, ὅτε μηδὲν ὄφελός ἐστιν, ἀλλὰ τότε παραινεῖν ὅτε τούτοις χρῆσθαι ἠδύνατο.

Ὁ μῦθος δηλοῖ, ὅτι δεῖ τοὺς φίλους ἐν καιρῷ ἀνάγκης ὠφελεῖν, καὶ τὰς βοηθείας παρέχειν (1).

ΑΛΛΩΣ.

Ἰατρός τις ἐπισκεπτόμενος ἄῤῥωστον, συνέβη ἀποθανεῖν αὐτόν. Ὁ δὲ ἰατρὸς ἔλεγε πρὸς τοὺς κομίζοντας αὐτόν· Οὗτος ὁ ἄνθρωπος, εἰ οἴνου ἀπέσχε, καὶ κλυστῆρσιν ἐχρῆτο, οὐκ ἂν ἀπέθανεν. Τῶν δὲ παρόντων τις ὑπολαβὼν ἔφη αὐτῷ· Ὦ οὗτος, οὐκ ἔδει σε νῦν τοῦτο λέγειν, ὅτε οὐδὲν ὄφελός ἐστιν, ἀλλὰ τότε παραινεῖν ἔδει, ὅτε καὶ χρῆσθαι ἐδύνατό σοι.

32. ΙΞΕΥΤΗΣ ΚΑΙ ΕΧΙΣ.

Ιξευτὴς, ἰξὸν ἀναλαβὼν καὶ καλάμους, πρὸς ἄγραν ἐξῆλ-

---

(1) Τοῦτον ἴσως αἰνίττεται τὸν μῦθον Δημοσθένης (Περὶ στεφάν. σελ. 308), λέγων, «Ὥσπερ ἂν εἴτις ἰατρὸς ἀσθενοῦσι μὲν τοῖς κάμνουσιν εἰσιὼν, μὴ λέγοι, μηδὲ δεικνύοι, δι' ὧν ἀποφεύξονται τὴν νόσον· ἐπειδὰν δὲ τελευτήσειέ τις αὐτῶν, καὶ τὰ νομιζόμενα αὐτῷ φέροιτο, ἀκολουθῶν ἐπὶ τὸ μνῆμα, διεξίοι, Εἰ τὸ καὶ τὸ ἐποίησεν ἄνθρωπος ουτοσὶ, οὐκ ἂν ἀπέθανεν.»

θεν. Ἰδὼν δὲ κίχλαν ἐφ' ὑψηλοῦ δένδρου καθεζομένην, καὶ τοὺς καλάμους ἀλλήλοις ἐπὶ μῆκος συνάψας, ἄνω πρὸς αὐτὴν, συλλαβεῖν βουλόμενος, ἀφεώρα. Καὶ δὴ λαθὼν ἔχιν κοιμωμένην ὑπὸ τοὺς πόδας ἐπάτησε. Τῆς δ' ὀργισθείσης, καὶ δακούσης αὐτὸν, ἐκεῖνος ἤδη λειποψυχῶν ἔλεγε· Δύστηνος ἐγὼ, ἕτερον γὰρ θηρεῦσαι βουλόμενος, αὐτὸς ὑφ' ἑτέρου ἠγρεύθην εἰς θάνατον.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ τοῖς πέλας ἐπιβουλεύοντες λανθάνουσι πολλάκις ὑφ' ἑτέρων τοῦτ' αὐτὸ πάσχοντες.

33. ΚΑΣΤΩΡ.

Ο κάστωρ ζῶόν ἐστι τετράπουν, ἐν λίμναις τὰ πολλὰ διαιτώμενον, οὗ τὰ αἰδοῖά φασιν ἰατροῖς χρήσιμα εἶναι. Οὗτος οὖν, ἐπειδὰν ὑπ' ἀνθρώπων διωκόμενος καταλαμβάνηται, γινώσκων, οὗ χάριν διώκεται, ἀποτεμὼν τὰ ἑαυτοῦ αἰδοῖα, ῥίπτει πρὸς τοὺς διώκοντας, καὶ οὕτω σωτηρίας τυγχάνει.

Ὁ μῦθος δηλοῖ, ὅτι οὕτω καὶ τῶν ἀνθρώπων οἱ φρόνιμοι, ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας, οὐδένα λόγον τῶν χρημάτων ποιοῦνται.

34. ΚΥΩΝ ΚΑΙ ΜΑΓΕΙΡΟΣ.

Κύων, εἰσπηδήσας εἰς μαγειρεῖον, καὶ τοῦ μαγείρου ἀσχολουμένου, καρδίαν ἁρπάσας ἔφυγεν. Ὁ δὲ μάγειρος ἐπιστραφεὶς, ὡς εἶδεν αὐτὸν φεύγοντα, εἶπεν· Ὦ οὗτος, ἴσθι, ὡς ὅπου περ ἂν ᾖς, φυλάξομαί σε· οὐ γὰρ ἀπ' ἐμοῦ καρδίαν εἴληφας, ἀλλ' ἐμοὶ καρδίαν δέδωκας.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλάκις τὰ παθήματα τοῖς ἀνθρώποις μαθήματα γίνονται.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΑΛΛΩΣ (1).

ΚΥΩΝ ΚΑΙ ΜΑΚΕΛΛΕΥΣ.

Κύων ἐν μακελλείῳ εἰσελθὼν, καρδίας βρῶμα ἐκεῖθεν ἀφήρπασεν. Ὁ δέ γε μακελλεὺς ἐπιστραφεὶς ἔλεγεν αὐτῷ, Οὐ καρδίαν ἥρπασας, ἀλλὰ καρδίαν ἐνέθου μοι. Εἰ γὰρ αὖθις ἐνταῦθα εἰσέλθῃς, ἐγώ σοι τὰ τῆς ἁρπαγῆς ἐπιδείξω ἐπίχειρα.

Ὁ μῦθος δηλοῖ, ὡς ἐν τῷ παθεῖν τις ἐπισπᾶται τὸ μαθεῖν καὶ προσεκτικῶς ἔχειν.

35. ΚΥΩΝ ΚΑΙ ΛΥΚΟΣ.

Κύων πρὸ ἐπαύλεώς τινος ἐκάθευδε. Λύκου δ' ἐπιδραμόντος, καὶ βρῶμα μέλλοντος θύσειν αὐτὸν, ἐδεῖτο, μὴ νῦν αὐτὸν καταθῦσαι. Νῦν μὲν γὰρ, φησὶ, λεπτός εἰμι, καὶ ἰσχνός· ἂν δὲ μικρὸν ἀναμείνῃς, μέλλουσιν οἱ ἐμοὶ δεσπόται ποιήσειν γάμους, κἀγὼ τηνικαῦτα, πολλὰ φαγὼν, πιμελέστερος ἔσομαι, καὶ σοὶ ἡδύτερον βρῶμα γενήσομαι. Ὁ μὲν οὖν λύκος πεισθεὶς ἀπῆλθε· μεθ' ἡμέρας δ' ἐπανελθὼν εὗρεν ἄνω ἐπὶ τοῦ δώματος τὸν κύνα καθεύδοντα, καὶ στὰς κάτωθεν πρὸς ἑαυτὸν ἐκάλει, ὑπομιμνήσκων αὐτὸν τῶν συνθηκῶν. Καὶ ὁ κύων· Ἀλλ', ὦ λύκε, εἰ τὸ ἀπὸ τοῦδε πρὸ τῆς ἐπαύλεώς με ἴδοις καθεύδοντα, μηκέτι γάμους ἀναμείνῃς.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ φρόνιμοι τῶν ἀνθρώπων, ὅταν περί τι κινδυνεύσαντες σωθῶσι, διὰ βίου τοῦτο φυλάττονται.

36. ΚΥΩΝ ΚΑΙ ΑΛΕΚΤΡΥΩΝ.

Κύων καὶ ἀλεκτρυὼν, ἑταιρείαν ποιησάμενοι, ὥδευον· ἑσπέ-

(1) Ἐκ τῶν τοῦ Συντίπα Μυθων, μύθ. λγ'.

ρας δὲ καταλαβούσης, ὁ μὲν ἀλεκτρυὼν ἐπὶ δένδρου ἐκάθευδεν ἀναβὰς, ὁ δὲ κύων πρὸς τῇ ῥίζῃ τοῦ δένδρου, κοῖλωμα ἔχοντος. Τοῦ δὲ ἀλεκτρυόνος κατὰ τὸ εἰωθὸς νύκτωρ φωνήσαντος, ἀλώπηξ ἀκούσασα πρὸς αὐτὸν ἔδραμε, καὶ ςᾶσα κάτωθεν, πρὸς ἑαυτὴν κατελθεῖν ἠξίου· ἐπιθυμεῖν γὰρ ἀγαθὴν οὕτω φωνὴν ζῶον ἔχον ἀσπάσασθαι. Τοῦ δὲ, εἰπόντος, τὸν θυρωρὸν πρότερον διυπνίσαι, ὑπὸ τὴν ῥίζαν καθεύδοντα, ὡς ἐκείνου ἀνοίξαντος κατελθεῖν, κἀκείνης ζητούσης αὐτὸν φωνῆσαι, ὁ κύων, αἴφνης πηδήσας, αὐτὴν διεσπάραξεν.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ φρόνιμοι τῶν ἀνθρώπων τοὺς ἐχθροὺς ἐπελθόντας πρὸς ἰσχυροτέρους πέμπουσι παραλογιζόμενοι.

37. ΛΕΩΝ ΚΑΙ ΒΑΤΡΑΧΟΣ.

Λέων, ἀκούσας ποτὲ βατράχου μέγα βοῶντος, ἐπεςράφη πρὸς τὴν φωνὴν, οἰόμενος μέγα τι ζῶον εἶναι. Προσμείνας δὲ μικρὸν, ὡς εἶδεν αὐτὸν προελθόντα τῆς λίμνης, προσελθὼν αὐτὸν κατεπάτησεν.

Ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ πρὸ τῆς ὄψεως δι' ἀκοῆς μόνης ταράττεσθαι.

38. ΛΕΩΝ ΚΑΙ ΟΝΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.

Λέων, καὶ ὄνος, καὶ ἀλώπηξ, κοινωνίαν ποιησάμενοι, ἐξῆλθον πρὸς ἄγραν. Πολλῆς οὖν θήρας συλληφθείσης, προσέταξεν ὁ λέων τῷ ὄνῳ, διελεῖν αὐτοῖς. Ὁ δὲ, τρεῖς μερίδας ποιησάμενος ἐκ τῶν ἴσων, ἐκλέξασθαι τούτους προὐτρέπετο. Καὶ ὁ λέων θυμωθεὶς τὸν ὄνον κατέφαγεν. Εἶτα τῇ ἀλώπεκι μερίζειν ἐκέλευσεν. Ἡ δ', εἰς μίαν μερίδα πάντα σωρεύσασα, ἑαυτῇ βραχύ τι κατέλιπε. Καὶ ὁ λέων πρὸς αὐτήν· Τίς σε, ὦ βελτίςη, διαιρεῖν οὕτως ἐδίδαξεν; Ἡ δ' εἶπεν, Ἡ τοῦ ὄνου συμφορά.

Ὁ μῦθος δηλοῖ, ὅτι σωφρονισμοὶ γίνονται τοῖς ἀνθρώποις τὰ τῶν πέλας δυςυχήματα.

ΑΛΛΩΣ.

Λέων, καὶ ὄνος, καὶ ἀλώπηξ, κοινωνίαν ποιησάμενοι πρὸς ἀλλήλους, ἐξῆλθον πρὸς ἄγραν. Πολλὴν οὖν θήραν συλλαβόντες, προσέταξεν ὁ λέων τῷ ὄνῳ, διελεῖν αὐτήν. Τοῦ δὲ τρεῖς μοίρας ἐξ ἴσου ποιήσαντος, ἐκλέξασθαι παρῄνει αὐτοῖς. Ὁ δὲ λέων ἀγανακτήσας ἐθανάτωσε τὸν ὄνον· εἶτα προσέταξε τῇ ἀλώπεκι μοιράσαι. Ἡ δὲ ἅπαντα εἰς μίαν συνῆξε μοῖραν, καταλιποῦσα μικρὰν καὶ οὐδαμινὴν μερίδα ἑαυτῇ. Ὁ δὲ λέων ἔφη· Ὦ αὕτη, τίς σε οὕτως διανέμειν ἐδίδαξεν; Ἡ δὲ εἶπεν, Ἡ τοῦ ὄνου συμφορά.

Ὁ μῦθος δηλοῖ, ὅτι εἰς σωφρονισμὸν τοῖς ἀνθρώποις τὰ τῶν πέλας δυστυχήματα γίνονται.

ΑΛΛΩΣ.

Λέων, ὄνος, κερδώ τε πρὸς θήραν ἴον.
Ὄνου δὲ ταύτην εἰς τρίτον δεδασμένου,
Λέων κατεσπάραξε. Κερδὼ δὲ πλέον
Ἔνειμεν αὐτῷ, σωφρονισθεῖσ᾽ ἐξ ὄνου.

Ὅτι δεῖ ἐξ ὧν πάσχουσιν ἕτεροι παιδεύεσθαι.

39. ΛΕΩΝ ΚΑΙ ΑΡΚΤΟΣ.

Λέων καὶ ἄρκτος, ὁμοῦ νεβρῷ περιτυχόντες, περὶ τούτου ἐμάχοντο. Δεινῶς οὖν ὑπ᾽ ἀλλήλων διατεθέντες, ὡς ἐκ τῆς πολλῆς μάχης καὶ σκοτοδινιάσαι, ἀπαυδήσαντες ἔκειντο. Ἀλώπηξ δὲ κύκλῳ περιιοῦσα, πεπτωκότας αὐτοὺς ἰδοῦσα, καὶ τὸν νεβρὸν ἐν τῷ μέσῳ κείμενον, τοῦτον, διὰ μέσου ἀμφοῖν διαδραμοῦσα, καὶ ἁρπάσασα, φεύγουσα ᾤχετο. Οἱ δὲ, βλέποντες μὲν αὐτὴν, μὴ δυνάμενοι δὲ ἀναστῆναι, Δείλαιοι ἡμεῖς, εἶπον, ὅτι δι᾽ ἀλώπεκα ἐμοχθοῦμεν.

Ὁ μῦθος δηλοῖ, ὅτι ἄλλων κοπιώντων ἄλλοι κερδαίνουσιν.

ΑΛΛΩΣ.

Λέων καὶ ἄρκτος βρῶμά τι εὑρόντες ἐν ἕλει, περὶ τούτου ἐμάχοντο. Δεινῶς οὖν ὑπ' ἀλλήλων κατακοπέντες ἐσκοτίσθησαν ἐκ τῆς πολλῆς μάχης, καὶ ἔκειντο ἡμιθανεῖς. Ἀλώπηξ δὲ περιοῦσα, καὶ θεασαμένη πεπτωκότας, ἰδοῦσα καὶ τὸ βρῶμα κείμενον ἐν μέσῳ, ἅρπασα τοῦτο δρομαῖος ᾤχετο. Οἱ δὲ, ἰδόντες αὐτὴν, καὶ μὴ δυνάμενοι ἀναστῆναι, εἶπον· Ἄθλιοι ὄντως ἡμεῖς, ὅτι δι' ἀλώπεκα ἐμαχόμεθα.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ κοπιῶντες καὶ μοχθοῦντες ἑτέροις κέρδος προσκτῶνται.

40. ΜΑΝΤΙΣ.

Μάντις, ἐπ' ἀγορᾶς καθήμενος, διελέγετο. Ἐπιστάντος δέ τινος αἴφνης, καὶ ἀπαγγείλαντος, ὡς αἱ τῆς οἰκίας αὐτοῦ θυρίδες ἀναπεπταμέναι τε πᾶσαι εἶεν, καὶ πάντα τὰ ἔνδον ἀφῃρημένα, ἀνεπήδησέ τε στενάξας, καὶ δρομαῖος ᾔει. Τρέχοντα δέ τις αὐτὸν θεασάμενος, Ὦ οὗτος, εἶπεν, ὁ τἀλλότρια πράγματα προειδέναι ἐπαγγελλόμενος, τὰ σαυτοῦ οὐ προεμαντεύου;

Ὁ μῦθος πρὸς τοὺς τὸν μὲν ἑαυτῶν βίον φαύλως διοικοῦντας, τῶν δὲ μηδὲν αὐτοῖς προσηκόντων προνοεῖσθαι πειρωμένους.

41. ΜΥΡΜΗΞ ΚΑΙ ΠΕΡΙΣΤΕΡΑ.

Μύρμηξ διψήσας, κατελθὼν εἰς πηγὴν, παρασυρεὶς ὑπὸ τοῦ ῥεύματος, ἀπεπνίγετο. Περιστερὰ δὲ, τοῦτο θεασαμένη, κλῶνα δένδρου περιελοῦσα, εἰς τὴν πηγὴν ἔῤῥιψεν· ἐφ' οὗ καὶ καθίσας ὁ μύρμηξ διεσώθη. Ἰξευτὴς δέ τις μετὰ τοῦτο τοὺς καλάμους συνθεὶς, ἐπὶ τὸ τὴν περιστερὰν συλλαβεῖν ᾔει. Τοῦτο δ' ὁ μύρμηξ ἑωρακὼς, τὸν τοῦ ἰξευτοῦ πόδα ἔδακεν. Ὁ δὲ, ἀλγήσας,

τούς τε καλάμους ἔῤῥιψε, καὶ τὴν περιστερὰν αὐτίκα φυγεῖν ἐποίησεν.

Ὁ μῦθος δηλοῖ, ὅτι δεῖ τοῖς εὐεργέταις χάριν ἀποδιδόναι.

42. ΝΥΚΤΕΡΙΣ ΚΑΙ ΒΑΤΟΣ ΚΑΙ ΑΙΘΥΙΑ.

Νυκτερὶς, καὶ βάτος, καὶ αἴθυια, ἑταιρείαν ποιησάμεναι, ἐμπορικὸν διέγνωσαν βίον ζῆν. Ἡ μὲν οὖν νυκτερὶς, ἀργύριον δανεισαμένη, καθῆκεν εἰς τὸ μέσον, ἡ δὲ βάτος ἐσθῆτα μεθ' ἑαυτῆς ἔλαβεν, ἡ δὲ αἴθυια, τρίτη, χαλκόν· καὶ ἀπέπλευσαν. Χειμῶνος δὲ σφοδροῦ γενομένου, καὶ τῆς νεὼς περιτραπείσης, πάντα ἀπολέσαντες, αὐτοὶ ἐπὶ τὴν γῆν διεσώθησαν. Ἐξ ἐκείνου τοίνυν ἡ μὲν αἴθυια τοῖς αἰγιαλοῖς ἀεὶ παρεδρεύει, μήπου τὸν χαλκὸν ἐκβάλῃ ἡ θάλαττα· ἡ δὲ νυκτερὶς, τοὺς δανειστὰς φοβουμένη, τῆς μὲν ἡμέρας οὐ φαίνεται, νύκτωρ δ' ἐπὶ νομὴν ἔξεισιν· ἡ δὲ βάτος τῆς τῶν παριόντων ἐσθῆτος ἐπιλαμβάνεται, εἴπου τὴν οἰκείαν ἐπιγνοίη ζητοῦσα.

Ὁ μῦθος δηλοῖ, ὅτι περὶ ἃ σπουδάζομεν, τούτοις ἐς ὕστερον περιπίπτομεν.

43. ΝΟΣΩΝ ΚΑΙ ΙΑΤΡΟΣ.

Νοσῶν τις, καὶ ὑπὸ τοῦ ἰατροῦ ἐρωτώμενος, ὅπως διετέθη, πλέον, εἶπε, τοῦ δέοντος ἱδρωκέναι. Ὁ δὲ, ἀγαθὸν, ἔφη, τοῦτ' εἶναι. Ἐκ δευτέρου δὲ παρ' αὐτοῦ πάλιν ἐρωτηθεὶς, ὅπως ἔσχε, φρίκῃ συσχεθεὶς, εἶπε, σφοδρῶς διατετινάχθαι. Ὁ δὲ, καὶ τοῦτ' ἀγαθὸν, ἔφησεν, εἶναι. Ἐκ δὲ τρίτου αὖθις ἐρωτηθεὶς, ὅπως διεγένετο, εἶπεν, ὑδέρῳ περιπεπτωκέναι. Ὁ δὲ, καὶ τοῦτο πάλιν ἀγαθὸν, εἶπεν, εἶναι. Εἶτα τῶν οἰκείων τινὸς αὐτὸν ἐρωτήσαντος, ὅπως ἔχει· Ἐγὼ, εἶπεν, ὦ οὗτος, ὑπὸ τῶν ἀγαθῶν ἀπόλλυμαι.

Ὁ μῦθος δηλοῖ, ὅτι μάλιστα τῶν ἀνθρώπων δυσχεραίνομεν τοὺς πρὸς χάριν ἀεὶ βουλομένους λέγειν.

44. ΞΥΛΕΥΟΜΕΝΟΣ ΚΑΙ ΕΡΜΗΣ.

Ξυλευόμενός τις παρὰ τῷ ποταμῷ τὸν οἰκεῖον ἀπέβαλε πέλεκυν. Ἀμηχανῶν τοίνυν, παρὰ τὴν ὄχθην καθίσας ὠδύρετο. Ἑρμῆς δὲ, μαθὼν τὴν αἰτίαν, καὶ οἰκτείρας τὸν ἄνθρωπον, καταδὺς εἰς τὸν ποταμὸν, χρυσοῦν ἀνήνεγκε πέλεκυν, καὶ, εἰ οὗτός ἐστιν, ὃν ἀπώλεσεν, ἤρετο. Τοῦ δὲ, μὴ τοῦτον εἶναι, φαμένου, αὖθις καταβὰς, ἀργυροῦν ἀνεκόμισε. Τοῦ δὲ, μηδὲ τοῦτον εἶναι τὸν οἰκεῖον, εἰπόντος, ἐκ τρίτου καταβὰς, ἐκεῖνον τὸν οἰκεῖον ἀνήνεγκε. Τοῦ δὲ, τοῦτον ἀληθῶς εἶναι τὸν ἀπολωλότα, φαμένου, Ἑρμῆς, ἀποδεξάμενος αὐτοῦ τὴν δικαιοσύνην, ἅπαντας αὐτῷ ἐδωρήσατο. Ὁ δὲ, παραγενόμενος πάντα τοῖς ἑταίροις τὰ συμβάντα διεξελήλυθεν. Ὧν εἷς τις τὰ ἴσα διαπράξασθαι ἐβουλεύσατο, καὶ παρὰ τὸν ποταμὸν ἐλθὼν, καὶ τὴν οἰκείαν ἀξίνην ἐξεπίτηδες ἀφεὶς εἰς τὸ ῥεῦμα, κλαίων ἐκάθητο. Ἐπιφανεὶς οὖν ὁ Ἑρμῆς κἀκείνῳ, καὶ τὴν αἰτίαν μαθὼν τοῦ θρήνου, καταβὰς ὁμοίως, χρυσῆν ἀξίνην ἐξήνεγκε, καὶ ἤρετο, εἰ ταύτην ἀπέβαλε. Τοῦ δὲ σὺν ἡδονῇ, Ναὶ ἀληθῶς ἥδ' ἐστὶ, φήσαντος, μισήσας ὁ θεὸς τὴν τοσαύτην ἀναίδειαν, οὐ μόνον ἐκείνην κατέσχεν, ἀλλ' οὐδὲ τὴν οἰκείαν ἀπέδωκεν.

Ὁ μῦθος δηλοῖ, ὅτι, ὅσον τοῖς δικαίοις τὸ θεῖον συναίρεται, τοσοῦτον τοῖς ἀδίκοις ἐναντιοῦται.

ΑΛΛΩΣ.

Γεωργόν φασι, παρὰ ποταμὸν βαδίζοντα, ἀποβαλεῖν ἀξίνην· κατοικτείραντα δὲ τὸν ποταμὸν ἀνεῖναι αὐτῷ ἀργυρᾶν. Τοῦ δὲ φήσαντος, οὐκ εἶναι ταύτην αὐτοῦ, ἀνεῖναι αὖθις χρυσῆν. Ἀρνησαμένου δὲ καὶ ταύτην, τὸν ποταμὸν τὴν ἰδίαν αὐτῷ ἀναδοῦναι, καὶ τὰς ἄλλας δωρήσασθαι, ἀγασθέντα αὐτὸν τῆς δικαιοσύνης. Ἕτερον δὲ γεωργὸν, βουλόμενον τῶν αὐτῶν τυχεῖν,

ἑκόντα καταβαλεῖν τὴν ἀξίνην ἐν τῷ αὐτῷ ποταμῷ. Τὸν δὲ ποταμὸν οὐδὲ τὴν ἰδίαν αὐτῷ ἀναπέμψαι. Τὸν δὲ πρότερον γεωργὸν παρατυχόντα εἰπεῖν πρὸς αὐτόν· Οὐκ ἀεὶ ποταμὸς ἀξίνας φέρει.

45. ΟΝΟΣ ΚΑΙ ΚΗΠΩΡΟΣ.

Ονος, ὑπηρετούμενος κηπωρῷ, ἐπειδὴ ὀλίγα μὲν ἤσθιε, πλεῖστα δ' ἐμόχθει, ηὔξατο τῷ Διὶ, ὥστε τοῦ κηπωροῦ ἀπαλλαγεὶς ἑτέρῳ ἀπεμπωληθῆναι δεσπότῃ. Τοῦ δὲ Διὸς ἐπακούσαντος, καὶ κελεύσαντος αὐτὸν κεραμεῖ πραθῆναι, πάλιν ἐδυσφόρει, πλέον, ἢ πρότερον, ἀχθοφορῶν, καὶ τόν τε πηλὸν καὶ τοὺς κεράμους κομίζων. Πάλιν οὖν ἀμεῖψαι τὸν δεσπότην ἱκέτευε, καὶ βυρσοδέψῃ ἀπεμπωλεῖται. Εἰς χείρονα τοίνυν τῶν προτέρων δεσπότην ἐμπεσὼν, καὶ ὁρῶν τὰ παρ' αὐτοῦ πραττόμενα, μετὰ στεναγμῶν ἔφη· Οἴμοι τῷ ταλαιπώρῳ· βέλτιον ἦν μοι, παρὰ τοῖς προτέροις δεσπόταις μένειν· οὗτος γὰρ, ὡς ὁρῶ, καὶ τὸ δέρμα μου κατεργάσεται.

Ὁ μῦθος δηλοῖ, ὅτι τότε μάλιστα τοὺς προτέρους δεσπότας οἱ οἰκέται ποθοῦσιν, ὅταν τῶν δευτέρων λάβωσι πεῖραν.

46. ΟΡΝΙΘΟΘΗΡΑΣ ΚΑΙ ΚΟΡΥΔΑΛΟΣ.

Ορνιθοθήρας ὄρνισιν ἵστη παγίδας. Κορυδαλὸς δὲ τοῦτον πόῤῥωθεν ἰδὼν ἐπυνθάνετο, τί ποτ' ἐργάζοιτο. Τοῦ δὲ, πόλιν κτίζειν, φαμένου, εἶτα δὲ ποῤῥωτέρω ἀποχωρήσαντος καὶ κρυβέντος, ὁ κορυδαλὸς, τοῖς τοῦ ἀνδρὸς λόγοις πιστεύσας, προσελθὼν εἰς τὸν βρόχον ἑάλω. Τοῦ δὲ ὀρνιθοθήρου ἐπιδραμόντος, ἐκεῖνος εἶπεν· Ὦ οὗτος, εἰ τοιαύτην πόλιν κτίζεις, οὐ πολλοὺς εὑρήσεις τοὺς ἐνοικοῦντας.

Ὁ μῦθος δηλοῖ, ὅτι τότε μάλιστα οἶκοι καὶ πόλεις ἐρημοῦνται, ὅταν οἱ προεστῶτες χαλεπαίνωσιν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

47. ΟΔΟΙΠΟΡΟΣ.

Οδοιπόρος, πολλὴν ἀνύσας ὁδὸν, ηὔξατο, εἰ ἄρα εὑρήσει τι, τὸ ἥμισυ τούτου τῷ Ἑρμῇ ἀναθήσειν. Περιτυχὼν δὲ πήρᾳ μεστῇ φοινίκων καὶ ἀμυγδάλων, καὶ ταύτην ἀνελόμενος, ἐκείνους μὲν ἔφαγε, τὰ δὲ τῶν φοινίκων ὀςᾶ, καὶ τὰ τῶν ἀμυγδάλων κελύφη ἐπί τινος ἀνέθηκε βωμοῦ, φήσας· Ἀπέχεις, ὦ Ἑρμῆ, τὴν εὐχήν· τοῦ γὰρ εὑρεθέντος τὰ ἐκτὸς καὶ [τὰ] ἐντὸς πρὸς σὲ διανενέμημαι.

Ὁ μῦθος πρὸς ἄνδρα φιλάργυρον, καὶ τοὺς θεοὺς διὰ πλεονεξίαν κατασοφιζόμενον.

48. ΠΑΙΣ ΚΑΙ ΜΗΤΗΡ.

Παῖς, ἐκ διδασκαλείου τὴν τοῦ συμμαθητοῦ δέλτον κλέψας, ἤνεγκε τῇ μητρί. Τῆς δὲ, μὴ ἐπιπληξάσης, μᾶλλον μὲν οὖν ἀποδεξαμένης, προϊὼν τοῖς χρόνοις, ἤρξατο καὶ τὰ μείζω κλέπτειν. Ἐπ' αὐτοφώρῳ δέ ποτε ληφθεὶς ἀπήγετο τὴν πρὸς θάνατον. Τῆς δὲ μητρὸς ἑπομένης, καὶ ὀλοφυρομένης, ἐκεῖνος τῶν δημίων ἐδεῖτο, βραχέα τινὰ τῇ μητρὶ διαλεχθῆναι πρὸς τὸ οὖς. Τῆς δὲ ταχέως τὸ οὖς τῷ στόματι τοῦ παιδὸς προσθείσης, ἐκεῖνος τὸ οὖς τοῖς ὀδοῦσι δακὼν ἀφείλετο. Τῆς δὲ μητρὸς καὶ τῶν ἄλλων κατηγορούντων, ὡς οὐ μόνον κέκλοφεν, ἀλλ' ἤδη καὶ εἰς τὴν μητέρα ἠσέβηκεν, ἐκεῖνος εἶπεν· Αὕτη γάρ μοι τῆς ἀπωλείας γέγονεν αἴτιος. Εἰ γὰρ, ὅτε τὴν δέλτον ἐκεκλόφειν, ἐπέπληξέ μοι, οὐκ ἂν μέχρι τούτων χωρήσας, νῦν ἠγόμην ἐπὶ τὸν θάνατον.

Ὁ μῦθος δηλοῖ, ὅτι τῶν μὴ κατ' ἀρχὰς κολαζομένων ἐπὶ μεῖζον αὐξάνει τὰ κακά.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

49. ΠΟΙΜΗΝ ΚΑΙ ΘΑΛΑΣΣΑ.

Ποιμὴν, ἐν παραθαλασσίῳ τόπῳ ποίμνιον νέμων, ἑωρακὼς γαληνιῶσαν τὴν θάλατταν, ἐπεθύμησε πλεῦσαι πρὸς ἐμπορίαν. Ἀπεμπωλήσας οὖν τὰ πρόβατα, καὶ φοινίκων βαλάνους πριάμενος, ἀνήχθη. Χειμῶνος δὲ σφοδροῦ γενομένου, καὶ τῆς νεὼς κινδυνευούσης βαπτίζεσθαι, πάντα τὸν φόρτον ἐκβαλὼν εἰς τὴν θάλατταν, μόλις κενῇ τῇ νηῒ διεσώθη. Μετὰ δ' ἡμέρας οὐκ ὀλίγας παριόντος τινὸς, καὶ τῆς θαλάττης (ἔτυχε γὰρ αὕτη γαληνιῶσα) τὴν ἠρεμίαν θαυμάζοντος, ὑπολαβὼν οὗτος, εἶπε· Φοινίκων αὖθις, ὡς ἔοικεν, ἐπιθυμεῖ, καὶ διὰ τοῦτο φαίνεται ἡσυχάζουσα.

Ὁ μῦθος δηλοῖ, ὅτι τὰ παθήματα τοῖς ἀνθρώποις μαθήματα γίνεται.

50. ΡΟΙΑ ΚΑΙ ΜΗΛΕΑ.

Ροιὰ καὶ μηλέα περὶ κάλλους ἤριζον. Πολλῶν δ' ἀμφισβητήσεων μεταξὺ γενομένων, βάτος, ἐκ τοῦ πλησίον ἀκούσασα φραγμοῦ, Παυσώμεθα, εἶπεν, ὦ φίλαι, ποτὲ μαχόμεναι.

Ὁ μῦθος δηλοῖ, ὅτι ἐν ταῖς τῶν ἀμεινόνων στάσεσι καὶ οἱ μηδενὸς ἄξιοι πειρῶνται εἶναί τι.

51. ΑΣΠΑΛΑΞ.

Ὁ Ἀσπάλαξ τυφλὸν ζῶόν ἐστι. Φησὶν οὖν ποτε τῇ μητρί· Συκαμινέαν, μῆτερ, ὁρῶ. Εἶτα αὖθίς φησι· Λιβάνου ὀσμῆς πεπλήρωμαι. Κἀκ τρίτου πάλιν, Χαλκῆς, φησὶ, ψηφῖδος κτύπον ἀκούω. Ἡ δὲ μήτηρ ὑπολαβοῦσα εἶπεν· Ὦ τέκνον, ὡς ἤδη καταμανθάνω, οὐ μόνον ὄψεως ἐστέρησαι, ἀλλὰ καὶ ἀκοῆς, καὶ ὀσφρήσεως.

Ὁ μῦθος δηλοῖ, ὅτι ἔνιοι τῶν ἀλαζόνων τὰ ἀδύνατα κατεπαγγέλλονται, καὶ ἐν τοῖς ἐλαχίστοις ἐλέγχονται.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

52. ΣΦΗΚΕΣ ΚΑΙ ΠΕΡΔΙΚΕΣ ΚΑΙ ΓΕΩΡΓΟΣ.

Σφῆκες καὶ πέρδικες, δίψῃ συνεχόμενοι, πρὸς γεωργὸν ἦλθον, παρ' αὐτοῦ αἰτοῦντες πιεῖν, ἐπαγγελλόμενοι ἀντὶ τοῦ ὕδατος ταύτην τὴν χάριν ἀποδώσειν· οἱ μὲν πέρδικες, σκάπτειν τὰς ἀμπέλους· οἱ δὲ σφῆκες, κύκλῳ περιιόντες τοῖς κέντροις ἀποσοβεῖν τοὺς κλέπτας. Ὁ δὲ γεωργὸς ἔφη· Ἀλλ' ἔμοιγέ εἰσι δύο βόες, οἳ μηθὲν ἐπαγγελλόμενοι πάντα ποιοῦσιν· ἄμεινον οὖν ἐστιν, ἐκείνοις δοῦναι, ἤπερ ὑμῖν.

Ὁ μῦθος πρὸς ἄνδρας ἐξώλεις ὠφελεῖν μὲν ἐπαγγελλομένους, βλάπτοντας δὲ μεγάλα.

53. ΤΑΩΣ ΚΑΙ ΚΟΛΟΙΟΣ.

Τῶν ὀρνίθων βουλομένων ποιῆσαι βασιλέα, ταὼς ἑαυτὸν ἠξίου, διὰ τὸ κάλλος, χειροτονεῖν. Αἱρουμένων δὲ τοῦτον πάντων, κολοιὸς ὑπολαβὼν, ἔφη· Ἀλλ' εἰ, σου βασιλεύοντος, ἀετὸς ἡμᾶς καταδιώκειν ἐπιχειρήσει, πῶς ἡμῖν ἐπαρκέσεις;

Ὁ μῦθος δηλοῖ, ὅτι τοὺς ἄρχοντας οὐ διὰ κάλλος μόνον, ἀλλὰ καὶ ῥώμην καὶ φρόνησιν, ἐκλέγεσθαι δεῖ.

54. ΜΟΝΙΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.

Μονιὸς ἄγριος, ἐπί τινος ἑστὼς δένδρου, τοὺς ὀδόντας ἔθηγεν. Ἀλώπεκος δ' ἐρομένης τὴν αἰτίαν, ὅτι μηδεμιᾶς προσκειμένης ἀνάγκης *τί* τοὺς ὀδόντας θήγει, ἔφη· Οὐκ ἀλόγως τοῦτο ποιῶ· εἰ γάρ με κίνδυνος περιστaίη, οὔκουν με τηνικαῦτα πρὸς τῷ τοὺς ὀδόντας ἀκονᾷν ἀσχολεῖσθαι δεήσει, ἀλλὰ μᾶλλον ἑτοίμοις οὖσι χρῆσθαι.

Ὁ μῦθος δηλοῖ, ὅτι δεῖ πρὸς τὸν κίνδυνον παρασκευάζεσθαι.

55. ΚΟΡΥΔΑΛΟΣ.

Κορυδαλὸς, εἰς πάγην ἁλοὺς, θρηνῶν ἔλεγεν· Οἴμοι τῷ ταλαιπώρῳ καὶ δυστήνῳ πτηνῷ. Οὐ χρυσὸν ἐνοσφισάμην τινὸς, οὐκ ἄργυρον, οὐκ ἄλλο τι τῶν τιμίων· κόκκος δὲ σίτου μικρὸς τὸν θάνατόν μοι προὐξένησεν.

Ὁ μῦθος πρὸς τοὺς διὰ κέρδος εὐτελὲς μέγαν ὑφισταμένους κίνδυνον.

56. ΝΕΒΡΟΣ.

Νεβρός ποτε πρὸς τὸν ἔλαφον εἶπε· Πάτερ, σὺ καὶ μείζων, καὶ ταχύτερος κυνῶν πέφυκας, καὶ κέρατα πρὸς τούτοις ὑπερφυᾶ φέρεις πρὸς ἄμυναν. Τί δή ποτ' οὖν οὕτω τούτους φοβῇ; Κἀκεῖνος γελῶν εἶπεν· Ἀληθῆ μὲν ταῦτα φὴς, τέκνον· ἓν δ' οἶδα, ὡς, ἐπειδὰν κυνὸς ὑλακὴν ἀκούσω, αὐτίκα πρὸς φυγὴν, οὐκ οἶδ' ὅπως, ἐκφέρομαι.

Ὁ μῦθος δηλοῖ, ὅτι τοὺς φύσει δειλοὺς οὐδεμία παραίνεσις ῥώννυσιν.

57. ΛΑΓΩΟΙ ΚΑΙ ΒΑΤΡΑΧΟΙ.

Οἱ λαγωοί ποτε συνελθόντες τὸν ἑαυτῶν πρὸς ἀλλήλους ἀπεκλαίοντο βίον, ὡς ἐπισφαλὴς εἴη, καὶ δειλίας πλέως· καὶ γὰρ καὶ ὑπ' ἀνθρώπων, καὶ κυνῶν, καὶ ἀετῶν, καὶ ἄλλων πολλῶν ἀναλίσκονται. Βέλτιον οὖν εἶναι, θανεῖν ἅπαξ, ἢ διὰ βίου τρέμειν. Τοῦτο τοίνυν κυρώσαντες, ὥρμησαν κατὰ ταὐτὸν εἰς τὴν λίμνην, ὡς εἰς αὐτὴν ἐμπεσούμενοι καὶ ἀποπνιγησόμενοι. Τῶν δὲ καθημένων κύκλῳ τῆς λίμνης βατράχων, ὡς τὸν τοῦ δρόμου κτύπον ᾔσθοντο, εὐθὺς εἰς ταύτην εἰσπηδησάντων, τῶν λαγωῶν τις, ἀγχινούστερος εἶναι δοκῶν τῶν ἄλλων, ἔφη· Στῆτε, ἑταῖροι,

μηδὲν δεινὸν ὑμᾶς αὐτοὺς διαπράξησθε· ἤδη ὡς ὁρᾶτε, καὶ ἡμῶν ἕτερ' ἐςὶ ζῶα δειλότερα.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ δυςυχοῦντες, ἐξ ἑτέρων, χείρονα πασχόντων, παραμυθοῦνται.

ΑΛΛΩΣ.

Οἱ λαγωοὶ συναχθέντες ἑαυτοῖς εἶπον· Ἀβίωτός ἐςιν ἡμῶν ὁ βίος. Καὶ γὰρ ἀετοί, καὶ κύνες τε, καὶ ἄνδρες, ὡς οὐδὲν, πάντες καταπονοῦσιν ἡμᾶς. Βέλτιόν ἐςιν ἡμᾶς ῥίψαι εἰς τὴν λίμνην, καὶ πνιγῆναι. Ταῦτ' οὖν εἰπόντες ἀπῄεσαν εἰς λίμνην. Οἱ δὲ ἐπὶ ταῖς ὄχθαις τῆς λίμνης βάτραχοι, τούτους ἰδόντες, ἔῤῥιψαν αὐτοὺς εἰς [τὴν] λίμνην ἐκ τοῦ φόβου. Εἷς δέ τις γέρων λαγωὸς ἔφη πρὸς τοὺς ἑτέρους· Στῆτε, φίλοι, καὶ μὴ ἑαυτοὺς ἀποπνίξωμεν· εἰσὶ γὰρ καὶ ἄλλα ζῶα, ὡς ὁρᾶτε, δειλότερα ἡμῶν.

Ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ ἑαυτὸν ἀπογινώσκειν δι' εὐτέλειαν σώματος, ἤ τι τοιοῦτον, ἀλλὰ παρηγορεῖν ἑαυτόν.

ΑΛΛΩΣ.

Θάνατον ἑαυτῶν κατεψηφίζοντο λαγωοί. Καὶ τελευτᾷν μὲν ἐδόκει· τό δὲ ὅποι, ζητεῖν ὑπελείπετο. Λίμνην δὲ, τῷ θανάτῳ προσήκοντα χῶρον, ὁρίσαντες, ἔθεον ἅπαντες, ὡς παρὰ ταύτην ἀποθανούμενοι. Προσιόντων δὲ τὸν κτύπον οὐκ ἤνεγκαν οἱ παρὰ τὰς ὄχθας διατρίβοντες βάτραχοι, τοὺς δὲ λίμνης μυχοὺς κατελάμβανον. Καὶ δὴ πρεσβύτης ἑωρακὼς λαγωὸς, Λελύσθω, ἔφη, τοῦ θανάτου ἡ ψῆφος· πεφήνασι γὰρ ἡμῶν ἀνανδρότεροι. (1).

Ψυχαγωγοῦσι τοὺς ἀτυχήσαντας οἱ μᾶλλον κακοπραγήσαντες.

---

(1) Εἰς τοῦτον ἀναφέρεται τὸν μῦθον καὶ τὰ παρὰ τῷ Σουΐδᾳ (λέξ. Ἄτολμοι) ἐκ τοῦ Βαβρίου φερόμενα ἀποσπασμάτια ταδὶ,

ὅθ' οὕνεκ' εἰσὶν ἀδρανέςατοι ζώων,

ΑΛΛΩΣ.

Θανεῖν ἔθεντο πτῶκες, ἢ ζῆν ἐν βίῳ,
Ὡς εὐτελεῖς, ὡς ὄντες ἀδρανεῖς ἄγαν.
Λιμνῃ δ' ἑαυτοὺς ἐμβαλεῖν ἠπειγμένοι,
Ἔσχον, φυγόντων βατράχων, θάρσος μέγα.

Μὴ ἀπογινώσκειν.

58. ΟΝΟΣ ΚΑΙ ΙΠΠΟΣ.

Ονος ἵππον ἐμακάριζεν, ὡς ἀφθόνως τρεφόμενον καὶ ἐπιμελῶς, αὐτὸς μηδ' ἀχύρων ἅλις ἔχων, καὶ ταῦτα πλεῖςα ταλαιπωρῶν. Ἐπεὶ δὲ καιρὸς ἐπέςη πολέμου, καὶ ὁ ςρατιώτης ἔνοπλος ἀνέβη τὸν ἵππον, πανταχόσε τοῦτον ἐλαύνων, καὶ δὴ καὶ μέσον τῶν πολεμίων εἰσήλασε, καὶ ὁ ἵππος πληγεὶς ἔκειτο· ταῦτα πάντα ἑωρακὼς ὁ ὄνος, τὸν ἵππον μεταβαλλόμενος ἐταλάνιζεν.

Ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ τοὺς ἄρχοντας, καὶ πλουσίους ζηλοῦν, ἀλλὰ τὸν κατ' ἐκείνων φθόνον, καὶ τὸν κίνδυνον ἀναλογιζομένους, τὴν πενίαν ἀγαπᾷν.

ΑΛΛΩΣ. (1).

Ὄνος καὶ ἵππος ὑπῆρχον ἀνθρώπῳ τινὶ, καὶ ἕκαςος αὐτῶν ἰδίαν ὑπηρεσίαν ἐπλήρου. Ἀλλ' ὁ μὲν ἵππος ἀνέσεως πολλῆς παρ-

---

Ψυχὰς ἄτολμοι, μοῦνον εἰδότες φεύγειν.

Καὶ πάλιν (λέξ. Ἀκταίη, καὶ Ὀχλαδίας)·

Καὶ βατράχων ὅμιλον εἶδον ἀκταίων,
Βαθεῖαν εἰς ἰλὺν ὀχλαςὶ πηδώντων.

(1) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. κθ'.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

απολαύων δαψιλῶς ἐτρέφετο, χαίτην τε καὶ πλοκάμους ὑπὸ τῶν ἱπποκόμων ἐκαλλωπίζετο, καὶ ὁσημέραι τοῖς ὕδασιν ἀπελούετο. Ὁ δὲ ὄνος διόλου ἀχθοφορῶν, τῷ τῶν γόμων βάρει κατετρύχετο. Μιᾷ γοῦν, ὁ τοῦ ἵππου κύριος, ἐπιβὰς αὐτοῦ, ἐπί τινα πόλεμον ἀπῄει· καὶ τῆς μάχης συγκροτηθείσης, ὁ ἵππος εὐθὺς ἐπλήγη καὶ ἀνῃρέθη. Ἰδὼν δὲ τὴν αὐτοῦ ἀπώλειαν ὁ ὄνος, ἑαυτὸν μᾶλλον τῆς πολυμόχθου ἐμακάριζεν ὑπηρεσίας.

Ὁ μῦθος δηλοῖ, ὡς ὁ πενιχρὸς βίος, ἀνεπίφθονος τυγχάνων, πολλῷ τοῦ πλούτου ὡς κινδυνώδους προτιμότερος.

59. ΦΙΛΑΡΓΥΡΟΣ.

Φιλάργυρός τις, ἅπασαν αὐτοῦ τὴν οὐσίαν ἐξαργυρισάμενος, καὶ χρυσοῦν βῶλον ποιήσας, ἔν τινι τόπῳ κατώρυξε, συγκατορύξας ἐκεῖ καὶ τὴν ψυχὴν ἑαυτοῦ καὶ τὸν νοῦν· καὶ καθ' ἡμέραν ἐρχόμενος, αὐτὸν ἔβλεπε. Τῶν δὲ ἐργατῶν τις αὐτὸν παρατηρήσας, καὶ τὸ γεγονὸς συννοήσας, ἀνορύξας τὸν βῶλον ἀνείλετο. Μετὰ δὲ ταῦτα κἀκεῖνος ἐλθὼν, καὶ κενὸν τὸν τόπον ἰδὼν, θρηνεῖν ἤρξατο, καὶ τίλλειν τὰς τρίχας. Τοῦτον δέ τις ὀλοφυρόμενον οὕτως ἰδὼν, καὶ τὴν αἰτίαν πυθόμενος, Μὴ οὕτως, εἶπεν, ὦ οὗτος, ἀθύμει· οὐδὲ γὰρ, ἔχων τὸν χρυσὸν, εἶχες. Λίθον οὖν ἀντὶ χρυσοῦ λαβὼν θὲς, καὶ νόμιζέ σοι τὸν χρυσὸν εἶναι· τὴν αὐτὴν γάρ σοι πληρώσει χρείαν· ὡς ὁρῶ γὰρ, οὐδ' ὅτε ὁ χρυσὸς ἦν, ἐν χρήσει ἦσθα τοῦ κτήματος.

Ὁ μῦθος δηλοῖ, ὅτι οὐδὲν ἡ κτῆσις, ἐὰν μὴ ἡ χρῆσις προσῇ.

60. ΧΗΝΕΣ ΚΑΙ ΓΕΡΑΝΟΙ.

Χῆνες καὶ γέρανοι ἐπὶ ταὐτοῦ λειμῶνος ἐνέμοντο. Τῶν δὲ θηρευτῶν ἐπιφανέντων, οἱ μὲν γέρανοι, κοῦφοι ὄντες, ταχέως

ἀπέπτησαν· οἱ δὲ χῆνες, διὰ τὸ βάρος τῶν σωμάτων μείναντες, συνελήφθησαν.

Ὁ μῦθος δηλοῖ, ὅτι καὶ ἐν ἁλώσει πόλεως οἱ μὲν ἀκτήμονες εὐχερῶς φεύγουσιν, οἱ δὲ πλούσιοι δουλεύουσιν ἁλισκόμενοι.

ΑΛΛΩΣ. (1).

ΚΥΚΝΟΙ ΚΑΙ ΧΗΝΕΣ.

Κύκνοι καὶ χῆνες, ἀλλήλοις φιλιωθέντες, ἐπὶ τῆς πεδιάδος ἐξῆλθον· καὶ νεμομένων αὐτῶν ὁμοθυμαδὸν, θηρευταὶ αὐτοῖς ἐπῆεσαν. Καὶ οἱ μὲν κύκνοι, διὰ τὴν τοῦ σώματος ταχυτῆτα, εὐθὺς πετασθέντες, ἔφυγον. Αἱ δὲ χῆνες, τῇ ἑαυτῶν φυσικῇ βραδυτῆτι ἐπεχόμεναι, ὑπὸ τῶν θηρευτῶν κατεσχέθησαν.

Οὗτος ὁ λόγος παριστᾷ τοὺς μὴ ὁλοτρόπως τοῖς ἑαυτῶν φίλοις προσανέχοντας, ἀλλ' ἐν καιρῷ περιστάσεων τούτων ἀφισταμένους.

61. ΧΕΛΩΝΗ ΚΑΙ ΑΕΤΟΣ.

Χελώνη ἀετοῦ ἐδεῖτο, ἵπτασθαι αὐτὴν διδάξαι. Τοῦ δὲ παραινοῦντος, πόῤῥω τοῦτο τῆς φύσεως αὐτῆς εἶναι, ἐκείνη μᾶλλον τῇ δεήσει προσέκειτο. Λαβὼν οὖν αὐτὴν τοῖς ὄνυξι, καὶ εἰς ὕψος ἀνενεγκὼν, εἶτ' ἀφῆκεν. Ἡ δὲ, κατὰ πετρῶν πεσοῦσα, συνετρίβη.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ ἐν φιλονεικίαις, τῶν φρονιμωτέρων παρακούσαντες, ἑαυτοὺς ἔβλαψαν.

ΑΛΛΩΣ.

Νωθρὴ χελώνη σὺν πτεροῖς ᾔτει δρόμον.
Ὕψου δὲ ταύτην αἰετὸς συναρπάσας,
Ἔῤῥιψε πέτραις, καὶ θλάσεν. Μόλις δ' ἔφη,

(1) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. ξ.

Κρεῖσσον βάρος μοι μᾶλλον, ἢ πτερῶν τάχος.

Τοῦ ἀδυνάτου μὴ ἐρᾶν, τοῦ δυνατοῦ ὀρέγεσθαι (2).

62. ΨΥΛΛΑ.

Ψύλλα ποτὲ πηδήσασα ἐπὶ πόδα ἀνδρὸς ἐκάθισεν. Ὁ δὲ τὸν Ἡρακλῆν ἐπὶ συμμαχίαν ἐκάλει. Τῆς δὲ ἐκεῖθεν αὖθις ἀφαλομένης, ϛενάξας εἶπεν· Ὦ Ἡράκλεις, εἰ ἐπὶ ψύλλῃ οὐ συνεμάχησας, πῶς ἐπὶ μείζοσιν ἀνταγωνιϛαῖς συνεργήσεις;

Ὁ μῦθος δηλοῖ μὴ δεῖν ἐπὶ τῶν ἐλαχίϛων τοῦ θείου δεῖσθαι, ἀλλ' ἐπὶ τῶν ἀναγκαίων.

63. ΕΛΑΦΟΣ.

Ἔλαφος, τὸν ἕτερον πεπηρωμένη τῶν ὀφθαλμῶν, ἐπ' ἠϊόνος ἐνέμετο, τὸν μὲν ὑγιᾶ τῶν ὀφθαλμῶν πρὸς τὴν ξηρὰν, διὰ τοὺς κυνηγετοῦντας, ἔχουσα, τὸν δὲ λοιπὸν πρὸς [τὴν] θάλατταν, ὅθεν οὐδὲν ὑπώπτευε. Παραπλέοντες δέ τινες, καὶ τούτου ϛοχασάμενοι, αὐτῆς κατετόξευσαν. Ἡ δ' ἑαυτὴν ὠλοφύρετο, ὡς, ὑφ' ἧς μὲν ἐδεδοίκει, μηδὲν παθοῦσα, ἣν δ' οὐκ ᾤετο κακὸν ἐπάξειν, ὑπὸ ταύτης προδεδομένη.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλάκις ἡμῖν τὰ βλαβερὰ δοκοῦντα ὠφέλιμα γίνεται, τὰ δ' ὠφέλιμα, βλαβερά.

64. ΕΛΑΦΟΣ ΚΑΙ ΛΕΩΝ.

Ἔλαφος, κυνηγοὺς φεύγουσα, εἰς ἄντρον εἰσέδυ· λέοντι δ'

(2) Ὧδε ἀναφέρεται καὶ τὸ παρὰ τῷ Σουΐδᾳ (λέξ. Στυφελισμοὺς) ἀνώνυμον ἀποσπασμάτιον τοδὶ,

. . . . ὅθι ϛυφελῶν ἐπὶ πετρῶν
Ὀϛρακοεντά τε νῶτα καὶ ἀγκύλα γυῖα κεάσθη.

ἐκεῖ περιτυχοῦσα, ὑπ' αὐτοῦ συνελήφθη. Θνήσκουσα δ' ἔλεγεν· Οἴμοι, ὅτι, ἀνθρώπους φεύγουσα, τῷ τῶν θηρίων ἀγριωτάτῳ περιέπεσον.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ τῶν ἀνθρώπων, μικροὺς κινδύνους φεύγοντες, μεγάλων ἐπειράθησαν.

ΑΛΛΩΣ.

Ἔλαφος, κυνηγοὺς φεύγουσα, ἐγένετο κατά τι σπήλαιον, ἐν ᾧ λέων ἦν, καὶ ἐνταῦθα εἰσῄει κρυβησομένη. Συλληφθεῖσα δὲ ὑπὸ τοῦ λέοντος, καὶ ἀναιρουμένη, εἶπε· Δυσδαίμων ἐγὼ, ἥτις ἀνθρώπους φεύγουσα ἐμαυτὴν θηρίῳ ἐνεχείρισα.

Οὕτως ἔνιοι τῶν ἀνθρώπων, διὰ φόβον ἐλαττόνων κινδύνων, ἑαυτοὺς εἰς μείζονα κακὰ εἰσιᾶσιν.

65. ΕΛΑΦΟΣ ΚΑΙ ΑΜΠΕΛΟΣ.

Ἔλαφος, κυνηγοὺς φεύγουσα, ὑπ' ἀμπέλῳ ἐκρύβη. Παρελθόντων δ' ὀλίγον ἐκείνων, ἡ ἔλαφος, τελέως ἤδη λαθεῖν δόξασα, τῶν τῆς ἀμπέλου φύλλων ἐσθίειν ἤρξατο. Τούτων δὲ σειομένων, οἱ κυνηγοὶ ἐπιστραφέντες, καὶ, ὅπερ ἦν ἀληθὲς, νομίσαντες τῶν ζώων ὑπὸ τοῖς φύλλοις τι κρύπτεσθαι, βέλεσιν ἀνεῖλον τὴν ἔλαφον. Ἡ δὲ, θνήσκουσα, τοιαῦτ' ἔλεγε, Δίκαια πέπονθα· οὐ γὰρ ἔδει τὴν σώσασάν με λυμαίνεσθαι.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ ἀδικοῦντες τοὺς εὐεργέτας ὑπὸ θεοῦ κολάζονται.

ΑΛΛΩΣ.

Ἔλαφον ἐξήλαυνον οἱ κυνηγέται·
Ἥτις δασείαις ἀμπέλοις ἀπεκρύβη.
Τὰ φύλλα βιβρώσκουσα δὴ τῶν ἀμπέλων,
Κυνηγετοῦσιν ἐνδίκως ἐθηράθη.

Πρὸς τοὺς κακοποιοῦντας τοὺς αὑτῶν εὐεργέτας.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

66. ΟΝΟΣ ΚΑΙ ΛΕΩΝ.

ΟΝΩ ποτὲ ἀλεκτρυὼν συνεβόσκετο. Λέοντος δ' ἐπελθόντος τῷ ὄνῳ, ὁ ἀλεκτρυὼν ἐφώνησε. Καὶ ὁ μὲν λέων (φασὶ γὰρ τοῦτον τὴν τοῦ ἀλεκτρυόνος φωνὴν φοβεῖσθαι) ἔφυγεν. Ὁ δ' ὄνος, νομίσας δι' αὐτὸν πεφευγέναι, ἐπέδραμεν εὐθὺς τῷ λέοντι. Ὡς δὲ πόῤῥω τοῦτον ἐδίωξεν, ἔνθα μηκέτι ἡ τοῦ ἀλεκτρυόνος ἐφικνεῖτο φωνή, στραφεὶς ὁ λέων, τοῦτον κατεθοινήσατο. Ὁ δὲ, θνήσκων ἐβόα, Ἄθλιος ἐγὼ καὶ ἀνόητος· πολεμιστῶν γὰρ μὴ ὢν γονέων, τίνος χάριν εἰς πόλεμον ἐξωρμήθην;

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ τῶν ἀνθρώπων ταπεινουμένοις ἐπίτηδες τοῖς ἐχθροῖς ἐπιτίθενται, καὶ οὕτως ὑπ' ἐκείνων ἀπόλλυνται.

67. ΚΗΠΩΡΟΣ ΚΑΙ ΚΥΩΝ.

ΚΗΠΩΡΟΥ κύων εἰς φρέαρ κετέπεσεν. Ὁ δὲ κηπωρὸς, βουλόμενος αὐτὸν ἐκεῖθεν ἀναγαγεῖν, κατῆλθε καὶ αὐτὸς εἰς τὸ φρέαρ. Οἰηθεὶς δ' ὁ κύων, ὡς κατωτέρω μᾶλλον αὐτὸν παραγέγονε καταδῦσαι, τὸν κηπωρὸν στραφεὶς ἔδακεν. Ὁ δὲ, μετ' ὀδύνης ἐπανιὼν, Δίκαια, φησὶ, πέπονθα· τί δή ποτε γὰρ τὸν αὐτόχειρα σῶσαι ἐσπούδασα;

Ὁ μῦθος πρὸς ἀδίκους καὶ ἀχαρίστους.

ΑΛΛΩΣ (1).

Κύων κηπουροῦ τινὸς εἰς φρέαρ ἐμπέπτωκεν. Ὁ δὲ κηπουρὸς, κατελθὼν αὐτὸν ἐκεῖθεν ἀνελκύσαι, δεινῶς ὑπ' αὐτοῦ ἐδήχθη, δόξαντος μᾶλλον τὸν ἄνδρα βούλεσθαι αὐτὸν ἐπὶ πλέον κατα-

(1) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. λδ.

βυθίσαι τῷ ὕδατι. Ὁ δὲ κηπουρὸς, ὑπὸ τοῦ κυνὸς δηχθεὶς, Δικαίως, ἔφη, πέπονθα, ὅτι σε τοῦ φρέατος ἐκβαλεῖν ἐσπουδακὼς, χαλεπῶς μᾶλλον ὑπὸ σοῦ τετραυμάτισμαι.

Ὁ μῦθος οὗτος τοὺς ἀχαρίστους καὶ ἀγνώμονας ἐλέγχει.

68. ΣΥΣ ΚΑΙ ΚΥΩΝ.

Σῦς καὶ κύων ἀλλήλοις διελοιδοροῦντο. Καὶ ἡ μὲν σῦς ὤμνυε κατὰ τῆς Ἀφροδίτης, ἦ μὴν τοῖς ὀδοῦσιν ἀναῤῥήξειν τὴν κύνα. Ἡ δὲ κύων πρὸς ταῦτα εἰρωνικῶς εἶπε· Καλῶς κατὰ τῆς Ἀφροδίτης ἡμῖν ὀμνύεις. Δηλοῖς γὰρ ὑπ' αὐτῆς ὅτι μάλιστα φιλεῖσθαι, ἣ τὸν τῶν σῶν ἀκαθάρτων σαρκῶν γευόμενον οὐδ' ὅλως εἰς ἱερὸν προσίεται. Καὶ ἡ σῦς· Διὰ τοῦτο μὲν οὖν μᾶλλον δήλη ἐστὶν ἡ Θεὸς στέργουσά με· τὸν γὰρ κτείναντα, ἢ ἄλλως λυμαινόμενον, παντάπασιν ἀποστρέφεται. Σὺ μέν τοι κακῶς ὄζεις, καὶ ζῶσα, καὶ τεθνηκυῖα.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ φρόνιμοι τῶν ῥητόρων τὰ ὑπὸ τῶν ἐχθρῶν ὀνείδη εὐμεθόδως εἰς ἔπαινον μετασχηματίζουσιν.

69. ΥΣ ΚΑΙ ΚΥΩΝ.

Ὗς καὶ κύων περὶ εὐτοκίας ἤριζον. Ἔφη δ' ἡ κύων, εὔτοκος εἶναι μάλιστα πάντων τῶν πεζῶν ζώων. Καὶ ἡ ὗς, ὑποτυχοῦσα πρὸς ταῦτα, φησίν· Ἀλλ' ὅταν τοῦτο λέγῃς, ἴσθι, ὅτι καὶ τυφλοὺς τοὺς σαυτῆς σκύλακας τίκτεις.

Ὁ μῦθος δηλοῖ, ὅτι οὐκ ἐν τῷ τάχει τὰ πράγματα, ἀλλ' ἐν τῇ τελειότητι, κρίνεται.

ΑΛΛΩΣ.

Ὗς καὶ κύων περὶ εὐτοκίας ἤριζον. Τῆς δὲ κυνὸς εἰπούσης,

ὅτι μόνη τῶν τετραπόδων ταχέως κύει, ἡ ὗς ὑποτυχοῦσα ἔφη· Ἀλλ', ὅταν τοῦτο λέγῃς, γίνωσκε, ὅτι τυφλὰ τίκτεις.

Ὁ λόγος δηλοῖ, ὅτι οὐκ ἐν τῷ τάχει τὰ πράγματα, ἀλλ' ἐν τῇ τελειότητι κρίνονται.

70. ΟΦΙΣ ΚΑΙ ΚΑΡΚΙΝΟΣ.

Οφις καρκίνῳ συνδιῃτᾶτο, ἑταιρείαν πρὸς αὐτὸν ποιησάμενος. Ὁ μὲν οὖν καρκῖνος, ἁπλοῦς ὢν τὸν τρόπον, μεταβαλέσθαι κἀκείνῳ παρῄνει τῆς πανουργίας. Ὁ δὲ οὐδοτιοῦν ἑαυτὸν παρεῖχε πειθόμενον. Ἐπιτηρήσας δ' ὁ καρκῖνος αὐτὸν ὑπνοῦντα, καὶ τοῦ φάρυγγος τῇ χηλῇ λαβόμενος, καὶ ὅσον οἷόν τε πιέσας, φονεύει. Τοῦ δ' ὄφεως μετὰ θάνατον ἐκταθέντος, ἐκεῖνος εἶπεν· Οὕτως ἔδει καὶ πρόσθεν εὐθὺν καὶ ἁπλοῦν εἶναι· οὐδὲ γὰρ ἂν ταύτην τὴν δίκην ἔτισας.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ τοῖς φίλοις σὺν δόλῳ προσιόντες, αὐτοὶ μᾶλλον βλάπτονται.

71. ΠΟΙΜΗΝ ΚΑΙ ΛΥΚΟΣ.

Ποιμὴν, νεογνὸν λύκου σκύμνον εὑρὼν, καὶ ἀνελόμενος, σὺν τοῖς κυσὶν ἔτρεφεν. Ἐπεὶ δ' ηὐξήθη, εἴ ποτε λύκος πρόβατον ἥρπασε, μετὰ τῶν κυνῶν καὶ αὐτὸς ἐδίωκε. Τῶν δὲ κυνῶν ἔσθ' ὅτε μὴ δυναμένων καταλαβεῖν τὸν λύκον, καὶ διὰ ταῦτα ὑποστρεφόντων, ἐκεῖνος ἠκολούθει, μέχρις ἂν, τοῦτον καταλαβὼν, οἷα δὴ λύκος, συμμετάσχῃ τῆς θήρας· εἶτα ὑπέστρεφεν. Εἰ δὲ μὴ λύκος ἔξωθεν ἁρπάσειε πρόβατον, αὐτὸς λάθρα θύων, ἅμα τοῖς κυσὶν ἐθοινεῖτο, ἕως ὁ ποιμὴν στοχασάμενος, καὶ συνεὶς τὸ δρώμενον, εἰς δένδρον αὐτὸν ἀναρτήσας, ἀπέκτεινεν.

Ὁ μῦθος δηλοῖ, ὅτι φύσις πονηρὰ χρηστὸν ἦθος οὐ τρέφει.

72. ΛΕΩΝ ΚΑΙ ΛΥΚΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.

Λέων γηράσας ἐνόσει κατακεκλιμένος ἐν ἄντρῳ. Παρῆσαν δ' ἐπισκεψόμενα τὸν βασιλέα, πλὴν ἀλώπεκος, τἆλλα τῶν ζώων. Ὁ τοίνυν λύκος, λαβόμενος εὐκαιρίας, κατηγόρει παρὰ τῷ λέοντι τῆς ἀλώπεκος, ἅτε δὴ παρ' οὐδὲν τιθεμένης τὸν πάντων αὐτῶν κρατοῦντα, καὶ διὰ ταῦτα μηδ' εἰς ἐπίσκεψιν ἀφιγμένης. Ἐν τοσούτῳ δὲ παρῆν καὶ ἡ ἀλώπηξ, καὶ τῶν τελευταίων ἠκροάσατο τοῦ λύκου ῥημάτων. Ὁ μὲν οὖν λέων κατ' αὐτῆς ἐβρυχᾶτο. Ἡ δ', ἀπολογίας καιρὸν αἰτήσασα, Καὶ τίς, ἔφη, τῶν συνελθόντων τοσοῦτον ὠφέλησεν, ὅσον ἐγὼ, πανταχόσε περινοστήσασα, καὶ θεραπείαν ὑπὲρ σοῦ παρ' ἰατροῦ ζητήσασα, καὶ μαθοῦσα; Τοῦ δὲ λέοντος εὐθὺς τὴν θεραπείαν εἰπεῖν κελεύσαντος, ἐκείνη φησίν, Εἰ λύκον ζῶντα ἐκδείρας, τὴν αὐτοῦ δορὰν θερμὴν ἀμφιέσῃ. Καὶ τοῦ λύκου κειμένου, ἡ ἀλώπηξ γελῶσα εἶπεν· Οὕτως οὐ χρὴ τὸν δεσπότην πρὸς δυσμένειαν παρακινεῖν, ἀλλὰ πρὸς εὐμένειαν.

Ὁ μῦθος δηλοῖ, ὅτι ὁ καθ' ἑτέρου μηχανώμενος, καθ' ἑαυτοῦ τὴν πάγην περιτρέπει.

73. ΓΥΝΗ.

Γυνή τις ἄνδρα μέθυσον εἶχε· τοῦ δὲ πάθους αὐτὸν ἀπαλλάξαι θέλουσα, τοιόνδε τι σοφίζεται. Κεκαρωμένον γὰρ αὐτὸν ὑπὸ τῆς μέθης παρατηρήσασα, καὶ νεκροῦ δίκην ἀναισθητοῦντα, ἐπ' ὤμων ἄρασα, ἐπὶ τὸ πολυάνδριον ἀπενεγκοῦσα κατέθετο, καὶ ἀπῆλθεν. Ἡνίκα δ' αὐτὸν ἤδη ἀνανήφειν ἐστοχάσατο, προσελθοῦσα, τὴν θύραν ἔκοπτε τοῦ πολυανδρίου· ἐκείνου δὲ φήσαντος, Τίς ὁ τὴν θύραν κόπτων; ἡ γυνὴ ἀπεκρίνατο, Ὁ τοῖς

νεκροῖς τὰ σιτία κομίζων, ἐγὼ πάρειμι. Κἀκεῖνος, Μή μοι φαγεῖν, ἀλλὰ πιεῖν, ὦ βέλτιςε, μᾶλλον προσένεγκε· λυπεῖς γάρ με βρώσεως, ἀλλὰ μὴ πόσεως, μνημονεύων. Ἡ δὲ, τὸ ςῆθος πατάξασα, Οἴμοι τῇ δυςήνῳ, φησίν. Οὐδὲν γὰρ, οὐδὲ σοφισαμένη, ὤνησα· σὺ γὰρ, ἄνερ, οὐ μόνον οὐκ ἐπαιδεύθης, ἀλλὰ καὶ χείρων σαυτοῦ γέγονας, εἰς ἕξιν σοι καταςάντος τοῦ πάθους.

Ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ ταῖς κακαῖς πράξεσιν ἐγχρονίζειν. Ἔςι γὰρ ὅτε καὶ μὴ θέλοντι τῷ ἀνθρώπῳ τὸ ἔθος ἐπιτίθεται.

74. ΚΥΚΝΟΣ.

Ἀνὴρ εὐπορῶν, χῆνά τε ἅμα καὶ κύκνον ἔτρεφεν, οὐκ ἐπὶ τοῖς αὐτοῖς μέντοι· τὸν μὲν γὰρ ᾠδῆς, τὸν δὲ τραπέζης ἕνεκεν. Ἐπεὶ δὲ ἔδει τὸν χῆνα παθεῖν ἐφ' οἷς ἐτρέφετο, νὺξ μὲν ἦν, καὶ διαγινώσκειν ὁ καιρὸς οὐκ ἀφῆκεν ἑκάτερον. Ὁ δὲ κύκνος, ἀντὶ τοῦ χηνὸς ἀπαχθεὶς, ᾄδει τι μέλος θανάτου προοίμιον· καὶ τῇ μὲν ᾠδῇ μηνύει τὴν φύσιν, τὴν δὲ τελευτὴν διαφεύγει τῷ μέλει.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλάκις ἡ μουσικὴ τελευτῆς ἀναβολὴν ἀπεργάζεται.

ΑΛΛΩΣ.

Ἀνὴρ εὐπορῶν χῆνά τε ἅμα καὶ κύκνον *ἄμφω* τρέφειν ἐβούλετο. Ἔτρεφε δὲ οὐκ ἐφ' ὁμοίοις βουλεύμασι. Τὸν μὲν γὰρ ᾠδῆς, τὸν δὲ τραπέζης ἐκέκτητο χάριν. Ὡς δὲ ἔδει τὸν χῆνα ἀποθανεῖν ἐφ' οἷς ἐτρέφετο, νὺξ μὲν ἦν, καὶ διαγινώσκειν ὁ καιρὸς οὐκ ἀφῆκεν ἑκάτερον. Ὁ κύκνος δὲ, ἀντὶ τοῦ χηνὸς ἀπαχθεὶς, ᾠδῇ σημαίνει τὴν φύσιν, καὶ τὴν τελευτὴν διαφεύγει τῷ μέλει.

Οὕτως ἡ μουσικὴ τελευτῆς ἀναβολὴν ἀπεργάζεται.

75. ΑΙΘΙΟΨ.

Αἰθίοπά τις ὠνήσατο, τοιοῦτον αὐτῷ τὸ χρῶμα εἶναι δοκῶν ἀμελείᾳ τοῦ πρότερον ἔχοντος· καὶ παραλαβὼν οἴκαδε, πάντα μὲν αὐτῷ προσῆγε τὰ ῥύμματα, πᾶσι δὲ λουτροῖς ἐπειρᾶτο καθαίρειν. Καὶ τὸ μὲν χρῶμα μεταβαλεῖν οὐκ εἶχε, νοσεῖν δὲ τῷ πονεῖν παρεσκεύασεν.

Ὁ μῦθος δηλοῖ, ὅτι μένουσιν αἱ φύσεις, ὡς προῆλθον τὴν ἀρχήν.

ΑΛΛΩΣ.

Πριάμενός τις *τὸν* Ἰνδὸν ἐδυσχέραινε πρὸς τὴν χρόαν. Ἀπονίζειν οὖν αὐτὸν ἐπειρᾶτο καὶ ἀποσμήχειν, περιάγων κρήνας καὶ ποταμοὺς, καὶ ῥύμμασι χρώμενος καὶ χαλαςραίοις. Ὡς δὲ αὐτῷ τὸ μὲν χρῶμα ἔμενεν ἀκραιφνὲς, τὸ δέρμα δὲ ἐξετρίβετο, φιλονεικῶν *δὲ* κατέμαθε μόλις, ὅτι ἡ χροιὰ φύσις ἦν τῷ Ἰνδῷ, καὶ ὅτι ῥᾷον αὐτοῦ τὴν ψυχὴν, ἢ τὴν μελανίαν, ἀφαιρήσεται.

ΑΛΛΩΣ.

Αἰθίοπά τις ὠνήσατο, τοιοῦτον εἶναι τὸ χρῶμα δοκῶν ἀμελείᾳ τοῦ πρότερον ἔχοντος. Καὶ παραλαβὼν οἴκαδε, πάντα μὲν αὐτῷ προσῆγε τὰ ῥύμματα, πᾶσι δὲ λουτροῖς ἐπειρᾶτο φαιδρύνειν. Καὶ τὸ μὲν χρῶμα μεταβαλεῖν οὐκ ἔσχε, νοσεῖν δὲ τῷ πονεῖν παρεσκεύασεν.

Μένουσιν αἱ φύσεις, ὡς προῆλθον τὸ πρότερον.

ΑΛΛΩΣ. (1).

ΑΝΗΡ ΤΙΣ ΚΑΙ ΑΙΘΙΟΨ ΛΟΥΟΜΕΝΟΣ.

Ἀνήρ τις, ἑωρακὼς αἰθίοπά τινα Ἰνδὸν λουόμενον ἐν ποταμῷ,

(1) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. μά.

ἔφη πρὸς αὐτὸν, Μὴ συνταράσσῃς καὶ θολοποιῇς τὸ ὕδωρ. Οὐδέποτε γὰρ λευκὸς γενήσῃ τῷ σώματι.

Ὁ μῦθος δηλοῖ, ὡς οὐδὲν τῶν φυσικῶν πραγμάτων τῆς φυσικῆς ἰδιότητος μεταβάλλεται.

76. ΧΕΛΙΔΩΝ ΚΑΙ ΚΟΡΩΝΗ.

Χελιδὼν καὶ κορώνη περὶ κάλλους ἐφιλονείκουν· ὑποτυχοῦσα δὲ ἡ κορώνη πρὸς αὐτὴν εἶπεν· Ἀλλὰ τὸ μὲν σὸν κάλλος τὴν ἐαρινὴν ὥραν ἀνθεῖ· τὸ δ' ἐμὸν σῶμα καὶ χειμῶνι παρατείνεται.

Ὁ μῦθος δηλοῖ, ὅτι ἡ παράτασις τοῦ σώματος εὐπρεπείας κρείττων ἐστί.

ΑΛΛΩΣ (1).

ΧΕΔΙΔΩΝ ΚΑΙ ΚΟΡΑΞ.

Χελιδὼν καὶ κόραξ περὶ κάλλους ἀλλήλοις ἐμάχοντο. Φησὶν οὖν ὁ κόραξ τῇ χελιδόνι· Τὸ σὸν κάλλος ἐν μόνῳ τῷ ἔαρι καταφαίνεται· ἐν δὲ τῷ τοῦ χειμῶνος καιρῷ οὐ δύναται πρὸς τὸ ψύχος ἀντισχεῖν. Τὸ δὲ ἐμὸν σῶμα καὶ τῷ κρύει τοῦ χειμῶνος καὶ τῷ καύσωνι τοῦ θέρους γενναίως ἀνθίσταται.

Ὁ μῦθος δηλοῖ, ὡς ὑγεία καὶ ῥώμη σώματος κρείττων κάλλους καὶ ὡραιότητος πέφυκεν.

77. ΒΟΥΤΑΛΙΣ.

Βουταλὶς ἀπό τινος θυρίδος ἐκρέματο. Νυκτερὶς δὲ προσελθοῦσα ἐπυνθάνετο τὴν αἰτίαν, δι' ἣν ἡμέρας μὲν ἡσυχάζει,

---

(1) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. γ'.

νύκτωρ δὲ ᾄδει. Τῆς δὲ, μὴ μάτην τοῦτο ποιεῖν λεγούσης· Ἡμέρας γάρ ποτε ᾄδουσα συνελήφθην, καὶ διὰ τοῦτο ἀπ' ἐκείνου ἐσωφρονίσθην· ἡ νυκτερὶς εἶπεν, Ἀλλ' οὐ νῦν σε φυλάττεσθαι δεῖ, ὅτε μηδὲν ὄφελος, ἀλλὰ πρὶν ἢ συλληφθῆναι.

Ὁ μῦθος δηλοῖ, ὅτι ἐπὶ τοῖς ἀτυχήμασιν ἀνόνητος ἡ μετάνοια.

78. ΚΟΧΛΙΑΙ.

Γεωργοῦ παῖς ὤπτα κοχλίας. Ἀκούσας δὲ αὐτῶν τρυζόντων, ἔφη· Ὦ κάκιστα ζῶα, τῶν οἰκιῶν ὑμῶν ἐμπιπραμένων, αὐτοὶ ᾄδετε.

Ὁ μῦθος δηλοῖ, ὅτι πᾶν τὸ παρὰ καιρὸν δρώμενον ἐπονείδιστον.

79. ΓΥΝΗ ΚΑΙ ΘΕΡΑΠΑΙΝΑΙ.

Γυνὴ χήρα φιλεργὸς, θεραπαινίδας ἔχουσα, ταύτας εἰώθει νυκτὸς ἐγείρειν ἐπὶ τὰ ἔργα πρὸς τὰς τῶν ἀλεκτρυόνων ᾠδάς. Αἱ δὲ, συνεχῶς τῷ πόνῳ ταλαιπωρούμεναι, ἔγνωσαν δεῖν τὸν ἐπὶ τῆς οἰκίας ἀποκτεῖναι ἀλεκτρυόνα, ὡς ἐκείνου νύκτωρ ἐξανιστάντος τὴν δέσποιναν. Συνέβη δ' αὐταῖς τοῦτο διαπραξαμέναις, χαλεπωτέροις περιπεσεῖν τοῖς δεινοῖς. Ἡ γὰρ δεσπότις, ἀγνοοῦσα τὴν τῶν ἀλεκτρυόνων ὥραν, ἐννυχώτερον ταύτας ἀνίστη.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοῖς ἀνθρώποις τὰ βουλεύματα κακῶν αἴτια γίνεται.

80. ΓΥΝΗ ΜΑΓΟΣ.

Γυνὴ μάγος, θείων μηνιμάτων ἀποτροπιασμοὺς ἐπαγγελλομένη, πολλὰ διετέλει ποιοῦσα, καὶ κέρδος ἐντεῦθεν ἔχουσα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Γραψάμενοι δέ τινες αὐτὴν ἀσεβείας, εἷλον, καὶ καταδικασθεῖσαν ἀπῆγον εἰς θάνατον. Ἰδὼν δέ τις ἀπαγομένην αὐτὴν, ἔφη· Ἡ τὰς τῶν θεῶν ὀργὰς ἀποτρέπειν ἐπαγγελλομένη, πῶς οὐδὲ ἀνθρώπων βουλὴν μεταπεῖσαι ἠδυνήθης;

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ μεγάλα ἐπαγγέλλονται, μηδὲ μικρὰ ποιῆσαι δυνάμενοι.

81. ΓΑΛΗ.

Γαλῆ, εἰς ἐργαστήριον εἰσελθοῦσα χαλκέως, τὴν ἐκεῖ κειμένην περιέλειχε ῥίνην. Ξυομένης δὲ τῆς γλώττης, αἷμα πολὺ ἐφέρετο. Ἡ δὲ ἥδετο, νομίζουσά τι τοῦ σιδήρου ἀφαιρεῖν, ἄχρις οὗ παντελῶς πᾶσαν τὴν γλῶτταν ἀνήλωσεν.

Ὁ μῦθος πρὸς τοὺς ἐν φιλονεικίαις ἑαυτοὺς βλάπτοντας.

ΑΛΛΩΣ. (1).

Γαλῆ τις ἐν χαλκευτικῷ εἰσεληλύθεν ἐργαστηρίῳ, κἀκεῖσε ῥῖνον εὑροῦσα σιδηροῦν, τοῦτον ἱκανῶς ἀνέλειχεν, ὥστε τὴν ἑαυτῆς ἀποτρίβεσθαι γλῶτταν, καὶ δεινῶς ἐκδαμάζεσθαι, καὶ ῥοὴν αἵματος ἀφιέναι. Ἡ δὲ γαλῆ μᾶλλον ἐτέρπετο, δοκοῦσα δῆθεν τὸν σίδηρον καταβιβρώσκειν, ἕως ἡ αὐτῆς γλῶττα παντελῶς ἐκδεδαπάνηται.

Οὗτος ὁ λόγος δηλοῖ, ὅτι πράττων τὶς ἔργον ἀλυσιτελὲς, ὡς ἐπωφελὲς μᾶλλον, καὶ τούτῳ δυσαποσπάστως προσκείμενος, ἐς ὕστερον ὑπ' αὐτοῦ μεγάλως καταλυμαίνεται.

82. ΓΕΩΡΓΟΣ.

Γεωργός τις, σκάπτων, χρυσίῳ περιέτυχε. Καθ' ἑκάστην

(1) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. ἐ.

οὖν τὴν Γῆν, ὡς ὑπ' αὐτῆς εὐεργετηθείς, ἔστεφε. Τῷ δὲ ἡ Τύχη ἐπιστᾶσά φησιν· Ὦ οὗτος, τί τῇ Γῇ τὰ ἐμὰ δῶρα προσανατίθης, ἅπερ ἐγώ σοι δέδωκα, πλουτίσαι σε βουλομένη; Εἰ γὰρ ὁ καιρὸς μεταβάλοι, καὶ πρὸς ἑτέρας χεῖρας τοῦτό σοι τὸ χρυσίον ἔλθοι, οἶδ', ὅτι τηνικαῦτα ἐμὲ τὴν Τύχην μέμψῃ.

Ὁ μῦθος δηλοῖ, ὅτι χρὴ τὸν εὐεργέτην ἐπιγινώσκειν, καὶ τούτῳ χάριτας ἀποδιδόναι.

83. ΟΔΟΙΠΟΡΟΙ.

Δύο τινὲς κατὰ ταὐτὸν ὡδοιπόρουν, καὶ θατέρου πέλεκυν εὑρόντος, ἅτερος, ὁ μὴ εὑρὼν, παρῄνει αὐτῷ, μὴ λέγειν, Εὕρηκα, ἀλλ', Εὑρήκαμεν. Μετὰ μικρὸν δὲ ἐπελθόντων αὐτοῖς τῶν τὸν πέλεκυν ἀποβεβληκότων, ὁ ἔχων αὐτὸν, διωκόμενος, πρὸς τὸν μὴ εὑρόντα συνοδοιπόρον ἔλεγεν, Ἀπολώλαμεν. Ὁ δ' εἶπεν· Ἀπόλωλα, λέγε, οὐκ, Ἀπολώλαμεν· καὶ γὰρ, ὅτε τὸν πέλεκυν εὗρες, Εὕρηκα, ἔλεγες, οὐχ, Εὑρήκαμεν.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ μὴ μεταλαμβάνοντες τῶν εὐτυχημάτων, οὐδ' ἐν ταῖς συμφοραῖς βέβαιοί εἰσι φίλοι.

84. ΒΑΤΡΑΧΟΙ.

Δύο βάτραχοι ἀλλήλοις ἐγειτνίων· ἐνέμοντο δὲ, ὁ μὲν εἷς ἐν βαθείᾳ καὶ πόῤῥω τῆς ὁδοῦ λίμνῃ, ὁ δὲ ἐν ὁδῷ, μικρὸν ὕδωρ ἔχων. Καὶ δὴ τοῦ ἐν τῇ λίμνῃ θατέρῳ παραινοῦντος, πρὸς αὐτὸν μεταβῆναι, ὡς ἂν ἀσφαλεστέρας διαίτης μεταλάβῃ, ἐκεῖνος οὐκ ἐπείθετο, λέγων, δυσαποσπάστως ἔχειν τῆς τοῦ τόπου συνηθείας· ἕως οὗ συνέβη, ἅμαξαν παρελθοῦσαν αὐτὸν συνθλάσαι.

Ὁ μῦθος δηλοῖ, ὅτι καὶ τῶν ἀνθρώπων οἱ τοῖς φαύλοις ἐπιχειροῦντες, φθάνουσιν ἀπολλύμενοι, πρὶν ἐπὶ τὸ βέλτιον τραπέσθαι.

85. ΜΕΛΙΤΟΥΡΓΟΣ.

Εις μελιτουργεῖόν τις εἰσελθὼν, τοῦ κεκτημένου ἀπόντος, τὸ κηρίον ἀφείλετο. Ὁ δὲ, ἐπανελθὼν, ἐπειδὴ τὰς κυψέλας εἶδεν ἐρήμους, εἱςήκει, τὸ κατ' αὐτὰς διερευνώμενος. Αἱ δὲ μέλισσαι, ἀπὸ τῆς νομῆς ἐπανήκουσαι, ὡς κατέλαβον αὐτὸν, τοῖς κέντροις ἔπαιον, καὶ τὰ χείριςα διετίθουν. Ὁ δὲ πρὸς αὐτὰς, Κάκιςα ζῶα, ἔφη, τὸν μὲν κλέψαντα ὑμῶν τὰ κηρία ἀθῶον ἀφήκατε, ἐμὲ δὲ τὸν ἐπιμελούμενον ὑμῶν πλήττετε.

Ὁ μῦθος δηλοῖ, ὅτι οὕτω τῶν ἀνθρώπων τινὲς, δι' ἄγνοιαν, τοὺς ἐχθροὺς μὴ φυλαττόμενοι, τοὺς φίλους, ὡς ἐπιβούλους, ἀπωθοῦνται.

86. ΑΛΚΥΩΝ.

Αλκυὼν ὄρνις ἐςὶ φιλέρημος, ἀεὶ τῇ θαλάττῃ διαιτωμένη. Ταύτην, λέγεται, τὰς τῶν ἀνθρώπων θήρας φυλαττομένην, ἐν σκοπέλοις παραθαλαττίοις νεοττοποιεῖσθαι. Καὶ δή ποτε τίκτειν μέλλουσα, ἐνεοττοποιήσατο. Ἐξελθούσης δέ ποτε αὐτῆς εἰς νομὴν, συνέβη τὴν θάλατταν, ὑπὸ λάβρου κυματωθεῖσαν πνεύματος, ὑπεραρθῆναι τῆς καλιᾶς, καὶ ταύτην ἐπικλύσασαν τοὺς νεοττοὺς διαφθεῖραι. Ἡ δὲ, ἐπανελθοῦσα, καὶ γνοῦσα τὸ πραχθὲν, εἶπε· Δειλαία ἔγωγε, ἥτις τὴν γῆν, ὡς ἐπίβουλον, φυλαττομένη, ἐπὶ ταύτην κατέφυγον, ἥ μοι πολλῷ γέγονεν ἀπιςοτέρα.

Ὁ μῦθος δηλοῖ, ὅτι καὶ τῶν ἀνθρώπων ἔνιοι, τοὺς ἐχθροὺς φυλαττόμενοι, λανθάνουσι πολλῷ χαλεπωτέροις τῶν ἐχθρῶν φίλοις ἐμπίπτοντες.

87. ΑΛΙΕΥΣ.

Αλιεὺς ἔν τινι ποταμῷ ἡλίευεν. Διατείνας δὲ τὰ δίκτυα,

καὶ τὸ ῥεῦμα περιλαβὼν, ἑκατέρωθεν, καλωδίῳ προσδήσας λίθον, τὸ ὕδωρ ἔτυπτεν, ὅπως οἱ ἰχθύες φεύγοντες, ἀπαραφυλάκτως τοῖς βρόχοις ἐμπέσωσι. Τῶν δὲ περὶ τὸν τόπον οἰκούντων τις, θεασάμενος τοῦτο ποιοῦντα, ἐμέμφετο, ὡς τὸν ποταμὸν θολοῦντα καὶ διειδὲς ὕδωρ μὴ συγχωροῦντα πίνειν. Καὶ ὃς ἀπεκρίνατο· Ἀλλ', εἰ μὴ οὗτος ὁ ποταμὸς ταράττεται, ἐμὲ δεήσει λιμώττοντα ἀποθανεῖν.

Ὁ μῦθος δηλοῖ, ὅτι καὶ τῶν πόλεων οἱ δημαγωγοὶ τότε μάλιστα ἐργάζονται, ὅταν τὰς πατρίδας εἰς στάσεις περιάγωσιν. (1).

88. ΠΙΘΗΚΟΣ ΚΑΙ ΔΕΛΦΙΣ.

Ἔθους ὄντος τοῖς πλέουσι μελιταῖα κυνίδια καὶ πιθήκους ἐπάγεσθαι πρὸς παραμυθίαν τοῦ πλοῦ, πλέων τις εἶχε συν ἑαυτῷ καὶ πίθηκον. Γενομένων δὲ αὐτῶν κατὰ τὸ Σούνιον, τὸ τῆς Ἀττικῆς ἀκρωτήριον, χειμῶνα σφοδρὸν συνέβη γενέσθαι. Τῆς δὲ νεὼς περιτραπείσης, καὶ πάντων διακολυμβώντων, ἐνήχετο καὶ ὁ πίθηκος. Δελφίς δέ τις αὐτὸν θεασάμενος, καὶ ἄνθρωπον εἶναι ὑπολαβὼν, ἀπελθὼν ἀνεῖχε διακομίζων ἐπὶ τὴν χέρσον. Ὡς δὲ κατὰ τὸν Πειραιᾶ ἐγένετο, τὸ τῶν Ἀθηναίων ἐπίνειον, ἐπυνθάνετο τοῦ πιθήκου, εἰ τὸ γένος ἐστὶν Ἀθηναῖος. Τοῦ δὲ εἰπόντος, καὶ λαμπρῶν ἐνταῦθα τετυχηκέναι γονέων, ἐπανήρετο, εἰ καὶ τὸν Πειραιᾶ ἐπίσταται. Ὑπολαβὼν δὲ ὁ πίθηκος, περὶ ἀνθρώπου αὐτὸν λέγειν, ἔφη, καὶ μάλα φίλον εἶναι αὐτῷ, καὶ συνήθη.

---

(1) Ἀριστοφάνης (Ἱππ. 864) περὶ τῶν δημαγωγῶν,

Ὅπερ γὰρ οἱ τὰς ἐγχέλεις θηρώμενοι πέπονθας.
Ὅταν μὲν ἡ λίμνη καταστῇ, λαμβάνουσιν οὐδέν·
Ἐὰν δ' ἄνω τε καὶ κάτω τὸν βόρβορον κυκῶσιν,
Αἱροῦσι. Καὶ σὺ λαμβάνεις, ἣν τὴν πόλιν ταράττῃς.

Καὶ ὁ δελφίς, ἐπὶ τοσούτῳ ψεύδει ἀγανακτήσας, βαπτίζων αὐτὸν ἀπέκτεινεν.

Ὁ μῦθος πρὸς ἄνδρας, οἳ, τὴν ἀλήθειαν οὐκ εἰδότες, ἀπατᾷν νομίζουσιν.

ΑΛΛΩΣ.

Πίθηκον ναυαγίῳ
Ἰδών τις ἀπολλύμενον, ἄνθρωπον δόξας εἶναι,
Τὴν χεῖρα δοὺς, ἐξέσωσε κυμάτων θαλασσίων.
Ὡς δ' ἐρωτήσας, Πόθεν εἶ, ἤκουσεν Ἀθηναῖον,
Καὶ πάλιν ἐρωτᾷ αὐτὸν, εἰ Πειραιᾶ γινώσκει,
(Οὗτος λιμὴν δὲ Ἀττικὸς ὁ Πειραιεὺς ὑπάρχει)
Ὁ πίθηκος εἰρήκει δὲ, τοῦτον καλῶς εἰδέναι,
Καὶ τούτου τέκνα σύμπαντα, σύζυγον καὶ τοὺς φίλους·
Ἀγανακτήσας ὤθησε μᾶλλον αὐτὸν πνιγῆναι.

89. ΜΥΙΑΙ.

Εν τινι ταμείῳ μέλιτος ἐκχυθέντος, μυῖαι προσπτᾶσαι κατήσθιον. Ἐμπαγέντων δὲ τῶν ποδῶν αὐτῶν, ἀναπτῆναι οὐκ εἶχον· ἀποπνιγόμεναι δ' ἔλεγον· Ἄθλιαι ἡμεῖς, ὅτι διὰ βραχεῖαν βρῶσιν ἀπολλύμεθα.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοῖς ἡ λιχνεία πολλῶν κακῶν αἰτία γίνεται.

90. ΕΡΜΗΣ ΚΑΙ ΑΓΑΛΜΑΤΟΠΟΙΟΣ.

Ερμῆς γνῶναι βουλόμενος, ἐν τίνι τιμῇ παρ' ἀνθρώποις ἐςὶν, ἧκεν εἰς ἀγαλματοποιοῦ, ἑαυτὸν εἰκάσας ἀνθρώπῳ· καὶ θεασάμενος ἄγαλμα τοῦ Διὸς, ἠρώτα, Πόσου τις αὐτὸ πρίασθαι δύναται; Τοῦ δὲ εἰπόντος, δραχμῆς, γελάσας, Πόσου τὸ τῆς

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ἥρας; ἔφη. Εἰπόντος δὲ, πλείονος, ἰδὼν καὶ τὸ ἑαυτοῦ ἄγαλμα καὶ νομίσας, ὡς, ἐπειδὴ ἄγγελός ἐστι θεῶν, καὶ κερδῷος, πολὺν αὐτοῦ παρὰ τοῖς ἀνθρώποις εἶναι τὸν λόγον, ἤρετο περὶ αὐτοῦ. Ὁ δ' ἀγαλματοποιὸς ἔφη, Ἐὰν τούτους ὠνήσῃ, καὶ τοῦτον προσθήκην σοι δίδωμι.

Ὁ μῦθος πρὸς ἄνδρα κενόδοξον, ἐν οὐδεμιᾷ παρ' ἄλλοις ὄντα τιμῇ.

91. ΕΡΜΗΣ ΚΑΙ ΤΕΙΡΕΣΙΑΣ.

Ἑρμῆς, βουλόμενος τὴν Τειρεσίου μαντικὴν, εἰ ἀληθής ἐστι, γνῶναι, κλέψας τὰς αὐτοῦ βοῦς ἐξ ἀγροικίας, ἧκεν ὡς αὐτὸν εἰς ἄστυ ὁμοιωθεὶς ἀνθρώπῳ, καὶ παρ' αὐτῷ κατήχθη. Τῆς δὲ τῶν βοῶν ἀπωλείας ἀγγελθείσης τῷ Τειρεσίᾳ, ἐκεῖνος παραλαβὼν τὸν Ἑρμῆν ἐξῆλθεν, οἰωνόν τινα περὶ τοῦ κλέπτου σκεψόμενος· καὶ τούτῳ παρήνει, φράζειν αὐτῷ, ὅντινα ἂν τῶν ὀρνίθων θεάσηται. Ὁ δὲ Ἑρμῆς, τὸ μὲν πρῶτον θεασάμενος ἀετὸν, ἐξ ἀριστερῶν ἐπὶ τὰ δεξιὰ διιπτάμενον, ἔφρασε. Τοῦ δὲ φήσαντος, μὴ πρὸς αὐτοὺς εἶναι τοῦτον, ἐκ δευτέρου κορώνην εἶδεν, ἐπί τινος δένδρου καθημένην, καὶ ποτὲ μὲν ἄνω βλέπουσαν, ποτὲ δὲ πρὸς τὴν γῆν κατακύπτουσαν· καὶ τῷ μάντει φράζει. Καὶ ὃς ὑποτυχὼν εἶπεν· Ἀλλ' αὕτη γε ἡ κορώνη διόμνυται τόν τε οὐρανὸν, καὶ τὴν γῆν, ὡς ἐὰν σὺ θέλῃς, τὰς ἐμὰς ἀπολήψομαι βοῦς.

Τούτῳ τῷ λόγῳ χρήσαιτο ἄν τις πρὸς ἄνδρα κλέπτην.

92. ΚΥΝΕΣ.

Ἔχων τις δύο κύνας, τὸν μὲν ἕτερον θηρεύειν ἐδίδαξε, τὸν δὲ λοιπὸν οἰκοφυλακεῖν. Καὶ δὴ, εἴ ποτε ὁ θηρευτικὸς ἤγρευέ τι, καὶ ὁ οἰκουρὸς συμμετεῖχεν αὐτῷ τῆς θοίνης. Ἀγανακτοῦν-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

τος δὲ τοῦ θηρευτικοῦ, κἀκεῖνον ὀνειδίζοντος, εἴγε αὐτὸς μὲν καθ' ἑκάστην μοχθεῖ, ἐκεῖνος δὲ, μηδὲν πονῶν, τοῖς αὐτοῦ τρέφεται πόνοις, ὑπολαβὼν αὐτὸς εἶπε· Μὴ ἐμὲ, ἀλλὰ τὸν δεσπότην μέμφου, ὃς οὐ πονεῖν με ἐδίδαξεν, ἀλλὰ πόνους ἀλλοτρίους ἐσθίειν.

Ὁ μῦθος δηλοῖ, ὅτι καὶ τῶν νέων οἱ μηδὲν ἐπιστάμενοι οὐ μεμπτοί εἰσιν, ὅταν αὐτοὺς οἱ γονεῖς οὕτως ἀγάγωσιν.

93. ΑΝΗΡ ΚΑΙ ΓΥΝΗ.

Ἔχων τις γυναῖκα, πρὸς τοὺς κατ' οἶκον ἅπαντας ἀπεχθῶς ἔχουσαν, ἠβουλήθη γνῶναι, εἰ καὶ πρὸς τοὺς πατρῴους οἰκέτας οὕτω διάκειται. Διὸ δὴ καὶ μετ' εὐλόγου προφάσεως πρὸς τὸν αὐτῆς αὐτὴν ἀποστέλλει πατέρα. Μετὰ δ' ὀλίγας ἡμέρας ἐπανελθούσης αὐτῆς, ἐπυνθάνετο, πῶς πρὸς τοὺς ἐκεῖ διεγένετο. Τῆς δὲ φαμένης, ὡς οἱ βουκόλοι καὶ οἱ ποιμένες με ὑπεβλέποντο, πρὸς αὐτὴν ἔφη· Ἀλλ', ὦ γύναι, εἰ τούτοις ἀπεχθάνῃ, οἳ ὄρθρου μὲν τὰς ποίμνας ἐξελαύνουσιν, ὀψὲ δὲ εἰσίασι, τί χρὴ προσδοκᾷν περὶ τούτων, οἷς πᾶσαν συνδιέτριβες τὴν ἡμέραν;

Ὁ μῦθος δηλοῖ, ὅτι οὕτω πολλάκις ἐκ τῶν μικρῶν τὰ μεγάλα, κἀκ τῶν προδήλων τὰ ἄδηλα γνωρίζεται.

94. ΕΡΙΦΟΣ ΚΑΙ ΛΥΚΟΣ.

Ἔριφος, ὑστερήσασα τῆς ποίμνης, ὑπὸ λύκου κατεδιώκετο. Ἐπιστραφεῖσα δὲ πρὸς αὐτὸν, εἶπεν· Ὦ λύκε, ἐπεὶ πέπεισμαι, ὅτι σὸν βρῶμα γενήσομαι, ἵνα μὴ ἀηδῶς ἀποθάνω, αὔλησον πρῶτον, ὅπως ὀρχήσωμαι. Τοῦ δὲ λύκου αὐλοῦντος, καὶ τῆς ἐρίφου ὀρχουμένης, οἱ κύνες, ἀκούσαντες, τὸν λύκον ἐδίωκον.

Ὁ δὲ, ἐπιστραφεὶς τῇ ἐρίφῳ φησί· Δικαίως ταῦτά μοι γίνεται· ἔδει γάρ με, μάγειρον ὄντα, αὐλητὴν μὴ μιμεῖσθαι.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ τῶν μὲν, πρὸς ἃ πεφύκασιν, ἀμελοῦντες, τὰ δὲ ἑτέρων ἐπιτηδεύειν πειρώμενοι, δυστυχίαις περιπίπτουσιν.

95. ΚΑΡΚΙΝΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.

Καρκῖνος, ἀπὸ τῆς θαλάττης ἀναβὰς, ἐπί τινος ἐνέμετο τόπου. Ἀλώπηξ δὲ λιμώττουσα, ὡς ἐθεάσατο, προσελθοῦσα ἀνέλαβεν αὐτόν. Ὁ δὲ, μέλλων καταβιβρώσκεσθαι, ἔφη· Ἀλλ' ἔγωγε δίκαια πέπονθα, ὃς, θαλάττιος ὢν, χερσαῖος ἐβουλήθην γενέσθαι.

Ὁ μῦθος δηλοῖ, ὅτι καὶ τῶν ἀνθρώπων οἱ τὰ οἰκεῖα καταλείποντες ἐπιτηδεύματα, καὶ τοῖς μηδὲν προσήκουσιν ἐπιχειροῦντες, εἰκότως δυστυχοῦσιν.

96. ΚΙΘΑΡΩΔΟΣ.

Κιθαρῳδὸς ἀφυὴς, ἐν οἴκῳ κεκονιαμένῳ συνήθως ᾄδων, καὶ ἀντηχούσης αὐτῷ τῆς φωνῆς, ᾠήθη σφόδρα εὔφωνος εἶναι. Καὶ δὴ ἐπαρθεὶς ἐπὶ τούτῳ, ἔγνω δεῖν καὶ θεάτρῳ ἑαυτὸν ἐπιδοῦναι. Ἀφικόμενος δ' ἐπιδείξασθαι, καὶ κακῶς ᾄδων πάνυ, λίθοις αὐτὸν ἐξώσαντες ἀπήλασαν.

Ὁ μῦθος δηλοῖ, ὅτι οὕτω καὶ τῶν ῥητόρων ἔνιοι, ἐν ταῖς σχολαῖς δοκοῦντες εἶναί τινες, ὅταν ἐπὶ τὰς πολιτείας ἀφίκωνται, οὐδενὸς ἄξιοί εἰσιν.

97. ΚΛΕΠΤΑΙ

Κλέπται, εἴς τινα εἰσελθόντες οἰκίαν, οὐδὲν εὗρον ὅτι μὴ ἀλεκτρυόνα· καὶ τοῦτον λαβόντες ἀπῄεσαν. Ὁ δὲ, μέλλων ὑπ' αὐτῶν θύεσθαι, ἐδεῖτο, ὡς ἂν αὐτὸν ἀπολύσωσι, λέγων,

χρήσιμος εἶναι τοῖς ἀνθρώποις, νυκτὸς αὐτοὺς ἐπὶ τὰ ἔργα ἐγείρων. Οἱ δὲ ἔφασαν· Ἀλλὰ διὰ τοῦτό σε μᾶλλον θύομεν· ἐκείνους γὰρ ἐγείρων, κλέπτειν ἡμᾶς οὐκ ἐᾷς.

Ὁ μῦθος δηλοῖ, ὅτι ταῦτα μάλιϛα τοῖς πονηροῖς ἐναντιοῦται, ἃ τοῖς χρηϛοῖς ἐϛιν εὐεργετήματα.

98. ΚΟΡΩΝΗ ΚΑΙ ΚΟΡΑΞ.

Κορώνη, φθονήσασα κόρακι ἐπὶ τῷ δι' οἰωνῶν τοῖς ἀνθρώποις μαντεύεσθαι, καὶ διὰ τοῦτο μαρτυρουμένῳ, ὡς προλέγοντι τὸ μέλλον, θεασαμένη τινὰς ὁδοιπόρους παριόντας, ἧκεν ἐπί τι δένδρον, καὶ ϛᾶσα μεγάλως ἔκραξεν. Τῶν δὲ, πρὸς τὴν φωνὴν ἐπιϛραφέντων, καὶ καταπλαγέντων, ὑποτυχών τις ἔφη· Ἀπίωμεν, ὦ οὗτοι· κορώνη γάρ ἐϛιν, ἥτις κέκραγε, καὶ οἰωνισμὸν οὐκ ἔχει.

Ὁ μῦθος δηλοῖ, ὅτι οὕτω καὶ τῶν ἀνθρώπων οἱ τοῖς κρείττοσιν ἁμιλλώμενοι, πρὸς τῷ τῶν ἴσων μὴ ἐφικέσθαι, καὶ γέλωτα ὀφλισκάνουσι.

99. ΚΟΡΩΝΗ ΚΑΙ ΚΥΩΝ.

Κορώνη, Ἀθηνᾷ θύουσα, κύνα ἐπὶ ἑϛίασιν ἐκάλει. Ὁ δὲ πρὸς αὐτὴν ἔφη· Τί μάτην τὰς θυσίας ἀναλίσκεις; ἡ γὰρ θεὸς οὕτω σε μισεῖ, ὡς κἀκ τῶν συντρόφων σοι οἰωνῶν τὴν πίϛιν περιελεῖν. Καὶ ἡ κορώνη πρὸς αὐτόν· Διὰ τοῦτο μᾶλλον αὐτῇ θύω, ἵνα διαλλαγῇ μοι.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ διὰ κέρδος τοὺς ἐχθροὺς εὐεργετεῖν οὐκ ὀκνοῦσιν.

100. ΚΟΡΑΞ ΚΑΙ ΟΦΙΣ.

Κόραξ, τροφῆς ἀπορῶν, ὡς κατεῖδεν ἔν τινι εὐηλίῳ τόπῳ

ὄφιν κοιμώμενον, τοῦτον καταπτὰς ἥρπασε. Τοῦ δὲ, ἐπιςραφέντος, καὶ δακόντος αὐτὸν, ἀποθνήσκειν μέλλων εἴρηκε· Δείλαιος ἔγωγε, ὃς τοιοῦτον εὗρον ἕρμαιον, ἐξ οὗ καὶ ἀπόλλυμαι.

Ὁ μῦθος πρὸς ἄνδρα διὰ θησαυρῶν εὕρεσιν ἐπὶ σωτηρίᾳ κινδυνεύσαντα.

101. ΚΟΛΟΙΟΣ ΚΑΙ ΠΕΡΙΣΤΕΡΑΙ.

Κολοιὸς, ἔν τινι περιςερεῶνι περιςερὰς ἰδὼν καλῶς τρεφομένας, λευκάνας ἑαυτὸν, ἦλθεν, ὡς καὶ αὐτὸς τῆς αὐτῆς διαίτης μεταληψόμενος. Αἱ δὲ, μέχρι μὲν ἡσύχαζεν, οἰόμεναι περιςερὰν αὐτὸν εἶναι, προσίεντο. Ἐπεὶ δέ ποτε ἐκλαθόμενος ἐφθέγξατο, τηνικαῦτα τὴν αὐτοῦ γνοῦσαι φύσιν, ἐξήλασαν παίουσαι. Καὶ ὃς, ἀποτυχὼν τῆς ἐνταῦθα τροφῆς, ἐπανῆκε πρὸς τοὺς κολοιοὺς πάλιν. Κἀκεῖνοι, διὰ τὸ χρῶμα αὐτὸν οὐκ ἐπιγνόντες, τῆς μεθ' αὐτῶν διαίτης ἀπεῖρξαν, ὥςε δυοῖν ἐπιθυμήσαντα μηδετέρας τυχεῖν.

Ὁ μῦθος δηλοῖ, ὅτι δεῖ καὶ ἡμᾶς τοῖς ἑαυτῶν ἀρκεῖσθαι λογιζομένους, ὅτι ἡ πλεονεξία, πρὸς τῷ μηδὲν ὠφελεῖν, ἀφαιρεῖται καὶ τὰ προσόντα πολλάκις.

ΑΛΛΩΣ.

ΚΟΛΟΙΟΣ ΚΑΙ ΚΟΡΑΚΕΣ.

Κολοιὸς, μεγέθει τῶν ἄλλων διαφέρων, ὑπερφρονήσας τοὺς ὁμοφύλους, παρεγένετο πρὸς τοὺς κόρακας, καὶ τούτοις ἠξίου συνδιαιτᾶσθαι. Οἱ δὲ, ἀγνοοῦντες αὐτοῦ τὸ εἶδος καὶ τὴν φωνὴν, παίοντες αὐτὸν ἐξέβαλον. Καὶ ὃς, ἀπελαθεὶς ἀπ' αὐτῶν, ἧκε πάλιν πρὸς τοὺς κολοιούς· οἱ δὲ, ἀγανακτοῦντες ἐπὶ τῇ ὕβρει,

οὐ προσεδέξαντο αὐτόν. Οὕτω τε συνέβη αὐτὸν τῆς ἐξ ἀμφοτέρων διαίτης στερηθῆναι (1).

Οὕτω καὶ τῶν ἀνθρώπων ἔνιοι, τὰς πατρίδας ἀπολείποντες, καὶ τὰς ἀλλοδαπὰς προκρίνοντες, διὰ τὸ ὡς ξένους μὴ συμπολιτεύεσθαι, οὐδὲ ἐς μίαν εὐδοκιμοῦσιν.

102. ΚΟΛΟΙΟΣ.

Κολοιόν τις συλλαβὼν, καὶ δήσας αὐτοῦ τὸν πόδα λίνῳ, τῷ ἑαυτοῦ παρέδωκε παιδί. Ὁ δὲ, μὴ ὑπομείνας τὴν μετ' ἀνθρώπων δίαιταν, ὡς πρὸς ὀλίγον ἀδείας ἔτυχε, φυγὼν ἧκεν εἰς τὴν ἑαυτοῦ καλιάν. Περιειληθέντος δὲ τοῦ δεσμοῦ τοῖς κλάδοις, ἀποπτῆναι μὴ δυνάμενος, ἐπειδὴ ἀποθνήσκειν ἔμελλε, πρὸς ἑαυτὸν ἔφη· Δείλαιος ἔγωγε, ὃς, τὴν παρ' ἀνθρώποις μὴ ὑπομείνας δουλείαν, ἔλαθον ἐμαυτὸν τῆς ζωῆς στερήσας.

Ὁ μῦθος δηλοῖ, ὅτι τινὲς ἔσθ' ὅτε, μετρίων κινδύνων ἑαυτοὺς βουλόμενοι ῥύσασθαι, εἰς μείζους περιπίπτουσιν.

103. ΕΡΜΗΣ.

Ζεὺς Ἑρμῆν προσέταξε πᾶσι τοῖς τεχνίταις ψεύδους φάρμακον ἐγχεῖν. Ὁ δὲ, τοῦτο τρίψας, καὶ μέτρον ποιήσας ἴσον, ἑκάστῳ ἐνέχεεν. Ἐπεὶ δὲ, μόνου τοῦ σκυτέως ὑπολειφθέντος,

(1) Παρά τε τῷ Φωτίῳ καὶ τῷ Σουΐδᾳ (λέξ. Ἐς κόρακας) ταῦθ' εὕρηται· « Κολοιὸς μέγας, νομίσας τοῖς κόραξιν ἴσον ἑαυτὸν εἶναι, » πρὸς αὐτοὺς ἐπορεύθη. Ἡττηθεὶς δὲ, πάλιν εἰς τοὺς κολοιοὺς ὑπ» έστρεψεν. Οἱ δὲ, ἀγανακτήσαντες, ἔπαιον αὐτὸν λέγοντες, Φεῦγ' ἐς » κόρακας. » Καὶ φασὶν ἐντεῦθεν ἀρχὴν λαβεῖν τὸ παροιμιωδῶς λεγόμενον, Ἔῤῥε, ἢ Φεῦγ', ἐς κόρακας. Ὁ δὲ μῦθος οὐδενὶ σχεδὸν διενήνοχε τοῦ προτέρου μύθου.

πολὺ κατελέλειπτο φάρμακον, ὅλην λαβὼν τὴν θυείαν, ἐνέχεεν αὐτῷ. Κἀκ τούτου συνέβη, τοὺς τεχνίτας ἅπαντας ψεύδεσθαι, μάλιστα δὲ πάντων τοὺς σκυτέας.

Ὁ μῦθος πρὸς ψευδολόγους τεχνίτας.

104. ΖΕΥΣ.

Ζεὺς, πλάσας τοὺς ἀνθρώπους, τὰς μὲν ἄλλας διαθέσεις αὐτοῖς ἐνέθηκε, μόνην δ' ἐνθεῖναι τὴν Αἰσχύνην ἐπελάθετο. Διὸ καὶ μὴ ἔχων πόθεν *ἂν* αὐτὴν εἰσαγάγῃ, διὰ τοῦ ὄχλου αὐτὴν εἰσελθεῖν ἐκέλευσεν. Ἡ δὲ τὸ μὲν πρῶτον ἀντέλεγεν ἀναξιοπαθοῦσα· ἐπεὶ δὲ σφόδρα αὐτῇ ἐνέκειτο, ἔφη· Ἀλλ' ἔγωγε ἐπὶ ταύταις εἰσέρχομαι ταῖς ὁμολογίαις, ὡς ἂν Ἔρως μὴ εἰσέλθῃ. Ἂν δ' εἰσέλθῃ, αὐτὴ ἐξελεύσομαι παραυτίκα. Ἀπὸ δὴ τούτου συνέβη, πάντας τοὺς πόρνους ἀναισχύντους εἶναι.

Ὁ μῦθος δηλοῖ, ὅτι τοὺς ὑπ' ἔρωτος κατεχομένους ἀναισχύντους εἶναι συμβαίνει.

105. ΖΕΥΣ.

Ζεὺς, γάμους τελῶν, πάντα τὰ ζῶα εἱστία. Μόνης δὲ τῆς χελώνης ὑστερησάσης, διαπορῶν τὴν αἰτίαν τῆς ὑστερήσεως, ἐπυνθάνετο αὐτῆς, τίνος χάριν αὐτὴ ἐπὶ τὸ δεῖπνον οὐ παρεγένετο. Τῆς δὲ, εἰπούσης, Οἶκος φίλος, οἶκος ἄριστος, ἀγανακτήσας κατ' αὐτῆς, κατεδίκασε τὸν οἶκον βαστάζουσαν περιφέρειν.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ τῶν ἀνθρώπων αἱροῦνται μᾶλλον λιτῶς παρ' ἑαυτοῖς ζῆν, ἢ παρ' ἄλλοις πολυτελῶς.

106. ΛΥΚΟΣ ΚΑΙ ΠΡΟΒΑΤΟΝ.

Λύκος, ὑπὸ κυνῶν δηχθεὶς, καὶ κακῶς πάσχων, ἐβέβλητο.

Τροφῆς δὲ ἀπορῶν, θεασάμενος πρόβατον, ἐδεῖτο ποτὸν ἐκ τοῦ παραῤῥέοντος αὐτῷ ποταμοῦ κομίσαι. Εἰ γάρ σύ μοι, φησὶ, δώσεις ποτὸν, ἐγὼ τροφὴν ἐμαυτῷ εὑρήσω. Τὸ δὲ, ὑποτυχὸν ἔφη· Ἀλλ' ἐὰν ἐγὼ ποτὸν ἐπιδῶ σοι, σὺ καὶ τροφῇ μοι χρήσῃ.

Ὁ μῦθος πρὸς ἄνδρα κακοῦργον, δι' ὑποκρίσεως ἐνεδρεύοντα.

107. ΛΑΓΩΟΙ.

Λαγωοί ποτε, πολεμοῦντες ἀετοῖς, παρεκάλουν εἰς συμμαχίαν ἀλώπεκας. Αἱ δ' ἔφασαν· Ἐβοηθήσαμεν ἂν ὑμῖν, εἰ μὴ ᾔδειμεν, τίνες ἐστὲ, καὶ τίσι πολεμεῖτε.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ τοῖς κρείττοσι φιλονεικοῦντες, τῆς ἑαυτῶν σωτηρίας καταφρονοῦσι.

ΑΛΛΩΣ (1).

ΛΑΓΩΟΙ ΚΑΙ ΑΛΩΠΕΚΕΣ.

Λαγωοί τινες, πρὸς ἀετὸν πόλεμον συγκροτοῦντες, τὰς ἀλώπεκας εἰς συμμαχίαν προσεκαλοῦντο. Αἱ δὲ πρὸς αὐτοὺς εἶπον· Ἑτοίμως ἂν εἴχομεν συμμαχεῖν ὑμῖν, εἰ μὴ ᾔδειμεν τίνες τέ ἐστε, καὶ τίνι διαμάχεσθε.

Ὁ μῦθος οὗτος ἐλέγχει τοὺς τοῖς ἰσχυροτέροις προσκρούοντας καὶ ἑαυτοῖς ἐξ αὐτῶν κίνδυνον ἐπάγοντας.

108. ΜΥΡΜΗΞ.

Μύρμηξ ὁ νῦν, τὸ παλαιὸν ἄνθρωπος ἦν· καὶ τῇ γεωργίᾳ διηνεκῶς προσέχων, οὐ τοῖς ἰδίοις ἠρκεῖτο πόνοις, ἀλλὰ καὶ

(1) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. κϐ'.

τοὺς τῶν γειτόνων καρποὺς ὑφῃρεῖτο. Ὁ δὲ Ζεὺς, ἀγανακτήσας ἐπὶ τῇ τούτου πλεονεξίᾳ, μετεμόρφωσεν αὐτὸν εἰς τοῦτο τὸ ζῶον, ὃ μύρμηξ καλεῖται. Ὁ δὲ, τὴν μορφὴν ἀλλάξας, τὴν διάθεσιν οὐ μετέβαλε. Μέχρι γὰρ τοῦ νῦν, τὰς ἀρούρας περιιὼν, τοὺς τῶν ἑτέρων πόνους συλλέγει, καὶ ἑαυτῷ ἀποθησαυρίζει.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ φύσει πονηροὶ, κἂν τὰ μάλιϛα τὸ εἶδος μεταβληθῶσι, τὸν τρόπον οὐ μεταβάλλονται.

109. ΝΥΚΤΕΡΙΣ ΚΑΙ ΓΑΛΗ.

Νυκτερὶς, ἐπὶ γῆς πεσοῦσα, ὑπὸ γαλῆς συνελήφθη· καὶ μέλλουσα ἀναιρεῖσθαι, περὶ σωτηρίας ἐδεῖτο. Τῆς δὲ φαμένης, μὴ δύνασθαι αὐτὴν ἀπολῦσαι (φύσει γὰρ πᾶσι τοῖς πτηνοῖς πολεμεῖν), αὐτὴ ἔλεγεν, οὐκ ὄρνις, ἀλλὰ μῦς εἶναι· καὶ οὕτως ἀφείθη. Ὕϛερον δὲ πάλιν πεσοῦσα, καὶ ὑφ᾽ ἑτέρας συλληφθεῖσα γαλῆς, μὴ βρωθῆναι ἐδεῖτο. Τῆς δὲ εἰπούσης, ἅπασιν ἐχθραίνειν μυσὶν, αὐτὴ, μὴ μῦς, ἀλλὰ νυκτερὶς ἔλεγεν εἶναι, καὶ πάλιν ἀπελύθη. Καὶ οὕτω συνέβη, δὶς αὐτὴν, ἀλλαξαμένην τὸ ὄνομα, σωτηρίας τυχεῖν.

Ὁ μῦθος δηλοῖ, ὅτι δεῖ καὶ ἡμᾶς μὴ τοῖς αὐτοῖς ἀεὶ ἐπιμένειν, λογιζομένους, ὡς οἱ τοῖς καιροῖς συμμετασχηματιζόμενοι πολλάκις τοὺς κινδύνους ἐκφεύγουσιν.

110. ΟΔΟΙΠΟΡΟΙ.

Ὁδοιπόροι, κατά τινα αἰγιαλὸν ὁδεύοντες, ἦλθον ἐπί τινα σκοπιάν. Κἀκεῖθεν θεασάμενοι φρύγανα πόῤῥωθεν ἐπιπλέοντα, ναῦν εἶναι μεγάλην ᾠήθησαν. Διὸ δὴ προσέμενον, ὡς μελλούσης αὐτῆς προσορμίζεσθαι. Ἐπεὶ δὲ ὑπὸ ἀνέμου φερόμενα τὰ φρύγανα ἐγγυτέρῳ ἐγένετο, οὐκέτι ναῦν, ἀλλὰ πλοῖον ἐδέ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

κουν βλέπειν. Ἐξενεχθέντα δὲ αὐτὰ, φρύγανα ὄντα ἰδόντες, πρὸς ἀλλήλους ἔφασαν· ὡς ἄρα μάτην ἡμεῖς τὸ μηδὲν ὂν προσεδεχόμεθα.

Ὁ μῦθος δηλοῖ, ὅτι τῶν ἀνθρώπων ἔνιοι, ἐξ ἀπροόπτου δοκοῦντες φοβεροὶ εἶναι, ὅταν εἰς πεῖραν ἔλθωσιν, οὐδενὸς εὑρίσκονται ἄξιοι.

111. ΟΝΟΣ ΑΓΡΙΟΣ.

Ονος ἄγριος, ὄνον ἰδὼν ἥμερον ἔν τινι εὐηλίῳ τόπῳ, προσελθὼν αὐτὸν ἐμακάριζεν, ἐπί τε τῇ εὐεξίᾳ τοῦ σώματος, καὶ τῇ τῆς τροφῆς ἀπολαύσει. Ὕστερον δὲ, ἰδὼν αὐτὸν ἀχθοφοροῦντα, καὶ τὸν ὀνηλάτην ὄπισθεν ἑπόμενον, καὶ ῥοπάλοις αὐτὸν παίοντα, ἔφη· Ἀλλ' ἔγωγε οὐκέτι σε εὐδαιμονίζω· ὁρῶ γὰρ, ὡς οὐκ ἄνευ κακῶν μεγάλων τὴν εὐδαιμονίαν ἔχεις.

Ὁ μῦθος δηλοῖ, ὅτι οὐκ ἔστι ζηλωτὰ τὰ μετὰ κινδύνων καὶ ταλαιπωριῶν κέρδη.

112. ΟΝΟΙ.

Ονοι ποτὲ, ἐπὶ τῷ συνεχῶς ἀχθοφορεῖν καὶ ταλαιπωρεῖν, πρέσβεις ἔπεμψαν πρὸς τὸν Δία, λύσιν τῶν πόνων αἰτούμενοι. Ὁ δ', αὐτοῖς ἐπιδεῖξαι βουλόμενος, ὅτι τοῦτο ἀδύνατόν ἐστιν, ἔφη, τότε αὐτοὺς ἀπαλλαγήσεσθαι τῆς κακοπαθείας, ὅταν οὐροῦντες ποιήσωσι ποταμόν. Κἀκεῖνοι, αὐτὸν ἀληθεύειν ὑπολαβόντες, ἀπ' ἐκείνου καὶ μέχρι τοῦ νῦν, ἔνθα οὖρον ἑτέρων ἴδωσιν ὄνων, ἐνταῦθα καὶ αὐτοὶ περιστάμενοι οὐροῦσιν.

Ὁ μῦθος δηλοῖ, ὅτι ἑκάστῳ τὸ πεπρωμένον ἀθεράπευτόν ἐστιν.

113. ΟΝΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.

Ονος, ἐνδυσάμενος λεοντῆν, περιῄει, τἄλλα τῶν ζώων ἐκ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

φοβῶν. Καὶ δὴ θεασάμενος ἀλώπεκα, ἐπειρᾶτο καὶ ταύτην δεδίττεσθαι. Ἡ δὲ (ἐτύγχανε γὰρ αὐτοῦ φθεγξαμένου προακηκουῖα) πρὸς αὐτὸν ἔφη· Ἀλλ' εὖ ἴσθι, ὡς καὶ ἐγὼ ἄν σε ἐφοβήθην, εἰ μὴ ὀγκωμένου ἤκουσα.

Ὁ μῦθος δηλοῖ, ὅτι ἔνιοι τῶν ἀπαιδεύτων, τοῖς ἔξω δοκοῦντες τινὲς εἶναι, ὑπὸ τῆς ἰδίας γλωσσαλγίας ἐλέγχονται.

114. ΟΝΟΣ ΚΑΙ ΒΑΤΡΑΧΟΙ.

Ονος, ξύλα βαστάζων, διέβαινέ τινα λίμνην. Ὀλισθήσας δὲ, ὡς κατέπεσεν, ἐξαναστῆναι μὴ δυνάμενος, ὠδύρετό τε καὶ ἔστενεν. Οἱ δὲ ἐν τῇ λίμνῃ βάτραχοι, τῶν στεναγμῶν τούτου ἀκούσαντες, Ὦ οὗτος, ἔφασαν, καὶ τί ἂν ἐποίησας, εἰ τοσοῦτον ἐνταῦθα χρόνον διέτριβες, ὅσον ἡμεῖς, ὅτε πρὸς ὀλίγον πεσὼν οὕτως ὀδύρῃ;

Τούτῳ τῷ λόγῳ χρήσαιτ' ἄν τις πρὸς ἄνδρα ῥᾴθυμον, ἐπ' ἐλαχίστοις πόνοις δυσφοροῦντα, αὐτὸς τοὺς πλείους ῥᾳδίως ὑφιστάμενος.

115. ΟΝΟΣ ΚΑΙ ΚΟΡΑΞ.

Ονος, ἡλκωμένος τὸν νῶτον, ἔν τινι λειμῶνι ἐνέμετο. Κόρακος δὲ ἐπικαθίσαντος αὐτῷ, καὶ τὸ ἕλκος ξαίνοντος, ὁ ὄνος ὠγκᾶτο καὶ ἥλλετο. Τοῦ δὲ ὀνηλάτου πόῤῥωθεν ἱσταμένου, καὶ γελῶντος, λύκος παριὼν αὐτὸν εἶδε, καὶ ἔφη· Ἄθλιοι ἡμεῖς, οἳ, κἂν μόνον ὀφθῶμεν αὐτῷ, διωκόμεθα, τούτῳ δὲ καὶ προσεγγελῶσιν.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ κακοῦργοι τῶν ἀνθρώπων, καὶ μόνον φανέντες, δῆλοί εἰσιν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

116. ΟΝΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.

Ονος καὶ ἀλώπηξ, κοινωνίαν συνθέμενοι πρὸς ἀλλήλους, ἐξῆλθον εἰς ἄγραν. Λέοντος δ᾽ αὐτοῖς περιτυχόντος, ἡ ἀλώπηξ τὸν ἐπηρτημένον ὁρῶσα κίνδυνον, προσελθοῦσα τῷ λέοντι, παραδώσειν αὐτῷ τὸν ὄνον ὑπέσχετο, ἐὰν αὐτῇ τὸ ἀκίνδυνον ἐπαγγέλληται. Τοῦ δὲ, ἀπολύσειν αὐτὴν φήσαντος, ἐκείνη, παραγαγοῦσα τὸν ὄνον, εἴς τινα πάγην ἐμπεσεῖν παρεσκεύασε. Καὶ ὁ λέων, ὁρῶν ἐκεῖνον φεύγειν μὴ δυνάμενον, πρώτην τὴν ἀλώπεκα συνέσχεν, εἶθ᾽ οὕτως ἐπὶ τὸν ὄνον ἐτράπη.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ τοῖς κοινωνοῖς ἐπιβουλεύοντες λανθάνουσι πολλάκις καὶ αὐτοὺς προσαπολλύντες.

117. ΟΡΝΙΣ ΚΑΙ ΧΕΛΙΔΩΝ,

Ορνις, ὄφεως ὠὰ εὑροῦσα, ἐπιμελῶς ἐκθερμάνασα ἐξεκόλαψε. Χελιδὼν δὲ, θεασαμένη αὐτὴν, ἔφη· Ὦ ματαία, τί ταῦτα τρέφεις; ἅπερ αὐξηθέντα ἀπὸ σοῦ πρώτης τοῦ ἀδικεῖν ἄρξεται.

Ὁ μῦθος δηλοῖ, ὅτι ἀτιθάσσευτός ἐστιν ἡ πονηρία, κἂν τὰ μέγιστα εὐεργετῆται.

ΑΛΛΩΣ. (1).

Ὄρνις τὶς, εὑροῦσα ὠὰ ὄφεως, ἐσχόλαζε τῇ αὐτῶν διατριβῇ, καὶ ταῦτα ἐπώαζε. Χελιδὼν δέ τις, αὐτὴν θεασαμένη, Ὦ μωρὰ καὶ ἀναίσθητε, ἔφη, τίνος χάριν ὄφεως περιέπεις

(1) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. νζ'.

ἔπεις γεννήματα; εἰ γὰρ αὐξηνθῶσι, σοὶ πρῶτον ἐμποιήσουσι τὸν ὄλεθρον, καὶ μετέπειτα ἑτέροις.

Ὁ μῦθος δηλοῖ, ὡς οὐ χρή τινα ἐπὶ διαθέσει ἀνοσίου ἀνδρὸς πεποιθέναι πώποτε, κἂν πολλὴν αὐτῷ τὴν εὔνοιαν ἐπιδείξηται.

118. ΚΑΜΗΛΟΣ.

Ὅτε πρῶτον κάμηλος ὤφθη, οἱ ἄνθρωποι φοβηθέντες, καὶ τὸ μέγεθος καταπλαγέντες ἔφευγον. Ὡς δὲ, χρόνου προϊόντος συνεῖδον αὐτῆς τὸ πρᾶον, ἐθάῤῥησαν μέχρι τοῦ προσελθεῖν. Αἰσθόμενοι δὲ κατὰ μικρὸν τὸ ζῶον ὡς χολὴν οὐκ ἔχει, εἰς τοσοῦτον καταφρονήσεως ἦλθον, ὥςε καὶ, χαλινοὺς αὐτῇ περιθέντες, παισὶν ἐλαύνειν δεδώκασιν.

Ὁ μῦθος δηλοῖ, ὅτι τὰ φοβερὰ τῶν πραγμάτων ἡ συνήθεια εὐκαταφρόνητα ποιεῖ.

119. ΟΦΙΣ.

Ὄφις, ὑπὸ πολλῶν ἀνθρώπων πατούμενος, τῷ Διὶ ἐνετύγχανεν. Ὁ δὲ Ζεὺς πρὸς αὐτὸν εἶπεν· Ἀλλ' εἰ τὸν πρότερον πατήσαντα ἔπληξας, οὐκ ἂν ὁ δεύτερος ἐπεχείρησε τοῦτο ποιῆσαι.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ τοῖς πρότερον ἐπιβαίνουσιν ἀνθιςάμενοι, τοῖς ἄλλοις φοβεροὶ γίνονται.

ΑΛΛΩΣ (1).

Ὄφις τὶς ἕρπων, παρὰ πολλῶν συνεπατεῖτο. Πορευόμενος δὲ εἰς τὸ τοῦ Ἀπόλλωνος εἰδωλεῖον εἰσελήλυθεν. Ὁ δὲ Ἀπόλλων εὐθὺς ἔφη πρὸς αὐτὸν, Εἰ ὤλεσάς γε τὸν πρῶτόν σε συμπατήσαντα, οὐδεὶς ἂν τῶν ἑτέρων κατετόλμησέ σου.

Ὁ μῦθος δηλοῖ, ὡς οἱ προλαβόντως σφαλέντες, εἴπερ εὐθὺς σωφρονίζοιντο, οἱ ἕτεροι δι' ἐκείνων κατάφοβοι γίγνονται.

(1) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μυθ. ιη.

120. ΠΕΡΙΣΤΕΡΑ.

Περιστερὰ, δίψῃ συνεχομένη, ὡς ἐθεάσατο ἔν τινι τόπῳ κρατῆρα ὕδατος γεγραμμένον, ἐνόμισεν ἀληθινὸν εἶναι. Διὸ καὶ πολλῷ τῷ ῥοίζῳ ἐνεχθεῖσα, ἔλαθεν ἑαυτὴν τῷ πίνακι ἐμπεσοῦσα, ὡς καὶ, τῶν πτερῶν αὐτῆς περικλασθέντων, καταπεσεῖν ἐπὶ γῆν, καὶ ὑπό τινος τῶν παρατυχόντων ἁλῶναι.

Ὁ μῦθος δηλοῖ, ὅτι ἔνιοι τῶν ἀνθρώπων, διὰ σφοδρὰς προθυμίας ἀπερισκέπτως πράγμασιν ἐγχειροῦντες, ἐμβάλλουσιν ἑαυτοὺς εἰς ὄλεθρον.

ΑΛΛΩΣ (1).

Περιστερά τις σφοδρῶς ἐδίψα, καὶ ἐφ' ὕδατος ζήτησιν τῇδε κἀκεῖ περιήρχετο. Ἰδοῦσα δὲ ἔν τινι τοίχῳ ἐζωγραφημένην ὑδρίαν, ἐδόκει ἀληθῶς ὁρᾷν ὕδατος σκεῦος μεστόν. Καὶ ἐλθοῦσα τοῦ πιεῖν, τῷ τοίχῳ προσέκρουσε, καὶ αὐτίκα τοῦ ζῆν ἀπεῤῥήγνυτο. Ὅτε δὴ, πρὸς τελευταίαν ἐγγίσασα ἀναπνοὴν, ἔλεγεν ἐν ἑαυτῇ, ὅτι δυστυχὴς ὄντως ἐγὼ καὶ ἀθλία, ἐφ' ᾧ ὕδατος γλιχομένη μὴ θανάτου ἐμνημόνευον.

Οὗτος ὁ λόγος δηλοῖ, ὡς πολὺ κρείττων ἡ μακροθυμία τῆς ἀλογίστου σπουδῆς καὶ ταχύτητος.

121. ΠΕΡΙΣΤΕΡΑ ΚΑΙ ΚΟΡΩΝΗ.

Περιστερὰ, ἔν τινι περιστερεῶνι τρεφομένη, ἐπὶ πολυτεκνίᾳ ἐφρυάττετο. Κορώνη δ' αὐτῆς ἀκούσασα ἔφη· Ἀλλ', ὦ αὕτη, πέπαυσο ἐπὶ τούτῳ σεμνυνομένη· ὅσῳ γὰρ ἂν πλείονα τίκτῃς, τοσούτῳ καὶ πλείους λύπας συνάγεις.

Ὁ μῦθος δηλοῖ, ὅτι καὶ τῶν οἰκετῶν δυστυχέστατοί εἰσιν, ὅσοι ἐν τῇ δουλείᾳ πολλὰ τέκνα ποιοῦσιν.

---

(1) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. ή.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

122. ΠΛΟΥΣΙΟΣ.

Πλούσιος, δύο θυγατέρας ἔχων, τῆς μιᾶς ἀποθανούσης, θρηνούσας ἐμισθώσατο. Τῆς δὲ ἑτέρας παιδὸς λεγούσης, Ὡς ἄθλιαι ἡμεῖς, αἵγε αὐταί, ὧν ἐςι τὸ πένθος, θρηνεῖν οὐκ ἴσμεν, αἱ δὲ μὴ προσήκουσαι οὕτω σφοδρῶς κόπτονται, ἡ μήτηρ ἔφη, Μὴ θαύμαζε, τέκνον, εἰ αὗται οὕτω θρηνοῦσιν· ἐπὶ γὰρ ἀργυρίῳ τοῦτο ποιοῦσιν.

Ὁ μῦθος δηλοῖ, ὅτι ἔνιοι τῶν ἀνθρώπων διὰ φιλαργυρίαν οὐκ ὀκνοῦσιν ἀλλοτρίας συμφορὰς ἐργολαβεῖν.

123. ΠΟΙΜΗΝ.

Ποιμὴν, ἐλάσας εἴς τινα δρυμῶνα τὰ πρόβατα, ὑποςρώσας ὑπὸ δρῦν τὸ ἱμάτιον, καὶ ἀναβὰς, τὸν καρπὸν κατέσειε. Τὰ δὲ πρόβατα, ἐσθίοντα τὰς βαλάνους, ἔλαθον καὶ τὸ ἱμάτιον συγκαταφαγόντα. Ὁ δὲ ποιμὴν, καταβὰς, ὡς εἶδε τὸ γεγονὸς, Ὦ κάκιςα, ἔφη, ζῶα, ὑμεῖς τοῖς λοιποῖς ἔρια εἰς ἐσθῆτας παρέχετε· ἐμοῦ δὲ, τρέφοντος ὑμᾶς, καὶ τὸ ἱμάτιον ἀφείλεσθε.

Ὁ μῦθος δηλοῖ, ὅτι καὶ πολλοὶ τῶν ἀνθρώπων δι' ἄνοιαν, τοὺς μηδὲν προσήκοντας εὐεργετοῦντες, κατὰ τῶν οἰκείων φαῦλα ἐργάζονται.

124. ΑΛΙΕΥΣ ΚΑΙ ΣΜΑΡΙΣ.

Ἁλιεὺς, τὸ δίκτυον χαλάσας ἐν τῇ θαλάττῃ, ἀνήνεγκε σμαρίδα. Σμικρὰ δὲ οὖσα ἱκέτευεν αὐτὸν, νῦν μὲν μὴ λαβεῖν αὐτὴν, ἀλλ' ἐᾶσαι, διὰ τὸ σμικρὰν τυγχάνειν· Ἀλλ' ὅταν αὐξηνθῶ, καὶ μεγάλη, φησὶ, γένωμαι, συλλαβεῖν με δυνήσῃ, ἐπεὶ καὶ εἰς μείζονά σοι ὠφέλειαν ἔσομαι. Καὶ ὁ ἁλιεὺς εἶπεν·

Ἀλλ' ἔγωγε ἄνους ἂν εἴην, εἰ, τὸ ἐν χερσὶ παρεὶς κέρδος, κἂν σμικρὸν ᾖ, τὸ προσδοκώμενον, κἂν μεγα ὑπάρχῃ, ἐλπίζοιμι.

Ὁ μῦθος δηλοῖ, ὅτι ἀλόγιστος ἂν εἴη ὁ δι' ἐλπίδα μείζονος τὰ ἐν χερσὶν ἀφιεὶς, σμικρὰ ὄντα.

125. ΙΠΠΟΣ ΚΑΙ ΟΝΟΣ.

Ἄνθρωπός τις εἶχεν ἵππον καὶ ὄνον. Ὁδευόντων δὲ, ἐν τῇ ὁδῷ εἶπεν ὁ ὄνος τῷ ἵππῳ· Ἆρον ἐκ τοῦ ἐμοῦ βάρους, εἰ θέλεις εἶναί με σῶν. Ὁ δὲ οὐκ ἐπείσθη. Ὁ δὲ ὄνος, πεσὼν ἐκ τοῦ κόπου, ἐτελεύτησε. Τοῦ δὲ δεσπότου πάντα ἐπιθέντος αὐτῷ, καὶ αὐτὴν τὴν [τοῦ] ὄνου δοράν, θρηνῶν ὁ ἵππος ἐβόα· Οἴμοι τῷ παναθλίῳ, τί μοι συνέβη τῷ ταλαιπώρῳ; μὴ θελήσας γὰρ μικρὸν βάρος λαβεῖν, ἰδοὺ ἅπαντα βαστάζω, καὶ τὸ δέρμα (1).

Ὁ μῦθος δηλοῖ, ὅτι τοῖς μικροῖς οἱ μεγάλοι συγκοινωνοῦντες ἀμφότεροι σωθήσονται ἐν βίῳ.

126. ΑΝΘΡΩΠΟΣ ΚΑΙ ΣΑΤΥΡΟΣ.

Ἄνθρωπός τις, πρὸς Σάτυρον φιλίαν ποιησάμενος, συνεσθίων ἦν αὐτῷ. Χειμῶνος δὲ καὶ ψύχους γενομένου, ὁ ἄνθρω-

---

(1) Ἀποσπασμάτιον Βαβρίου ἐκ τοῦ Σουΐδα (λέξ. Ὀνεία),

. . . . . τὴν σάγην τε τοῦ κτήνους,
Καὶ τὴν ὀνείαν προσεπέθηκεν ἐκδείρας.

Ἕτεροι δ' ἑτέροις ζώοις τὸν μῦθον τόνδε προσήρμοσαν, ἢ δῆλον ἐκ τοῦ Πλουτάρχου (Ὑγιειν. παραγγελμ. § 25) « Ὁ βοῦς πρὸς τὴν ὁμόδουλον » ἔλεγε κάμηλον, ἐπικουφίσαι τοῦ φορτίου μὴ βουλομένην· Ἀλλὰ κἀμὲ » καὶ ταῦτα πάντα μετὰ μικρὸν οἴσεις. Ὃ καὶ συνέβη, τελευτήσαντος » αὐτοῦ ».

πος, τὰς χεῖρας αὐτοῦ προσφέρων τῷ ςόματι, ἀπέπνει. Τοῦ δὲ Σατύρου ἐπερωτήσαντος, δι᾽ ἣν αἰτίαν τοῦτο πράττει, ἔφη· Τὰς χεῖράς μου θερμαίνω ἐκ τοῦ κρύους. Μετὰ μικρὸν δὲ, ἐδέσματος θερμοῦ προσενεχθέντος, ὁ ἄνθρωπος, προσφέρων τῷ ςόματι, ἐφύσα αὐτό. Πυνθανομένου δὲ πάλιν, δι᾽ ἣν αἰτίαν τοῦτο πράττει, ἔφη· Τὸ ἔδεσμα καταψύχω. Ὑπολαβὼν δὲ ὁ Σάτυρος, Ἀλλ᾽ ἔγωγε, ἔφη, ἀπὸ τοῦ νῦν ἀποτάσσομαί σου τῆς φιλίας, ὅτι ἐκ τοῦ αὐτοῦ ςόματος τὸ θερμὸν καὶ τὸ ψυχρὸν ἐξάγεις.

Ὁ μῦθος δηλοῖ, ὅτι δεῖ φεύγειν ἡμᾶς τὰς φιλίας, ὧν ἀμφίβολός ἐςιν ἡ διάθεσις.

127. ΑΛΩΠΗΞ ΚΑΙ ΔΡΥΟΤΟΜΟΣ.

Αλωπηξ, κυνηγοὺς φεύγουσα, καὶ ἐν ἐρημίᾳ πολὺν δρόμον ἀνύουσα, ἄνδρα δρυοτόμον εὑρίσκει ἐν ταύτῃ, ὃν καθικέτευε τοῦ κρύψαι αὐτήν. Τοῦ δὲ, ὑποδείξαντος αὐτῇ τὴν ἑαυτοῦ καλύβην, εἰσελθοῦσα ἐκρύπτετο εἰς τὰς γωνίας. Τῶν δὲ κυνηγετῶν ἐλθόντων, καὶ ἐρωτώντων τὸν ἄνδρα, οὗτος τῇ μὲν φωνῇ ἠρνεῖτο μηδὲν εἰδέναι, τῇ δὲ χειρὶ αὐτοῦ τὸν τόπον ὑπεδείκνυ. Οἱ δὲ, μὴ προσχόντες ἀπῆλθον παραχρῆμα. Ὡς οὖν εἶδεν αὐτοὺς ἡ ἀλώπηξ παρελθόντας, ἐξῆλθεν οὐ προσφωνοῦσα. Μεμφομένου δὲ αὐτὴν ἐκείνου, ὡς σωθεῖσαν μὲν δι᾽ αὐτοῦ, χάριτας δὲ αὐτῷ οὐχ ὁμολογοῦσαν, ἡ ἀλώπηξ ἐπιστραφεῖσα ἔφη· Ὦ οὗτος, ἀλλ᾽ ἔγωγε ᾔδειν ἂν σοι χάριτας, εἰ τοῖς λόγοις ὅμοια καὶ τὰ ἔργα τῆς χειρὸς, καὶ τοὺς τρόπους εἶχες.

Ὁ μῦθος πρὸς τοὺς χρηστὰ μὲν ἐπαγγελλομένους τοῖς λόγοις, ἐναντία δὲ ποιοῦντας τοῖς ἔργοις.

ΑΛΛΩΣ.

Ἀλώπηξ, κυνηγοὺς φεύγουσα, ὡς ἐθεάσατο δρυοτόμον, τοῦ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

τον καθικέτευε κατακρύψαι αὐτήν. Ὁ δὲ παρῄνεσεν αὐτῇ εἰς τὴν ἑαυτοῦ καλύβην εἰσελθεῖν καὶ κρυβῆναι. Μετ' οὐ πολὺ δὲ, παραγενομένων τῶν κυνηγῶν, καὶ τοῦ δρυοτόμου πυνθανομένων, εἰ τεθέαται ἀλώπεκα τῇδε παριοῦσαν, ἐκεῖνος τῇ μὲν φωνῇ ἠρνεῖτο ἑωρακέναι, τῇ δὲ χειρὶ νεύων ἐσήμανε, ποῦ κατακέκρυπται. Τῶν δὲ, οὐχ οἷς ἔνευε προσεσχηκότων, ἀλλ' οἷς ἔλεγε πιστευσάντων, ὑπεχώρησαν. Ἡ ἀλώπηξ, ἰδοῦσα ἀπαλλαγέντας, ἐξελθοῦσα, ἀπροσφωνητὶ ἐπορεύετο. Μεμφομένου δὲ αὐτὴν [τοῦ] δρυοτόμου, ὅτι διασωθεῖσα ὑπ' αὐτοῦ οὐδὲ φωνῆς αὐτὸν ἠξίωσεν, ἔφη· Ἀλλ' ἐγὼ ηὐχαρίστησα ἄν σοι, εἰ τοῖς λόγοις ὅμοια τὰ ἔργα *καὶ* τῆς χειρὸς [καὶ τοὺς] τρόπους εἶχες.

Τούτῳ τῷ λόγῳ χρήσαιτο ἄν τις πρὸς ἐκείνους τοὺς ἀνθρώπους, τοὺς τὰ χρηστὰ μὲν σαφῶς ἐπαγγελλομένους, ἔργα δὲ φαῦλα δρῶντας.

ΑΛΛΩΣ.

ΑΛΩΠΗΞ ΚΑΙ ΠΟΙΜΗΝ.

Ἔλαφον διώκει λέων. Ἡ δὲ φεύγουσα, ὑπεξάγει, καὶ καταδύεται εἰς δρυμῶνα βαθύν. Ὁ δὲ λέων, ἐπιστὰς τῷ δρυμῷ, ἐρωτᾷ τὸν ποιμένα, εἴπου εἶδε πτήξασαν τὴν ἔλαφον. Ὁ δὲ ποιμὴν, οὐκ ἔφη εἰδέναι, καὶ ὁμοῦ λέγων τὴν χεῖρα ἀνατείνας, ἔδειξε τὸ χωρίον. Ὤχετο ὁ λέων ἐπὶ τὴν δειλαίαν ἔλαφον. Ἡ δὲ ἀλώπηξ πρὸς τὸν ποιμένα λέγει· Ὡς δειλὸς ἄρα καὶ πονηρὸς ἦσθα, δειλὸς μὲν πρὸς λέοντας, πονηρὸς δὲ εἰς ἐλάφους.

128. ΑΝΘΡΩΠΟΣ ΚΑΤΑΘΡΑΥΣΑΣ ΑΓΑΛΜΑ.

Ἄνθρωπός τις ξύλινον ἔχων Θεὸν, καθικέτευε τοῦ ἀγαθοποιῆσαι αὐτόν. Ὡς οὖν ταῦτα ἔπραττε, καὶ οὐδὲν ἧττον ἐν πενίᾳ διῆγε, θυμωθεὶς, ἄρας αὐτὸν τῶν σκελῶν, ἔρριψεν εἰς

τὸ ἔδαφος. Προσκρουσάσης οὖν τῆς κεφαλῆς, καὶ αὐτίκα κλασθείσης, χρυσὸς ἔῤῥευσεν ὅτι πλεῖστος, ὅνπερ δὴ συνάγων ὁ ἄνθρωπος ἐβόα· Στρεβλὸς ὑπάρχεις, ὥς γε οἶμαι, καὶ ἀγνώμων· τιμῶντά σε γὰρ ἥκιστά με ὠφέλησας, τυπτήσαντα δέ σε πολλοῖς καλοῖς ἀμείβῃ.

Ὁ μῦθος δηλοῖ, ὅτι οὐκ ὠφελήσῃ τιμῶν πονηρὸν ἄνθρωπον, τύπτων δὲ αὐτὸν, μᾶλλον ὠφελήσῃ.

ΑΛΛΩΣ.

Ἄνθρωπός τις; ξύλινον ἔχων θεὸν, πένης ὢν, καθικέτευε τοῦ ἀγαθοποιῆσαι. Ὡς οὖν ταῦτ' ἔπραττε, καὶ μᾶλλον ἐν πενίᾳ διῆγε, θυμωθεὶς, ἐκ τοῦ σκέλους ἄρας αὐτὸν τῷ τοίχῳ προσέκρουσε. Τῆς δὲ κεφαλῆς αὐτοῦ παραχρῆμα κλασθείσης, ἔῤῥευσε χρυσὸς ἐξ αὐτῆς, ὃν συναγαγὼν ὁ ἄνθρωπος ἐβόα· Στρεβλὸς τυγχάνεις, ὡς οἶμαι, καὶ ἀγνώμων· τιμῶντά σε γὰρ οὐδὲν ὠφέλησάς με· τυπτήσαντα δὲ πολλοῖς καλοῖς ἠμείψω.

Ὁ μῦθος δηλοῖ, ὅτι οὐδὲν ὠφελήσεις σαυτὸν, πονηρὸν ἄνδρα τιμῶν, αὐτὸν δὲ τύπτων, πλέον ὠφελήσεις.

129. ΑΝΘΡΩΠΟΣ ΚΑΙ ΚΥΩΝ.

Ἄνθρωπός τις ἡτοίμαζε δεῖπνον, ἑστιάσων τινὰ τῶν φίλων αὐτῷ καὶ οἰκείων. Ὁ δὲ κύων αὐτοῦ ἄλλον κύνα ἐκάλει, λέγων· Ὦ φίλε, δεῦρο συνδείπνησόν μοι. Ὁ δὲ προσελθὼν, χαίρων ἵστατο, βλέπων τὸ μέγα ἐκεῖνο δεῖπνον, βοῶν ἐν τῇ καρδίᾳ· Βαβαὶ, πόση μοι χαρὰ ἄρτι ἐξαπιναίως ἐφάνη· τραφήσομαί τε γὰρ, καὶ εἰς κόρον δειπνήσω, ὥστε με αὔριον μηδαμῆ γε πεινᾶσαι. Ταῦτα καθ' ἑαυτὸν λέγοντος τοῦ κυνὸς, καὶ ἅμα σείοντος τὴν κέρκον, ὡς δὴ εἰς τὸν φίλον θαῤῥοῦντος, ὁ μάγειρος, ὡς εἶδε τοῦτον ὧδε κἀκεῖσε τὴν κέρκον περιστρέφοντα, κατασχὼν τὰ σκέλη αὐ-

τοῦ, ἔῤῥιψε παραχρῆμα ἔξωθεν τῶν θυρίδων. Ὁ δὲ, κατιὼν ἀπήει, μεγάλως κράζων. Τῶν τις δὲ κυνῶν, τῶν καθ' ὁδὸν αὐτῷ συναντώντων, ἐπηρώτα, Πῶς ἐδείπνησας, φίλε; Ὁ δὲ πρὸς αὐτὸν ὑπολαβὼν ἔφη· Ἐκ τῆς πολλῆς πόσεως μεθυσθεὶς ὑπὲρ κόρον, οὐδὲ τὴν ὁδὸν αὐτὴν, ὅθεν ἐξῆλθον, οἶδα.

Ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ θαῤῥεῖν τοῖς ἐξ ἀλλοτρίων εὖ ποιεῖν ἐπαγγελλομένοις.

130. ΑΛΙΕΥΣ.

Ἁλιεὺς, ἁλιευτικῆς ἄπειρος, λαβὼν αὐλοὺς καὶ δίκτυα, παρεγένετο εἰς τὴν θάλασσαν, καὶ ϛὰς ἐπί τινος πέτρας, τὸ μὲν πρῶτον ηὔλει, νομίζων, πρὸς τὴν ἡδυφωνίαν τοὺς ἰχθύας ἐφάλλεσθαι. Ὡς δ', ἐπὶ πολὺ διατεινόμενος, ἤνυεν οὐδὲν, ἀποθέμενος τοὺς αὐλοὺς, ἀναλαμβάνει τὸ ἀμφίβληϛρον, καὶ βαλὼν κατὰ τοῦ ὕδατος, πολλοὺς ἰχθύας ἤγρευσεν. Ἐκβαλὼν δὲ αὐτοὺς ἀπὸ τοῦ δικτύου, ὡς εἶδε πηδῶντας, ἔφη· Ὦ κάκιϛα ζῶα, ὅτε ηὔλουν, οὐκ ὠρχεῖσθε, ὅτε δὲ πέπαυμαι, τοῦτο ποιεῖτε.

Ὁ μῦθος πρὸς τοὺς παρὰ λόγον καὶ παρὰ καιρόν τι πράττοντας.

ΑΛΛΩΣ. (1).

Ἄνδρα [φασὶν] αὐλητὴν, ἰδόντα ἰχθῦς ἐν τῇ θαλάσσῃ, αὐλέειν, δοκέοντά σφεας ἐξελεύσεσθαι ἐς γῆν. Ὡς δὲ ψευσθῆναι τῆς ἐλπίδος, βαλεῖν ἀμφίβληϛρον, καὶ περιβαλεῖν τε πλῆθος πολλὸν τῶν ἰχθύων, καὶ ἐξειρύσαι. Ἰδόντα δὲ παλλομένους, εἰπεῖν ἄρα αὐτὸν πρὸς τοὺς ἰχθῦς· Παύεσθέ μοι ὀρχεόμενοι, ἐπεὶ οὐκ ἐμέο αὐλέοντος ἠθέλετε ἐκβαίνειν ὀρχεόμενοι.

---

(1) Ἐκ τοῦ Ἡροδότου (Α, ρμά).

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΑΛΛΩΣ.

Ἀνὴρ ἁλιεὺς, ὁμοῦ καὶ αὐλεῖν ἐπιςάμενος, τοὺς αὐλοὺς λαβὼν καὶ τὰ δίκτυα παρὰ τὴν θάλασσαν, οὐδὲν εἶχε λαβεῖν. Ὡς δὲ τοῖς αὐλοῖς ἠπόρει θηρᾷν, τούτους ἀφεὶς, ἐπὶ τὸ δίκτυον ᾔει, καὶ χρώμενος εἷλεν, οὓς αὐλῶν οὐκ ἐθήρασεν.

Γέρας αἱ τέχναι τοῖς προσήκουσι πράγμασι νέμουσι.

131. ΒΟΥΚΟΛΟΣ.

Βουκόλος, ἀγέλην ταύρων βόσκων, ἀπώλεσε μόσχον. Περιελθὼν δὲ πᾶσαν τὴν ἔρημον, διέτριβεν ἐρευνῶν. Ὡς δὲ οὐδὲν εὑρεῖν ἠδυνήθη, ηὔξατο τῷ Διὶ, ἂν τὸν λαβόντα [τὸν] μόσχον κλέπτην ὑποδείξῃ, ἔριφον εἰς θυσίαν προσάξειν. Καὶ δὴ ἐρχόμενος εἴς τινα δρυμῶνα, εὑρίσκει λέοντα κατεσθίοντα τὸν μόσχον. Ἔμφοβος οὖν γενόμενος, καὶ μέγα δειλιάσας, ἐπάρας τὰς χεῖρας αὐτοῦ εἰς τὸν οὐρανὸν, εἶπεν· Ὦ δέσποτα Ζεῦ, ἐπηγγειλάμην σοι ἔριφον θύσειν, ἐὰν τὸν κλέπτην εὕρω· νῦν ταῦρόν σοι θύσειν ὑπισχνοῦμαι, ἐὰν τούτου τὰς χεῖρας ἐκφύγω.

Ὁ μῦθος πρὸς ἄνδρας δυςυχεῖς, οἵτινες ἀποροῦντες μὲν εὔχονται εὑρεῖν, εὑρόντες δὲ ζητοῦσιν ἀποφυγεῖν.

132. ΚΟΡΑΞ.

Κόραξ νοσῶν ἔφη τῇ μητρί· Μῆτερ, εὔχου τῷ θεῷ, καὶ μὴ θρήνει. Ἡ δ᾽, ὑπολαβοῦσα ἔφη· Τίς σε, ὦ τέκνον, τῶν θεῶν ἐλεήσει; τίνος γὰρ κρέας ὑπὸ σοῦ γε οὐκ ἐκλάπη;

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ πολλοὺς ἐχθροὺς ἐν βίῳ ἔχοντες οὐδένα φίλον ἐν ἀνάγκῃ εὑρήσουσιν.

133. ΑΕΤΟΣ.

Υπεράνωθεν πέτρας ἀετὸς ἐκαθέζετο, λαγωὸν θηρεῦσαι ζητῶν. Τοῦτον δέ τις ἔβαλε τοξεύσας· καὶ τὸ μὲν βέλος ἐντὸς αὐτοῦ εἰσῆλθεν, ἡ δὲ γλυφὶς σὺν τοῖς πτεροῖς πρὸ τῶν ὀφθαλμῶν εἱςήκει. Ὁ δὲ ἰδὼν ἔφη· καὶ τοῦτό μοι ἑτέρα λύπη, τὸ τοῖς ἰδίοις πτεροῖς ἐναποθνήσκειν.

Ὁ μῦθος δηλοῖ, ὅτι δεινόν ἐςιν, ὅταν τις ἐκ τῶν οἰκείων κινδυνεύσῃ.

ΑΛΛΩΣ.

Τοξότης ἀετοῦ κατεςοχάζετο, καὶ βέλος ἀφεὶς εἷλε τὸν ἀετόν. Ἐπιςραφεὶς δὲ ὁ ἀετὸς, καὶ τὸ βέλος ἰδὼν ἐπτερωμένον τοῖς οἰκείοις πτεροῖς, ἔφη· Τὰ παρ' αὐτοῦ τοῖς πολλοῖς πράγματα οἰκείων ἐπιβουλή.

ΑΛΛΩΣ.

Βέλει τὸ ςῆθος ἀετὸς τρώθη πάλαι,
Ἀλγῶν δὲ λοιπὸν, ἧςο πολλὰ δακρύων.
Βλέπων δ' οἰςὸν εἶπεν ἐπτερωμένον,
Βαβαὶ, πτερόν με τὸν πτερωτὸν ὀλλύει.

Πρὸς τοὺς ἐκ τῶν ἰδίων κακῶς πάσχοντας.

ΑΛΛΩΣ (1).

Ὅδ' ἐςὶ μύθων τῶν Λιβυςικῶν λόγος,
Πληγέντ' ἀτράκτῳ τοξικῷ τὸν ἀετὸν
Εἰπεῖν, ἰδόντα μηχανὴν πτερώματος,

---

(1) Ἀποσπασμάτιον Αἰσχύλου, ἐκ τοῦ σχολιαςοῦ Ἀριςοφάνους (Ὄρν. 807), καὶ ἐκ τοῦ Σουΐδα (λέξ. Ταυτὶ μὲν, καὶ, Οὐχ ὑπ' ἄλλων).

Τάδ' οὐχ ὑπ' ἄλλων, ἀλλὰ τοῖς αὐτῶν πτεροῖς
Ἁλισκόμεθα. . . . .

ΑΛΛΩΣ.

Ὁ μυθογράφος Αἴσωπος τοῖς μύθοις αὐτοῦ πλάττει,
Ὡς ἀετὸς πετόμενος ἐφ' ὕψους ἐτοξεύθη·
Ἰδὼν τὰ βέλους δὲ πτερὰ τῶν ἀετείων ὄντα,
Ἐμοῖς πτεροῖς, ἐβόησεν, ἐγὼ νῦν κατεβλήθην.

134. ΤΕΤΤΙΞ ΚΑΙ ΜΥΡΜΗΚΕΣ.

Χειμῶνος ὥρᾳ, τῶν σίτων βραχέντων οἱ μύρμηκες ἔψυχον· τέττιξ δὲ λιμώττων ᾔτει αὐτοὺς τροφήν. Οἱ δὲ μύρμηκες εἶπον αὐτῷ· Διὰ τί τὸ θέρος οὐ συνῆγες τροφήν; Ὁ δὲ εἶπεν· Οὐκ ἐσχόλαζον, ἀλλ' ᾖδον μουσικῶς. Οἱ δὲ, γελάσαντες εἶπον· Ἀλλ' εἰ θέρους ὥραις ηὔλεις, χειμῶνος ὀρχοῦ.

Ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ τινα ἀμελεῖν ἐν παντὶ πράγματι, ἵνα μὴ λυπηθῇ καὶ κινδυνεύσῃ.

ΑΛΛΩΣ.

Θέρους ἦν ἀκμὴ, καὶ οἱ μὲν τέττιγες μουσικὴν ἀνεβάλλοντο σύντονον. Τοῖς μύρμηξι δὲ πονεῖν ἐπῄει καὶ συλλέγειν καρποὺς, ἐξ ὧν ἔμελλον τοῦ χειμῶνος τραφήσεσθαι. Χειμῶνος δὲ ἐπιγεγονότος, οἱ μύρμηκες μὲν, οἷς ἐπόνουν, ἐτρέφοντο· τοῖς δὲ ἡ τέρψις ἐτελεύτα πρὸς ἔνδειαν.

Οὕτως νεότης, πονεῖν οὐκ ἐθέλουσα, παρὰ τὸ γῆρας κακοπραγεῖ.

ΑΛΛΩΣ (1).

Χειμῶνος ὥρᾳ, σῖτον ἐκ μυχοῦ σύρων,

---

(1) Ἐκ τῆς συλλογῆς Τυρουΐττου.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ἔψυχε μύρμηξ, ὃν θέρους σεσωρεύκει.
Τέττιξ δὲ τοῦτον ἱκέτευσε λιμώττων
Δοῦναί τι κ' αὐτῷ τῆς τροφῆς, ὅπως ζήσῃ.
Τί οὖν ἐποίεις, φησὶ, τῷ θέρει τούτῳ;
Οὐκ ἐσχόλαζον, ἀλλὰ διετέλουν ᾄδων.
Γελάσας δ' ὁ μύρμηξ, τὸν δὲ πυρὸν ἐγκλείων,
Χειμῶνος ὀρχοῦ, φησιν, εἰ θέρους ᾖσας.

ΑΛΛΩΣ.

Ἤτει τροφὴν μύρμηκα τέττιξ ἐν κρύει.
Μύρμηξ δ' ἔφησε, Τί, θέρους ὄντος, ἔδρας;
Ὡς ἐν θέρει, εἴρηκεν, ᾖδον ὀξέως.
Χειμῶνος ὀρχοῦ, φησί, μὴ τροφῆς ἔρα.

● Πρὸς τοὺς μὴ θέλοντας ἐν νεότητι κοπιᾷν, καὶ διὰ τοῦτο ἐν τῷ γήρᾳ πτωχοῦντας.

ΑΛΛΩΣ (1).

Μύρμηξ τὶς, ὥρᾳ χειμῶνος, ὃν θέρους συνήγαγε σῖτον, καθ' ἑαυτὸν ἤσθιεν. Ὁ δὲ τέττιξ, προσελθὼν αὐτῷ, ᾐτεῖτο μεταδοθῆναι αὐτῷ ἐκ τῶν αὐτοῦ σιτίων. Ὁ δὲ μύρμηξ ἔφη πρὸς αὐτὸν, Καὶ τί ἄρα πράττων διετέλεις ἐφ' ὅλῳ τῷ τοῦ θέρους καιρῷ, ὅτι μὴ συνέλεξας σεαυτῷ διατροφήν; Ὁ δὲ τέττιξ πρὸς αὐτὸν ἀντέφησεν, Εἰς τὸ μελῳδεῖν ἀπασχολούμενος, τῆς συλλογῆς ἐκωλυόμην. Τῇ γοῦν τοιαύτῃ τοῦ τέττιγος ἀποκρίσει ὁ μύρμηξ ἐπιγελάσας, τὸν ἑαυτοῦ σῖτον τοῖς ἐνδοτέροις τῆς γῆς μυχοῖς ἐναπέκρυψε, καὶ πρὸς αὐτὸν ἀπεφθέγξατο, ὡς Ἐπεὶ τότε ματαίως ἐμελῴδεις, νῦν λοιπὸν ὀρχήσασθαι θέλησον.

Ὁ μῦθος οὗτος παριστᾷ τοὺς ὀκνηρούς τε καὶ ἀμελεῖς, καὶ τοὺς ἐν ματαιοπραγίαις διάγοντας καὶ ἐντεῦθεν ὑστερουμένους.

(1) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. μγ'.

135. ΣΚΩΛΗΞ ΚΑΙ ΑΛΩΠΗΞ.

Ο τῷ πηλῷ κρυπτόμενος σκώληξ, εἰς γῆν ἐξελθὼν, ἔλεγε πᾶσι τοῖς ζώοις· Ἰατρός εἰμι φαρμάκων ἐπιςήμων, οἷός ἐςιν ὁ τῶν θεῶν ἰατρὸς Παιών. Καὶ, πῶς, εἶπεν ἀλώπηξ, ἄλλους ἰώμενος, σαυτὸν χωλὸν ὄντα οὐκ ἰάσω;

Ὁ μῦθος δηλοῖ, ὅτι, ἐὰν μὴ πρόχειρος ᾖ ἡ πεῖρα, πᾶς λόγος ἀργὸς ὑπάρχει.

136. ΟΡΝΙΣ ΧΡΥΣΟΤΟΚΟΣ.

Ορνιθά τις εἶχεν ὠὰ χρυσᾶ τίκτουσαν· καὶ νομίσας, ἔνδον αὐτῆς ὄγκον χρυσίου εἶναι, κτείνας εὕρηκεν ὁμοίαν τῶν λοιπῶν ὀρνίθων. Ὁ δὲ, ἀθρόον πλοῦτον ἐλπίσας εὑρήσειν, καὶ τοῦ μικροῦ ἐςέρηται ἐκείνου.

Ὁ μῦθος δηλοῖ, ὅτι δεῖ τοῖς παροῦσιν ἀρκεῖσθαι, καὶ τὴν ἀπληςίαν φεύγειν.

ΑΛΛΩΣ.

Ἔτικτε χρυσοῦν ὠὸν ὄρνις εἰσάπαξ.
Καί τις πλανηθεὶς χρυσεραςὴς τὴν φρένα,
Ἔκτεινε ταύτην, χρυσὸν ὡς λαβεῖν θέλων.
Ἐλπὶς δὲ μεῖζον δῶρον ὤλεκεν τύχης.

Πρὸς τοὺς ἐλπίδι κέρδους εἰς ζημίαν ἐκ μικροψυχίας ἐμπίπτοντας.

ΑΛΛΩΣ (1).

ΑΝΗΡ ΚΑΙ ΟΡΝΙΣ.

Ἀνήρ τις ὄρνιν ἐκέκτητο, χρυσοῦν ὠὸν καθ' ἑκάςην αὐτῷ

(1) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. κζ'.

τίκτουσαν. Ὁ δὲ, μὴ τῷ καθημερινῷ ἐκείνῳ ἐπαρκούμενος κέρδει, ἀλλ' ἀφρόνως τοῦ πλείονος ὀρεγόμενος, τὴν ὄρνιν κατέσφαξεν· ἐδόκει γὰρ ἐν τοῖς ἐγκάτοις αὐτῆς θησαυρῷ τινὶ ἐντυχεῖν. Καὶ μηδὲν ὅλως ἐφευρὼν, καθ' ἑαυτὸν ἔλεξεν, ὡς ἐλπίδι θησαυροῦ ἐπερειδόμενος, καὶ τοῦ ἐν χερσὶ κέρδους ἐξέπεσον.

Ὁ μῦθος δηλοῖ, ὡς *οἱ* πολλοὶ τῶν πλειόνων ὀρεγόμενοι, καὶ τῶν ὀλίγων ἐκπίπτουσιν.

137. ΛΕΩΝ ΚΑΙ ΑΛΩΠΗΞ.

Λέων γηράσας, καὶ μὴ δυνάμενος διαρκέσαι αὐτῷ εἰς τροφὴν, ἔγνω δι' ἐπινοίας τι πρᾶξαι. Καὶ δὴ παραγενόμενος ἐν σπηλαίῳ τινὶ, κατακλινθεὶς, προσεποιεῖτο νοσεῖν. Παραγενόμενα οὖν τὰ ζῶα, ἐπισκέψεως χάριν, συλλαμβάνων κατήσθιεν αὐτά. Πολλῶν οὖν ζώων ἀναλωθέντων, ἀλώπηξ, τὸ τέχνασμα τοῦτο γνοῦσα, παρεγένετο πρὸς αὐτὸν, καὶ στᾶσα ἔξωθεν τοῦ σπηλαίου ἐπυνθάνετο, πῶς ἔχει. Τοῦ δὲ εἰπόντος, κακῶς, καὶ τὴν αἰτίαν πυνθανομένου, δι' ἣν οὐκ εἰσέρχεται, ἡ ἀλώπηξ ἔφη· Ὅτι ὁρῶ ἴχνη πολλῶν εἰσιόντων, ὀλίγων δὲ ἐξιόντων (1).

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ φρόνιμοι τῶν ἀνθρώπων, ἐκ τεκμηρίων προορώμενοι τοὺς κινδύνους, ἐκφεύγουσιν.

---

(1) Ἀποσπασμάτιον Βαβρίου ἐκ τοῦ Σουΐδα (λέξ. Ἆσθμα, καὶ Σπῆλυγξ), διωρθωμένον ὑφ' ἑτέρων,

Κ' εἴσω λέων σπήλυγγος, οἷά τις νούσῳ
Κάμνων ἐβέβλητ', οὐκ ἀληθὲς ἀσθμαίνων.

Μνημονεύει δὲ καὶ Πλάτων (Α Ἀλκιβιάδ. σελ. 123) «Κατὰ τὸν Αἰσώπου μῦθον, ὃν ἡ ἀλώπηξ πρὸς τὸν λέοντα εἶπε, καὶ τοῦ εἰς Λακεδαίμονα νομίσματος, εἰσιόντος μὲν τὰ ἴχνη τὰ ἐκεῖσε τετραμμένα δῆλα, ἐξιόντος δὲ οὐδαμῇ ἄν τις ἴδοι.»

ΑΛΛΩΣ.

Γῆρας ἐλύπει τὸν λέοντα, καὶ θηρᾷν οὐκ ἠδύνατο. Βουλόμενος δὲ πορίσασθαι τροφὰς, νοσεῖν ὑπεκρίνετο, καὶ σχήματι νόσου εὐπορίαν τῆς τροφῆς ἀπειργάζετο. Τὰ γὰρ πλεῖστα τῶν ζώων, προσιόντα, φιλοφρονούμενος, τροφὴν πρόχειρον ἔχων, κατήσθιεν. Ἑαλωκότων δὲ πολλῶν, ἀλώπηξ, συνιοῦσα τῆς τέχνης, ἐν προθύροις μὲν φιλοφρονεῖται τὸν λέοντα· τὰ δὲ τῶν ἑαλωκότων ἴχνη τῆς λύμης ἔλεγχον ἔφερον.

Οὕτω σοφία πανουργίας ἐπικρατεῖ.

ΑΛΛΩΣ. (1).

ΛΕΩΝ ΝΟΣΩΝ ΚΑΙ ΘΗΡΙΑ.

Λεών γηράσας τις, καὶ ἀτονήσας, καὶ ἑαυτὸν διατρέφειν μὴ δυνάμενος, ἐπειρᾶτο μηχανικῶς διαζῆν. Νοσεῖν οὖν προσποιούμενος, κατέκλινεν ἑαυτὸν ἔν τινι σπηλαίῳ. Εἶτα, τῶν ἄλλων θηρίων εἰς ἐπίσκεψιν αὐτοῦ παραγινομένων, εὐθὺς ἕκαστον αὐτῶν ἁρπάζων κατήσθιε. Γνοῦσα δέ ἡ ἀλώπηξ τὴν αὐτοῦ πανουργίαν, οὐκ ἤθελε πρὸς αὐτὸν ἀνελθεῖν, ἀλλὰ μακρόθεν ἑστῶσα ἐπηρώτα τὸν λέοντα, ὅπως δῆθεν τὰ κατ' αὐτὸν ἔχει. Ὁ δὲ πρὸς αὐτὴν ἔλεγε, Τίνος χάριν οὐκ εἰσέρχῃ πρός με; Ἡ δὲ Ἀλώπηξ ἀντέφησεν, ὡς πολλῶν ἴχνη ἐνταῦθα ἑώρακα εἰσελθόντων μὲν, μὴ ἐξελθόντων δέ.

Ὁ μῦθος οὗτος δηλοῖ, ὡς καὶ τοὺς ἀνθρώπους ὑφορᾶσθαι δεῖ τὰ τῶν πρακτέων ἐπικίνδυνα καὶ ἐξ αὐτῶν ἀποδιδράσκειν, ἀσφαλίζεσθαι δὲ καὶ ἀπὸ τῶν δόλῳ καὶ ὑποκρίσει φιλίας πειρωμένων ἑτέρους λυμαίνεσθαι.

---

(1) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. λς'.

138. ΛΥΚΟΣ ΚΑΙ ΓΡΑΥΣ.

Λύκος λιμώττων περιῄει ζητῶν τροφήν. Γενόμενος δὲ κατά τινα τόπον, ἤκουσε παιδίου κλαίοντος, καὶ γραὸς λεγούσης αὐτῷ, Παῦσαι τοῦ κλαίειν· εἰ δὲ μὴ, τῇ ὥρα ταύτῃ ἐπιδώσω σε τῷ λύκῳ. Οἰόμενος δὴ ὁ λύκος, ὅτι ἀληθεύει ἡ γραῦς, ἵςατο πολλὴν ἐκδεχόμενος ὥραν. Ὡς δ' ἑσπέρα κατέλαβεν, ἀκούει πάλιν τῆς γραὸς κολακευούσης τὸ παιδίον, καὶ λεγούσης αὐτῷ, Ἐὰν ἔλθῃ ὁ λύκος δεῦρο, φονεύσομεν, ὦ τέκνον, αὐτόν. Ταῦτα ἀκούσας ὁ λύκος, ἐπορεύετο, λέγων· Ἐν ταύτῃ τῇ ἐπαύλει ἄλλα μὲν λέγουσιν, ἄλλα δὲ πράττουσιν.

Ὁ μῦθος πρὸς ἀνθρώπους, οἵ τινες τὰ ἔργα τοῖς λόγοις οὐκ ἔχουσιν ὅμοια.

ΑΛΛΩΣ.

Τηθὴν ἐλύπει δακρύον παιδίον. Ὡς δὲ ἐνοχλούμενον οὐκ ἐπαύετο, ἠπείλει λύκῳ παραβαλεῖν, εἰ μὴ παύσαιτο. Λύκος δέ τις παρατυχὼν, ἔμενε τὸν λόγον ἐκβῆναι πρὸς ἔργον. Καὶ τὸ μὲν παιδίον ἐδεδώκει πρὸς ὕπνον· κενὸς δὲ ὁ λύκος ἀπεχώρει θήρας τῆς τε παρούσης, καὶ τῆς ἀλλαχόθεν ἐλπιζομένης γενήσεσθαι.

Ἄπορον ἐλπὶς μὴ προσλαβοῦσα τὴν ἔκβασιν.

ΑΛΛΩΣ (1).

Αἰτοῦντι τροφὴν νηπίῳ, καὶ κλαίοντι ἠπείλησε γραῦς, εἰ μὴ ἡσυχάσαι, τῷ λύκῳ ῥίψαι. Ὁ δὲ λύκος, τὴν γραῦν ἀληθεύειν νομίσας, ἐκαρτέρησε μέχρις ἑσπέρας πεινῶν, μηδὲν λαβών. Εἰς

(1) Ἐκ τῆς τοῦ Τυρουίττου συλλογῆς.

δὲ

δὲ τὴν σύνοικον ἐλθὼν ἠρωτᾶτο, Πῶς οὐδὲν ἄρας, ἦλθεν, ὡς ἀεί. Ὁ δὲ εἶπε, Πῶς γάρ τις πιςεύσει γυναικί;

139. ΕΡΙΦΟΣ ΚΑΙ ΛΥΚΟΣ.

Ἔριφος ἐπί τινος δώματος ἑςὼς, ἐπειδὴ λύκον παριόντα εἶδεν, ἐλοιδόρει καὶ ἔσκωπτεν αὐτόν. Ὁ δὲ λύκος ἔφη· Ὦ οὗτος, οὐ σύ με λοιδορεῖς, ἀλλ' ὁ τόπος.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλάκις καὶ ὁ τόπος καὶ ὁ καιρὸς δίδωσι τὸ θράσος κατὰ τῶν ἀμεινόνων.

ΑΛΛΩΣ.

ΑΡΝΟΣ ΚΑΙ ΛΥΚΟΣ.

Ἀρνὸς, ἐφ' ὑψηλοῦ τόπου ἱςάμενος, λύκον, κάτωθεν παριόντα τὴν ὁδὸν, ἔσκωπτε, καὶ θηρίον κακὸν ἀπεκάλει καὶ ὠμοβόρον. Ὁ δὲ λύκος ςραφεὶς εἶπε πρὸς αὐτόν· Οὐ σύ με λοιδορεῖς, ἀλλ' ὁ πύργος, ἐν ᾧ ἵςασαι.

Ὁ μῦθος πρὸς τοὺς ὑπομένοντας ὕβριν ἀπὸ ἀναξίων ἀνθρώπων, διὰ φόβον ὑψηλοτέρων.

ΑΛΛΩΣ.

Πύργου προκύπτων ἀρνὸς ἔσκωπτεν λύκον,
Ὡς ἐχθρὸν, ὡς κάκιςον, ὡς μεςὸν φόνου.
Ἄνω δὲ βλέψας φησὶν, Οὐ σκώπτεις σύ με,
Πύργος δ', ὃς ὁπλίζει σε πρὸς μέγα θράσος.

Καιρῷ μὴ θρασύνεσθαι.

ΑΛΛΩΣ (1).

Λύκος διήρχετο ἔξωθεν τείχους· ἔνθα ἀρνὸς παρακύψας ὕβρι-

(1) Ἐκ τῆς τοῦ Τυρουΐττου συλλογῆς. Εἰς τοῦτον δὲ τὸν μῦθον ἀνενεκτέον τὸ παρὰ τῷ Σουΐδᾳ (λέξ. Τριγχὸς, καὶ, Πρίων) Βαβρίου ἀπο-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ζε πολλὰ τὸν λύκον. Κἀκεῖνος, ὀδόντας τρίζων, εἶπεν, Ὁ τόπος με λοιδορεῖ· σὺ μὴ καυχῶ.

140. ΗΜΙΟΝΟΣ.

Ημίονος, ἐκ κριθῆς παχυνθεὶς, ἀνεσκίρτησε βοῶν, καὶ λέγων· Πατήρ μου ἐςὶν ἵππος ὁ ταχυδρόμος, κἀγὼ αὐτῷ ὅλος ἀφωμοιώθην. Καί ποτε, ἀνάγκης ἐπελθούσης τρέχειν, ἐπειδὴ τοῦ δρόμου ἐπαύσατο, τοῦ πατρὸς ὄνου εὐθέως ὑπεμνήσθη.

Ὁ μῦθος δηλοῖ, ὅτι, κἂν ὁ χρόνος εἰς δόξαν φέρῃ τινὰ, τῆς ἑαυτοῦ γε μὴν τύχης μὴ ἐπιλανθανέσθω. Ἀβέβαιος γάρ ἐςιν ὁ βίος οὗτος.

ΑΛΛΩΣ.

Ἡμίονός τις, ἐκ κριθῆς παχυνθεὶς, ἀνεσκίρτησε βοῶν, καὶ λέγων· Πατήρ μου ἐςιν ἵππος ὁ ταχυδρόμος, κἀγὼ αὐτῷ ὅλως ἀφωμοιώθην. Καὶ δὴ ἐν μιᾷ, ἀνάγκης ἐπελθούσης, ἠναγκάζετο τρέχειν. Ὡς δὲ τοῦ δρόμου πέπαυται, τοῦ πατρὸς ὄνου εὐθὺς ὑπανεμνήσθη.

Ὁ μῦθος δηλοῖ, ὅτι, κἂν ὁ χρόνος φέρῃ τινὰ εἰς δόξαν, τῆς ἑαυτοῦ ἀρχῆς μὴ ἐπιλάθηται· ὅτι ἀβέβαιός ἐςιν ὁ βίος οὗτος.

ΑΛΛΩΣ (1).

Ἡμίονος Λυδὸς, ἐν ποταμῷ τῆς ὄψεως ἑαυτοῦ κατιδὼν εἰκόνα, καὶ θαυμάσας τὸ κάλλος τε καὶ τὸ μέγεθος τοῦ σώματος, ὥρμησε θεῖν ὥσπερ ἵππος ἀναχαιτίσας. Εἶτα μέντοι συμ-

---

σπαμάτιον τοδί·

Λύκος παρῄει τριγχόν· ἔνθεν ἐκκύψας
Ἀρνειὸς αὐτὸν ἔλεγε πολλὰ βλασφήμως.
Κἀκεῖνος εἶπε, τὰς σιαγόνας πρίων—.

(1) Ἐκ τοῦ Πλουτάρχου (Ἑπτ. σοφ. συμπος. § 4).

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

φρονήσας, ὡς ὄνου υἱὸς εἴη, κατέπαυσε ταχὺ τὸν δρόμον, καὶ ἀφῆκε τὸ φρύαγμα καὶ τὸν θυμόν.

ΑΛΛΩΣ. (1).

Ἡμίονος, ἐκ κριθῆς παχεῖα γενομένη, ἔτρεχε σκιρτῶσα, καὶ ἔλεγεν, Ἵππος ἐςί μοι μήτηρ· ἐγὼ δὲ οὐδὲν αὐτῆς εἰς τὸν δρόμον ἐλαττῶ. Ὅτε δὲ ἔπαυσε τοῦ δρόμου, ἐσκυθρώπασε· ὄνου γὰρ εὐθὺς πατρὸς οὖσ' ἀνεμνήσθη.

141. ΟΦΙΣ ΚΑΙ ΓΕΩΡΓΟΣ.

Ὄφις, ἐν γεωργοῦ προθύροις φωλεύων, ἀνεῖλεν αὐτοῦ τὸ νήπιον παιδίον. Πένθος δὲ τοῖς γονεῦσιν ἐγένετο μέγα. Καὶ ὁ πατὴρ ὑπὸ τῆς λύπης, πέλεκυν λαβὼν, ἔμελλε τὸν ὄφιν ἐξελθόντα φονεύσειν. Ὡς δὲ ἔκυψε μικρὸν, σπεύσας ὁ γεωργὸς τοῦ πατάξαι αὐτὸν, ἠςόχησε, μόνον κρούσας τὴν τῆς τρώγλης ὀπήν. Ἀπελθόντος δὲ τοῦ ὄφεως, ὁ γεωργὸς, νομίσας τὸν ὄφιν μηκέτι μνησικακεῖν, λαβὼν ἄρτον καὶ ἅλας, ἔθηκεν ἐν τῇ τρώγλῃ. Ὁ δὲ ὄφις, λεπτὸν συρίξας, εἶπεν· Οὐκ ἔςαι ἡμῖν ἀπάρτι πίςις, ἢ φιλία, ἕως ἂν ἐγὼ τὴν πέτραν ὁρῶ, σὺ δὲ τὸν τύμβον τοῦ τέκνου.

Ὁ μῦθος δηλοῖ, ὅτι οὐδεὶς μίσους, ἢ ἀμύνης, ἐπιλανθάνεται, ἐφ' ὅσον βλέπει μνημόσυνον, δι' οὗ ἐλυπήθη.

ΑΛΛΩΣ.

Ὄφιν θέλων τὶς, ἀντ' ὀλέθρου παιδίου,
Πλήττειν, πέτραν τ' ἔσχισε, καὶ φιλεῖν θέλεν.
Ὄφις δέ φησι, Πῶς γένοιντο συμβάσεις,

(1) Ἐκ τῆς τοῦ Τυρουΐττου συλλογῆς.

Ἕως σὺ τύμβον τόνδ᾽, ἐγὼ πέτραν βλέπω,

Ὅτι αἱ μεγάλαι ἔχθραι ἀδιάλλακτοί εἰσιν.

142. ΣΑΛΠΙΓΚΤΗΣ.

Σαλπιγκτὴς, ςρατὸν ἐπισυνάγων, καὶ κρατηθεὶς ὑπὸ τῶν πολεμίων, ἐβόα· Μὴ κτείνετέ με, ὦ ἄνδρες, εἰκῆ καὶ μάτην. Οὐδένα γὰρ ὑμῶν ἀπέκτεινα· πλὴν γὰρ τοῦ χαλκοῦ τούτου οὐδὲν ἄλλο κτῶμαι. Οἱ δὲ πρὸς αὐτὸν ἔφασαν· Διὰ τοῦτο γὰρ μᾶλλον τεθνήξῃ, ὅτι σὺ μὴ δυνάμενος πολεμεῖν, τοὺς πάντας πρὸς μάχην ἐγείρεις.

Ὁ μῦθος δηλοῖ, ὅτι πλέον πταίουσιν οἱ τοὺς κακοὺς καὶ βαρεῖς δυνάςας ἐπεγείροντες εἰς τὸ κακοποιεῖν.

ΑΛΛΩΣ.

Ἦν τις σαλπιςὴς, ςρατὸν ἐπισυνάγων, ὅςις κρατηθεὶς ἐβόα [τοῖς] παροῦσι· Μὴ κτείνετέ με εἰκῆ καὶ μάτην, ἄνδρες, ἐπείπερ ἐγὼ οὐκ ἔκτεινα οὐδένα. Πλὴν γὰρ τοῦ χαλκοῦ τούτου οὐ κτῶμαι ἄλλο. Οἱ δὲ πρὸς αὐτὸν ταῦτα οὕτως ἐβόων· Διὰ τοῦτο γὰρ μᾶλλον τεθνήξῃ ἄρτι, ὅτι, σὺ μὴ δυνάμενος πολεμεῖν, τοὺς πάντας κράζεις πρὸς μάχην ἐγείρων.

143. ΚΑΛΑΜΟΣ ΚΑΙ ΕΛΑΙΑ.

Διὰ καρτερίαν καὶ ἰσχὺν καὶ ἡσυχίαν κάλαμος καὶ ἐλαία ἤριζον. Τοῦ δὲ καλάμου ὀνειδιζομένου ὑπὸ τῆς ἐλαίας, ὡς ἀδυνάτου καὶ ῥαδίως ὑποκλινομένου πᾶσι τοῖς ἀνέμοις, ὁ κάλαμος σιωπῶν οὐκ ἐφθέγξατο. Καὶ μικρὸν ὑπομείνας, ἐπειδὴ ἄνεμος ἔπνευσεν ἰσχυρὸς, ὁ μὲν κάλαμος, ὑποσεισθεὶς καὶ ὑποκλιθεὶς τοῖς ἀνέμοις, ῥαδίως διεσώθη· ἡ δ᾽ ἐλαία, ἐπειδὴ ἀντέτεινε τοῖς ἀνέμοις, κατεκλάσθη τῇ βίᾳ.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ τῷ καιρῷ καὶ τοῖς κρείττοσιν αὐτῶν μὴ ἀνθιςάμενοι, κρείττους εἰσὶ τῶν πρὸς μείζονας φιλονεικούντων.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΑΛΛΩΣ.

ΚΑΛΑΜΟΙ ΚΑΙ ΔΡΥΣ.

Δρῦν ἄνεμος ἐκριζώσας ἐν ποταμῷ ἔῤῥιψεν. Ἡ δὲ, φερομένη τοὺς καλάμους ἐρωτᾷ· Πῶς ὑμεῖς, ἀσθενεῖς ὄντες καὶ λεπτοὶ, ὑπὸ τῶν βιαίων ἀνέμων οὐκ ἐκριζοῦσθε; Οἱ δὲ εἶπον· Ὑμεῖς τοῖς ἀνέμοις μάχεσθε καὶ ἀνθίςασθε, καὶ διὰ τοῦτο ἐκριζοῦσθε· ἡμεῖς δὲ, παντὶ ἀνέμῳ ὑποπίπτοντες, ἀβλαβεῖς διαμένομεν.

Ὅτι οὐ δεῖ ἀνθίςασθαι τοῖς κρατοῦσιν, ἀλλ' ὑποτάσσεσθαι καὶ ὑπακούειν.

ΑΛΛΩΣ.

Εἰς ἔριν δρυὶ καθίςατο κάλαμος. Ἡ μὲν γὰρ αὐτὴν τῆς ἰσχύος ἐθαύμαζε, καὶ πρὸς τὴν τῶν ἀνέμων ἀντέχειν ἠλαζονεύετο μάχην· τῆς δὲ ἀσθενείας κατητιᾶτο τὸν κάλαμον, εἴκειν ἅπασι πεφυκότα τοῖς πνεύμασι. Ταύτῃ τοι καὶ, πνεύσαντος ἀνέμου σφοδρότερον, ἡ μὲν πρόῤῥιζος ἀνθεςῶσα κατέπεσεν· ὁ δὲ ἀκέραιος κατακλινόμενος ἔμεινε.

Ὁ καιροῖς ὑπείκων οὐκ ἐκπεσεῖται τοῦ σώζεσθαι.

ΑΛΛΩΣ.

Δρῦν ἦγε ῥεῖθρον πνεύμασιν βεβλημένην,
Αὐτὴ δ' ἕλιξι καὶ δόναξι πεύθετο,
Πῶς εἰσὶν ὀρθοί; Πνεύμασιν δουλούμεθα·
Πτῶσις ἐκείνων ἐςὶν ἡμῶν ἡ ςάσις.

Βίᾳ καιροῦ μὴ ἀντιτάσσεσθαι.

144. ΛΥΚΟΣ ΚΑΙ ΓΕΡΑΝΟΣ.

Λύκου λαιμῷ ὀςέον ἐπεπήγει· ὁ δὲ γεράνῳ μισθὸν παρέξειν εἶπεν, εἰ τὴν κεφαλὴν αὐτῆς ἐπιβαλοῦσα, τὸ ὀςοῦν ἐκ τοῦ λαι-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

μοῦ αὐτοῦ ἐκβάλοι. Ἡ δὲ, τοῦτ' ἐκβαλοῦσα, δολιχόδειρος οὖσα, τὸν μισθὸν ἐπεζήτει. Ὅστις γελάσας, καὶ τοὺς ὀδόντας θήξας, Ἀρκεῖ σοι μισθος, ἔφη, τοῦτο καὶ μόνον, ὅτι ἐκ λύκου ϛόματος καὶ ὀδόντων ἐξεῖλες κάραν σώαν, καὶ μηδὲν παθοῦσαν (1).

Ὁ μῦθος πρὸς δολίους ἄνδρας, οἵ τινες, ἀπὸ κινδύνου διασωθέντες, τοῖς εὐεργέταις τοιαύτας ἀπονέμουσι χάριτας.

ΑΛΛΩΣ.

Λύκῳ περιπείρεται ὀϛέον, καὶ ἐζήτει τὸν ἰασόμενον. Ἑκάϛου δὲ τὴν πρὸς αὐτὸν ἴασιν φεύγοντος, μόνη τῶν ἄλλων ἐπὶ ῥητοῖς ὑπέσχετο ποιήσειν ἡ γέρανος· καὶ θεῖσα τὴν κεφαλὴν, ἐξαιρεῖται τοῦ πάθους τὸν λύκον. Καὶ προσαιτουμένη μισθὸν τῆς ἰάσεως, ἀρκοῦντα μισθὸν, ὁ λύκος ἔλεγε, τὴν κεφαλὴν ἔχειν ἀκέραιον.

Πονηροὶ, σωθέντες, ἀδικοῦσι τοὺς σώσαντας.

ΑΛΛΩΣ.

Εἰς λαιμὸν ὀϛοῦν ἐμπεπήγει τοῦ λύκου.
Μισθῷ δ' ἑλὼν γέρανος, ᾔτει τὴν χάριν.
Ζωὸν τράχηλον ἐκ λύκου λαιμοῦ φέρων,
Μηδ' ἄλλο μηδὲν μισθὸν ἢ τοῦτο σκόπει.

Πρὸς τοὺς ἐπικίνδυνον πρᾶξιν ἐγχειρήσαντας, καὶ μετὰ τὸ σύνθημα ζητοῦντας μισθόν.

145. ΑΛΕΚΤΟΡΕΣ.

Ἀλεκτόρων δύο μαχομένων περὶ θηλειῶν ὀρνίθων, ὁ εἷς

(1) Ἀποσπασμάτιον Βαβρίου, ἐκ τοῦ Σουΐδα (λέξ. Καρχαρόδους)·

. . . . . καὶ κάρχαρόν τι μειδιάσας,
Σοὶ μισθὸς ἀρκεῖ, φησὶ, τῶν ἰατρείων,
Κεφαλὴν λυκείου φάρυγγος ἐξελεῖν σώαν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

τὸν ἕτερον κατετροπώσατο. Καὶ ὁ μὲν ἡττηθεὶς εἰς τόπον κατάσκιον ἀπιὼν ἐκρύβη· ὁ δὲ νικήσας, εἰς ὕψος ἀρθεὶς, καὶ ἐφ' ὑψηλοῦ τοίχου ϛὰς, μεγαλοφώνως ἐβόησε. Καὶ παρευθὺς ἀετὸς καταπτὰς ἥρπασεν αὐτόν. Ὁ δ' ἐν σκότῳ κεκρυμμένος ἀδεῶς ἔκτοτε ταῖς θηλείαις ἐπέβαινεν.

Ὁ μῦθος δηλοῖ, ὅτι Κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν.

ΑΛΛΩΣ.

Ἀλέκτορες δύο δι' ὄρνεις ἐμάχοντο, οὓς λέγουσι θυμὸν ἔχειν οἷον ἀνθρώπων (1). Τούτων ὁ ἡττηθεὶς κατεκρύβη ἐν γωνίᾳ· ὁ δὲ ἕτερος, ἀνακράξας, καὶ ἐπὶ τὸ δῶμα ἀναπετάσας, διὰ τὴν νίκην, εὐθὺς ἡρπάγη ὑπὸ τοῦ ἀετοῦ. Ὁ δὲ ἕτερος ταῖς ὄρνισιν ἀφόβως συνῆν (2).

Ὅτι εὔκολος ἡ σωτηρία τοῖς μὴ μεγάλως εὐτυχοῦσι· τὸν δὲ μέγαν ὄντα τῇ δόξῃ σπανίως ἴδοις ἐκφεύγοντα τοὺς κινδύνους.

ΑΛΛΩΣ.

Ἀλεκτρυόνες, συμπεσόντες ἀλλήλοις, ὡς νόμος εἶχεν, ἐμάχοντο. Καὶ ὁ μὲν νικηθεὶς, κλίνῃ ὑποδὺς, ἀπεκρύπτετο· ὁ δὲ νενικηκὼς, ἐπὶ ϛέγους ἀρθεὶς, ἀνέκραγε μέγιϛον, τὴν νίκην κατάδηλον ἐξ ᾠδῆς ἐργαζόμενος. Καὶ καταπτὰς ἀετὸς τοῦτον ἁρπάζει λαβών.

Νίκης ἀσφάλεια, μετριότης φρονήματος.

---

(1) Ἀποσπασμάτιον Βαβρίου, ἐκ τοῦ Σουΐδα (λέξ. Ταναγραῖοι Ἀλεκτορίσκοι),

Ἀλεκτορίσκων ἦν μάχη Ταναγραίων,
Οἷς φασιν εἶναι θυμὸν, ὥσπερ ἀνθρώποις.

(2) Σουΐδας (λέξ. Τἀπίχειρα), ἐκ τοῦ Βαβρίου ἴσως,

Ἀμείνον' ἔχων τἀπίχειρα τῆς ἥττης.

ΑΛΛΩΣ (1).

Δύο ἀλέκτορες ἀλλήλοις ἐμάχοντο. Καὶ ὁ μὲν εἷς ἡττηθεὶς ἐν τόπῳ τινὶ παραβύςῳ ἐναπεκρύβη· ὁ δὲ ἕτερος, τὴν νίκην ἀράμενος, ἐφ' ὑψηλοῦ τινὸς ἔςηκε δωματίου, τὰ μεγάλα φρυαττόμενος, καὶ τῇ νίκῃ ἐγκαυχώμενος, ἕως ἀετὸς καταπτὰς τοῦτον ἐκεῖθεν ἀνήρπασεν.

Ὁ μῦθος δηλοῖ, ὡς οὐ χρή τινα ἐπ' εὐτυχίᾳ καὶ δυνάμει μέγα φρονεῖν, καὶ ἀφρόνως σοβαρεύεσθαι.

146. ΚΩΝΩΨ ΚΑΙ ΛΕΩΝ.

Κώνωψ, πρὸς λέοντα ἐλθὼν, εἶπεν· Οὐδὲ φοβοῦμαί σε, οὐδὲ δυνατώτερός μου εἶ· εἰ δὲ μὴ, τίς σοι ἐςὶν ἡ δύναμις; ὅτι ξύεις τοῖς ὄνυξι, καὶ δάκνεις τοῖς ὀδοῦσι; Τοῦτο καὶ γυνὴ τῷ ἀνδρὶ μαχομένη ποιεῖ. Ἐγὼ δὲ λίαν ὑπάρχω σου ἰσχυρότερος. Εἰ δὲ θέλεις, ἔλθωμεν καὶ εἰς πόλεμον. Καὶ σαλπίσας ὁ κώνωψ ἐνεπήγετο, δάκνων τὰ περὶ τὰς ῥίνας αὐτοῦ ἄτριχα πρόσωπα. Ὁ δὲ λέων τοῖς ἰδίοις ὄνυξι κατέλυεν ἑαυτὸν, ἕως οὗ ἠγανάκτησεν. Ὁ κώνωψ δὲ, νικήσας τὸν λέοντα, καὶ σαλπίσας, καὶ ἐπινίκιον ᾄσας, ἔπτατο. Ἀράχνης δὲ δεσμῷ ἐμπλακεὶς, ἐσθιόμενος ἀπωδύρετο, ὅτι μεγίςοις πολεμῶν, ὑπὸ εὐτελοῦς ζώου, τῆς ἀράχνης, ἀπώλετο.

Ὁ μῦθος πρὸς τοὺς καταβάλλοντας μεγάλους καὶ ὑπὸ μικρῶν καταβαλλομένους.

147. ΑΕΤΟΣ ΚΑΙ ΑΝΘΡΩΠΟΣ.

Ἀετός ποτε ἑάλω ὑπ' ἀνθρώπου· ὅςις, τὰ πτερὰ αὐτοῦ

(1) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. ζ'.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

εὐθέως κόψας, αὐτὸν ἐν οἴκῳ σὺν ὀρνιθίοις εἴασεν. Ὁ δὲ ἦν κατηφὴς, καὶ οὐδὲν ἤσθιεν ἐκ τῆς λύπης· ὅμοιος δὲ ἦν βασιλεῖ δεσμώτῃ. Ἕτερος δὲ τοῦτον ἐξαγοράσας, ἀνεπτέρωσε τὸν ἀετὸν αὐτίκα. Ὁ δὲ, πετασθεὶς, καὶ λαγωὸν κρατήσας, ἤνεγκεν εὐθὺς δῶρον τῷ εὐεργέτῃ τοῦτον. Ἀλώπηξ κατιδοῦσα ἐβόα, Μὴ τοῦτον ξένιζε, ἀλλὰ τὸν πρότερον· μήπως σε πάλιν κυνηγήσῃ, καὶ τῶν πτερῶν ςερήσῃ τῶν σῶν, ὡς καὶ τὸ πρῶτον.

Ὁ μῦθος δηλοῖ, ὅτι δεῖ χρηςὰς ἀμοιβὰς τοῖς εὐεργέταις παρέχειν, τοὺς δὲ κακοὺς ἐκκλίνειν.

148. ΑΓΑΛΜΑΤΟΠΩΛΗΣ (1).

Ξύλινόν τις Ἑρμῆν κατασκευάσας, τοῦτον προσενεγκὼν ἐπώλει. Μὴ δὲ ὠνητοῦ προσιόντος, ἐκκαλέσασθαί τινας βουλόμενος, ἐβόα, ὡς ἀγαθοποιὸν δαίμονα καὶ κέρδους τηρητικὸν πιπράσκει. Τῶν δὲ παρατυχόντων τινὸς εἰπόντος πρὸς αὐτόν· Ὦ οὗτος, καὶ τί τοῦτον, τοιοῦτον ὄντα, πωλεῖς, δέον τῶν παρ' αὐτοῦ ὠφελειῶν ἀπολαύειν; ἀπεκρίνατο, ὅτι Ἐγὼ μὲν ταχείας ὠφελείας τινὸς ἐπιδέομαι, αὐτὸς δὲ βραδέως εἴωθε τὰ κέρδη περιποιεῖν.

Πρὸς ἄνδρα αἰσχροκερδῆ, καὶ τὸ θεῖον περιφρονοῦντα.

149. ΑΗΔΩΝ ΚΑΙ ΧΕΛΙΔΩΝ.

Ἀηδόνι συνεβούλευε χελιδὼν, τοῖς ἀνθρώποις εἶναι ὁμόροφον καὶ σύνοικον, ὡς αὐτή. Ἡ δὲ εἶπεν, Οὐ θέλω τὴν λύπην

---

(1) Εἰς τοῦτον ἀναφέρουσι τὸν μῦθον τὸ παρὰ τῷ Σουίδᾳ (λέξ. Λύγδινα) ἀποσπασμάτιον,

Γλύψας ἐπώλει λύγδινόν τις Ἑρμείαν.

τῶν παλαιῶν μου συμφορῶν μεμνῆσθαι· καὶ διὰ τοῦτο τὰς ἐρήμους οἰκῶ.

Τὸν λυπηθέντα ἔκ τινος τύχης καὶ τὸν τόπον φεύγειν θέλειν, ἔνθα ἡ λύπη συνέβη.

ΑΛΛΩΣ (1).

Ἀγροῦ χελιδὼν μακρὰν ἐξεποτήθη.
Εὗρεν δ' ἐρήμοις ἐγκαθημένην ὕλαις
Ἀηδόν' ὀξύφωνον. Ἣ δ' ἀπεθρήνει
Τὸν Ἴτυν ἄωρον ἐκπεσόντα τῆς ζωῆς.
Χ' ἡ μὲν χελιδὼν φησι, Φιλτάτη, χαίροις,
Πρῶτον βλέπω σε σήμερον μετὰ Θράκην.
Ἀλλ' ἐλθ' ἐς ἀγρὸν, καὶ πρὸς οἶκον ἀνθρώπων.
Σύσκηνος ἡμῖν, καὶ φίλη κατοικήσεις·
Ὅπου γεωργοῖς, κοὐχὶ θηρίοις ᾄσεις.
Τὴν δ' αὖτ' ἀηδὼν ὀξύφωνος ἠμείφθη,
Ἔα με πέτραις ἐμμένειν ἀοικήτοις.
Οἶκος δέ μοι πᾶς, ἤτε μίξις ἀνθρώπων,
Μνήμην παλαιῶν συμφορῶν ἀναφλέξει.

Ὁ μῦθος δηλοῖ, ὅτι κρεῖττον ἐν ἐρήμοις ζῆν ἀλύπως, ἢ συνοικεῖν ἐν πόλεσι τοῖς κακοῖς.

150. ΑΙΓΟΒΟΣΚΟΣ ΚΑΙ ΑΙΓΕΣ.

Ἐν σπηλαίῳ ἀοικήτῳ αἰγοβοσκὸς ἐν χειμῶνι αἶγας ἤγαγεν. Εὗρε δὲ ἐκεῖ ἀγρίας αἶγας καὶ τράγους πλείονας, ὧν εἶχεν αὐτὸς, καὶ

(1) Ἐκ τῆς τοῦ Τυρουίττου συλλογῆς. Τὸν δὲ μῦθον τοῦ Βαβρίου φασὶν εἶναί τινες, οὗ καὶ ἕτερον ἀποσπασμάτιον φέρεται παρὰ τῷ Σουΐδᾳ (λέξ. Τιττυβίζετε) τοδί·

Ταύτης ἀκούσας μικρὰ τιττυβιζούσης.

μείζους. Τὰς ἰδίας δὲ ἀφεὶς ἐπὶ ταῖς ἀγρίαις, ταύτας ἔτρεφε τοῖς φύλλοις. Ὅτε δὲ εὐδία γέγονε, τὰς μὲν ἰδίας εὗρε τεθνηκυίας ἐκ τοῦ λιμοῦ· αἱ δὲ ἄγριαι πρὸς τὸ ὄρος ἔφυγον. Ὁ δὲ αἰπόλος ἀπελάσας, εἰς τὸν οἶκον ἦλθε κενός.

Ὅτι οὐδαμῶς ἡμᾶς πρέπει ἀμελεῖν τῶν οἰκείων, ἐπ' ἐλπίδι κέρδους ἐξ ἀλλοτρίων γινομένου.

151. ΑΙΓΟΒΟΣΚΟΣ ΚΑΙ ΑΙΞ.

Αἰγοβοσκὸς τὰς αἶγας ἀνεκαλεῖτο πρὸς μάνδραν. Μία δὲ ἐξ αὐτῶν ὑπελείφθη, ἡδύ τι βοσκομένη. Ῥίψας δ' ὁ ποιμὴν πέτραν, τὸ κέρας αὐτῆς κατέαξεν εὐςοχήσας. Ἐδυσώπει δὲ τὴν αἶγα μὴ εἰπεῖν τοῦτο τῷ δεσπότῃ. Ἡ δὲ εἶπεν, Κἂν ἐγὼ σιωπήσω, πῶς κρύψω; πρόδηλόν ἐςι πᾶσι τὸ κέρας μου κεκλασμένον.

Ὅτι τῆς αἰτίας προδήλου οὔσης, οὐ δυνατὸν ταύτην καλύψαι.

ΑΛΛΩΣ.

Αἶγαν, ἀποςᾶσαν ἀγέλης, ἐπανάγειν αἰπόλος ἐπειρᾶτο πρὸς τὰς λοιπάς. Ὡς δὲ φωναῖς καὶ συριγμοῖς χρώμενος οὐδὲν μᾶλλον ἤνυεν, λίθον ἀφεὶς, καὶ τοῦ κέρως τυχὼν, ἐδεῖτο τῷ δεσπότῃ μὴ κατειπεῖν. Ἡ δὲ, Ἀνοήτατε, εἶπεν, αἰπόλων, τὸ κέρας κεκράξεται, κἂν ἐγὼ σιωπήσομαι.

Οὕτως λίαν εὐήθεις οἱ τὰ πρόδηλα κρύπτειν ἐθέλοντες.

ΑΛΛΩΣ.

Ῥάβδῳ κατῆξεν αἰγὸς αἰπόλος κέρας.
Ἡ προσπεσὼν ἐδεῖτο, δακρύων μέγα·
Μὴ δῆτα φήσῃς ταῦτα πρὸς τὸν δεσπότην.
Ἡ δ' αὖ γέ φησι, Πλέον ἠχήσει κέρας.

Φανερὸν ἁμάρτημα μὴ σοφίζεσθαι.

152. ΑΙΛΟΥΡΟΣ ΚΑΙ ΟΡΝΕΙΣ.

Αἴλουρος, ἀκούσας ἔν τινι αὐλαίᾳ, ὡς ἔπαυλαι ὄρνεις νοσοῦσι, σχηματίσας ἑαυτὸν εἰς ἰατρὸν, καὶ τὰ τῆς ἐπιστήμης πρόσφορα λαβὼν ἐργαλεῖα, παρεγένετο, καὶ στὰς πρὸ τῆς ἐπαύλεως ἐπυνθάνετο, πῶς ἔχοιεν. Αἱ δὲ, ὑποτυχοῦσαι, Καλῶς, ἔφησαν, ἐὰν σὺ ἐντεῦθεν ἀπαλλαγῇς. (1).

Οὕτω καὶ τῶν ἀνθρώπων οἱ πονηροὶ τοὺς φρονίμους οὐ λανθάνουσι, κἂν μάλιστα ὑποκρίνωνται.

ΑΛΛΩΣ.

Ὄρνις ποτὲ ἠσθένει. Αἴλουρος δὲ προκύψας ἔφη, Πῶς ἔχεις; εἰ χρήζεις τινὸς, ἐγώ σοι δώσω· μόνον ὑγίαινε. Ἡ δὲ ἔφη, Ἐὰν ἀπέλθῃς αὐτὸς τῶν ὧδε, ἐγώ σοι λέγω, οὐδαμῶς ἀποθνήξω.

Ὁ μῦθος ἐλέγχει τοὺς λέγοντας φιλεῖν δολίως καὶ μετὰ ὑποκρίσεως.

ΑΛΛΩΣ.

Κάμνουσαν ὄρνιν εἶδεν αἴλουρος νόσῳ·
Πρὸς ἣν ἔφησε, Πῶς ἔχεις τὰ τῆς νόσου;
Τρέμουσα δ' εἶπεν, Εἰ παρέλθῃς μακρόθεν,
Ζωὴν ὑπέλθω δορκάδων ὑπερτέραν.

Φυλάττεσθαι πολεμίων ὑπόκρισιν.

153. ΑΙΞ ΚΑΙ ΟΝΟΣ.

Αἶγα καὶ ὄνον ἔτρεφέ τις. Ἡ δὲ αἶξ, φθονήσασα τῷ ὄνῳ διὰ

---

(1) Μνημονεύει τοῦ μύθου Πλούταρχος (Περὶ φιλαδελφ. § 19)· « Καθάπερ οὖν ἡ Αἰσώπειος ἀλεκτορὶς πρὸς τὴν αἴλουρον, ὡς δὴ κατ' » εὔνοιαν, αὐτῆς νοσούσης, ὅπως ἔχει, πυνθανομένην. Καλῶς, εἶπεν, » ἂν σὺ ἀποστῇς. »

τὸ περισσὸν τῆς τροφῆς, ἔλεγεν ὡς Ἄπειρα κολάζη, ποτὲ μὲν ἀλήθων, ποτὲ δὲ ἀχθοφορῶν· καὶ συνεβούλευεν ἐπίληπτον ἑαυτὸν ποιῆσαι, [καὶ] καταπεσεῖν ἔν τινι βόθρῳ, καὶ ἀναπαύσεως τυχεῖν. Ὁ δὲ, πιςεύσας καὶ πεσὼν, συνετρίβη. Ὁ δὲ δεσπότης, τὸν ἰατρὸν καλέσας, ᾔτει βοηθεῖν. Ὁ δὲ αἰγὸς πνεύμονα ἐγχυματίσαι ἔλεγεν αὐτῷ, καὶ τῆς ὑγείας τυχεῖν. Τὴν δὲ αἶγα θύσαντες, τὸν ὄνον ἰάτρευον.

Ὅτι ὅςις καθ' ἑτέρου δόλια μηχανᾶται, ἑαυτοῦ γίνεται τῶν κακῶν ἀρχηγός.

154. ΑΛΙΕΥΣ.

Ἁλιεὺς, τὸ πρὸς ἄγραν δίκτυον ἐκ τῆς θαλάσσης ἐκβαλὼν, τῶν μὲν μεγάλων ἰχθύων ἐγκρατὴς γέγονε, καὶ τούτους ἐν τῇ γῇ ἥπλωσεν· οἱ δὲ βραχύτεροι τῶν ἰχθύων διὰ τῶν τρυμαλιῶν διέδρασαν ἐν τῇ θαλάσσῃ.

Ὅτι εὔκολος ἡ σωτηρία τοῖς μὴ μεγάλως εὐτυχοῦσι· τοὺς δὲ μεγάλους ὄντας τῇ δόξῃ σπανίως ἴδοις ἐκφεύγειν τὴν δίκην.

155. ΑΛΩΠΕΚΕΣ.

Ποτὲ ἀλώπεκες ἐπὶ τὸν Μαίανδρον ποταμὸν συνηθροίσθησαν, πιεῖν ἐξ αὐτοῦ θέλουσαι. Διὰ δὲ τὸ ῥοιζηδὸν φέρεσθαι τὸ ὕδωρ, ἀλλήλας προτρεπόμεναι, οὐκ ἐτόλμων εἰσελθεῖν. Μιᾶς δὲ αὐτῶν διεξιούσης, ἐπὶ τῷ εὐτελίζειν τὰς λοιπὰς, καὶ δειλίαν καταγελώσης, ἑαυτὴν ὡς γενναιοτέραν προκρίνασα, θαρσαλέως εἰς τὸ ὕδωρ ἐπήδησε. Τοῦ δὲ ῥεύματος ταύτην εἰς μέσον κατασύραντος, καὶ τῶν λοιπῶν, παρὰ τὴν ὄχθην τοῦ ποταμοῦ ἑςηκυιῶν, πρὸς αὐτὴν εἶπον, Μὴ ἐάσῃς ἡμᾶς, ἀλλὰ ςραφεῖσα ὑπόδειξον τὴν εἴσοδον, δι' ἧς ἀκινδύνως δυνησόμεθα πιεῖν. Ἐκείνη ἀπαγομένη ἔλεγεν, Ἀπόκρισιν ἔχω εἰς Μίλητον, καὶ ταύτην ἐκεῖσε ἀποκομίσαι βούλομαι· ἐν δὲ τῷ ἐπανιέναι με, ὑποδείξω ὑμῖν.

Πρὸς τοὺς κατὰ ἀλαζονείαν ἑαυτοῖς κίνδυνον ἐπιφέροντας.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

156. ΑΛΩΠΗΞ ΚΑΙ ΒΟΤΡΥΣ.

Βοτρυας πεπείρους ἀλώπηξ κρεμαμένους ἰδοῦσα, τούτους ἐπειρᾶτο καταφαγεῖν. Πολλὰ δὲ καμοῦσα, καὶ μὴ δυνηθεῖσα ψαῦσαι, τὴν λύπην παραμυθουμένη, ἔλεγεν, Ὄμφακες ἔτι εἰσίν (1).

Ὅτι τοὺς δι' ἀδυναμίαν τινὸς ἀποτυγχάνοντας πράγματος, καὶ θέλοντας τοῦτο διὰ ψεύδους καλύψαι, ἐλέγχει ὁ μῦθος.

ΑΛΛΩΣ.

Κερδὼ βότρυν βλέπουσα μακρᾶς ἀμπέλου,
Πρὸς ὕψος ἧρτο, καὶ καμοῦσα πολλάκις
Ἑλεῖν ἀπεῖπε. Πρὸς δ' ἑαυτὴν ταῦτ' ἔφη·
Μὴ κάμνε· ῥᾶγες ὀμφακίζουσιν μάλα.

Πρὸς τοὺς ποιοῦντας τὴν ἀνάγκην φιλοτιμίαν.

157. ΑΛΩΠΗΞ ΚΑΙ ΚΥΩΝ.

Αλώπηξ, εἰς ἀγέλην προβάτων εἰσελθοῦσα θηλαζόντων, ἀρνὸν ἀναλαβομένη, προσεποιεῖτο καταφιλεῖν. Ἐρωτηθεῖσα δὲ ὑπὸ κυνὸς, Τί τοῦτο ποιεῖς; Τιθηνοῦμαι αὐτὸν, ἔφη, καὶ προσπαίζω. Καὶ ὁ κύων, ἔφη, Καὶ νῦν, ἐὰν μὴ ἀφῇς τὸ ἀρνίον ἀφ' ἑαυτῆς, τὰ κυνῶν σοι προσοίσω.

Ὁ λόγος εὔκαιρος πρὸς ἄνδρα ῥᾳδιουργὸν καὶ κλέπτην.

---

(1) Εἰς τοῦτον ἀναφέρουσι καὶ τὰ παρὰ τῷ Σουΐδᾳ (λέξ. Αἰώρα) συντιθέντες τοῖς παρὰ τῷ Ἐτυμολόγῳ (λέξ. Ὄμφαξ), καὶ διορθοῦντες ταυτί,

Ὡς δ' οὐκ ἐφικνεῖτ', ἀλλ' ἔκαμνε πηδῶσα,
Οὐδὲν κρεμαστῆς σχοῦσα πλεῖον αἰώρας,
Παρῆλθεν οὕτω βουκολοῦσα τὴν λύπην·
Ὄμφαξ ὁ βότρυς, οὐ πέπειρος, ὡς ᾤμην.

158. ΑΛΩΠΗΞ ΛΙΜΩΤΤΟΥΣΑ.

Αλώπηξ λιμώττουσα, ὡς ἐθεάσατο ἐπί τινος δρυὸς κοιλώματος ἄρτον καὶ κρέα, ὑπό τινων ποιμένων καταλελειμμένα, ταῦτα εἰσελθοῦσα κατέφαγεν. Ἐξογκωθεῖσα δὲ τὴν γαστέρα, ἐπειδὴ οὐκ ἠδύνατο ἐξελθεῖν, ἐστέναζε καὶ ὠδύρετο. Ἑτέρα δὲ ἀλώπηξ, τὴν ὁδὸν παριοῦσα, ὡς ἤκουσεν αὐτῆς τὸν στεναγμὸν, προσελθοῦσα ἐπυνθάνετο τὴν αἰτίαν. Μαθοῦσα δὲ τὰ γεγενημένα, ἔφη πρὸς αὐτήν· Ἀλλὰ μενητέον ἐνταῦθα, ἕως ἂν τοιαύτη γένῃ, ὁποία οὖσα εἰσῆλθες, καὶ οὕτω ῥᾳδίως ἐξελεύσῃ.

Ὁ λόγος δηλοῖ, ὅτι τὰ χαλεπὰ τῶν πραγμάτων χρόνος διαλύει.

ΑΛΛΩΣ.

Ἀλώπηξ, λιμώττουσα, ἐν πήρᾳ βοσκοῦ ἐθεάσατο κρέα καὶ ἄρτον (1), ἐπί τινα καλύβην ὑπ' αὐτοῦ καταλειφθέντα. Καὶ εἰσελθοῦσα διὰ στενωτάτης ὀπῆς, ἔφαγεν αὐτῶν ἡδέως. Ἐξογκωθεῖσα δὲ, καὶ μὴ δυναμένη ἐξελθεῖν τῆς καλύβης, ἔστενε καὶ ὠλοφύρετο. Ἑτέρα δὲ ἀλώπηξ διερχομένη ἐπυνθάνετο κ. τ. λ.

ΑΛΛΩΣ.

Εἰσδῦσα κερδὼ πρὸς δρυὸς κοίλης βάθος,
Εὕρισκε δαῖτα ποιμένος· καὶ δὴ φάγεν,
Ὡς μὴ προκύπτειν ἐκ πάχους. Εἶπεν δέ τις,
Θέλεις προελθεῖν, ὥσπερ εἰσῆλθες, γενοῦ.

Τὰ ὀλέθρια πάθη ζημίαις ἴσαις θεραπεύονται.

---

(1) Ἀποσπασμάτιον παρὰ τῷ Σουίδᾳ (λέξ. Γωγαλέου),

Ἐν τῇδ' ἔκειτο ῥωγὰς αἰπόλων πήρα,
Ἄρτων ἑώλων πᾶσα καὶ κρεῶν πλήρης.

159. ΑΛΩΠΗΞ ΚΑΙ ΠΑΡΔΑΛΙΣ.

Αλωπηξ καὶ πάρδαλις περὶ κάλλους ἤριζον. Τῆς δὲ παρδάλεως παρ' ἕκαστα τὴν τοῦ σώματος ποικιλίαν προβαλλομένης, ἡ ἀλώπηξ ὑποτυχοῦσα, εἶπε, Πόσον ἐγὼ καλλίων ὑπάρχω, ἥτις οὐ τὸ σῶμα, τὴν δὲ ψυχὴν πεποίκιλμαι.

Ὁ λόγος δηλοῖ, ὅτι τοῦ σωματικοῦ κάλλους ἀμείνων ἐστὶν ὁ τῆς ψυχῆς κόσμος.

ΑΛΛΩΣ (1).

Ἀλώπηξ, περὶ ποικιλίας δικαζομένη πρὸς τὴν πάρδαλιν, ὡς ἐκείνη τὸ σῶμα καὶ τὴν ἐπιφάνειαν εὐανθῆ καὶ κατάστικτον ἐπεδείξατο, τῇ δὲ ἦν τὸ ξανθὸν αὐχμηρὸν, καὶ οὐχ ἡδὺ προσιδεῖν· Ἀλλ' ἐμοῦ τοι τὸ ἐντὸς, ἔφη, σκοπῶν, ὦ δικαστὰ, ποικιλωτέραν με τῆσδε ὄψει, δηλοῦσα τὴν περὶ τὸ ἦθος εὐτροπίαν, ἐπὶ πολλὰ ταῖς χρείαις ἀμειβομένην.

ΑΛΛΩΣ (2).

Ἀλώπηξ, εἰς ἀγῶνα ποικιλίας καταστᾶσα πρὸς τὴν πάρδαλιν, ἠξίου τὰ ἐντὸς αὐτῆς καταμαθεῖν τὸν δικαστήν· ποικιλωτέραν γὰρ ἐκεῖθεν φανεῖσθαι.

ΑΛΛΩΣ (3).

Στικτή ποτε Πάρδαλις ἐκαυχᾶτο φορεῖν ἁπάντων ζώων ποικιλωτέραν δέῤῥιν. Πρὸς ἣν ἡ ἀλώπηξ εἶπεν, Ἐγώ σου τῆς δορᾶς κρείττονα καὶ ποικιλωτέραν γνώμην ἔχω.

---

(1) Ἐκ τοῦ Πλουτάρχου (Πότερον τὰ τῆς ψυχ. ἢ τὰ τοῦ σώμ. κ. τ. λ. § 2).

(2) Ἐκ τοῦ αὐτοῦ (Ἑπτ. σοφ. συμποσ. § 12).

(3) Ἐκ τῆς τοῦ Τυρουίττου συλλογῆς.

160.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

160. ΑΝΔΡΟΦΟΝΟΣ.

Ἄνθρωπόν τις ἀποκτείνας, ὑπὸ τῶν συγγενῶν ἐκείνου ἐδιώκετο. Γενόμενος δὲ κατὰ τὸν Νεῖλον ποταμὸν, λύκου αὐτῷ ἀπαντήσαντος, φοβηθεὶς, ἀνέβη ἐπί τι δένδρον τῷ ποταμῷ παρακείμενον, κἀκεῖ ἐκρύπτετο. Θεασάμενος δὲ ἐνταῦθα δράκοντα κατ' αὐτοῦ αἰωρούμενον, ἑαυτὸν εἰς τὸν ποταμὸν καθῆκεν. Ἐν δὲ τῷ ποταμῷ κροκόδειλος αὐτὸν κατεθοινήσατο.

Τοῖς ἐναγέσι τῶν ἀνθρώπων οὔτε γῆς, οὔτε ἀέρος, οὔτε ὕδατος ςοιχεῖον ἀσφαλές ἐςιν.

ΑΛΛΩΣ.

Ἄνθρωπός τις, φόνον ποιήσας, ἐδιώκετο ὑπὸ τῶν τοῦ φονευθέντος συγγενῶν. Γενομένου δὲ αὐτοῦ κατὰ τὸν Νεῖλον ποταμὸν, λέοντα ἰδὼν καὶ φοβηθεὶς, ἀνῆλθεν εἰς δένδρον. Εὗρε δὲ δράκοντα ἐπάνω τοῦ δένδρου· καὶ τοῦτον φοβηθεὶς, ἔῤῥιψεν ἑαυτὸν εἰς τὸν ποταμόν. Ἐν δὲ τῷ ποταμῷ κροκόδειλος κατέφαγεν αὐτόν.

Ὁ μῦθος δηλοῖ, ὅτι τοὺς φονεῖς τῶν ἀνθρώπων, οὔτε γῆ, οὔτ' ἀὴρ, οὔτε ὕδωρ, οὔτ' ἄλλος τόπος φυλάττει.

161. ΑΝΗΡ ΜΑΝΤΙΣ.

Ἀνὴρ προσεθισθεὶς, πᾶν τὸ ἐπιτιθέμενον εἰς τὰς χεῖρας αὐτοῦ ἐφαπτόμενος ἔλεγε, ποῖόν ἐςι. Καί δήποτε λυκιδέως αὐτῷ ἐπιδοθέντος, ψηλαφήσας καὶ ἀμφιγνοῶν, εἶπεν, Οὐκ οἶδα πότερον κυνός ἐςιν, ἢ ἀλώπεκος, ἢ τοιούτου ζώου γέννημα· τοῦτο μέντοι σαφῶς ἐπίςαμαι, ὅτι οὐκ ἐπιτήδειον τοῦτο τὸ ζῶον προβάτων ποίμνῃ συνιέναι.

Οὕτω τῶν πονηρῶν [ἡ] διάθεσις πολλάκις διὰ τοῦ σώματος φαίνεται.

162. ΑΝΗΡ ΜΕΣΟΠΟΛΙΟΣ ΚΑΙ ΕΤΑΙΡΑΙ.

Ἀνὴρ μεσοπόλιος δύο ἐρωμένας εἶχεν· ὧν ἡ μὲν μία νεᾶνις, ἡ δὲ ἄλλη πρεσβῦτις. Καὶ ἡ μὲν προβεβηκυῖα, αἰδουμένη νεωτέρῳ αὐτῆς πλησιάζειν διετέλει, καὶ εἴποτε πρὸς αὐτὸν παρεγίνετο, τὰς μελαίνας αὐτοῦ τρίχας περιῄρεῖτο. Ἡ δὲ νεωτέρα, ὑποστελλομένη γέροντα ἐραστὴν ἔχειν, τὰς πολιὰς αὐτοῦ ἀπέσπα. Οὕτω συνέβη ὑπ' ἀμφοτέρων ἐν μέρει τιλλόμενον, φαλακρότερον γενέσθαι (1).

Οὕτως πανταχοῦ τὸ ἀνώμαλον βλαβερόν ἐστιν.

ΑΛΛΩΣ.

Ἀνήρ τις, μέσην ἔχων ἥβην, δύο ἔσχεν ἑταίρας, μίαν μὲν γραῦν, τὴν δὲ ἑτέραν νέαν. Τούτῳ ἡ μὲν γραῦς τὰς μελαίνας τρίχας ἔτιλλεν, ὡς γέροντα τοῦτον θέλουσα· ἡ δὲ νέα τὰς πολιάς, ἕως *ἂν* αὐτὸν φαλακρὸν ἐποίησαν, καὶ ὄνειδος ἁπάντων.

Ὅτι ἐλεεινός ἐστιν ὃς εἰς γυναῖκας ἐμπίπτει.

ΑΛΛΩΣ.

Ἐρωμένας δύ' εἶχεν ἀνὴρ μιξόθριξ.
Χρόνῳ διενηνοχυῖαι πάντῃ καὶ τρόπῳ,
Ἡ μὲν μελαίνας, ἡ δὲ λευκὰς ἔκφερον.
Ἐξ ὧν ψιλωθεὶς πᾶσιν ὠράθη γέλως.

Πρὸς τοὺς εἰς δύο ἐναντία πράγματα ἑαυτοὺς ἐμβάλλοντας.

---

(1) Ἀποσπασμάτιον Βαβρίου ἐκ τοῦ Σουΐδα (λέξ. Ἑκάστοτε)

Τῶν οὖν τριχῶν ἑκάστοθ' ἡ μὲν ἀκμαία
Ἔτιλλεν ἃς εὕρισκε λευκανθιζούσας.

163. ΑΝΘΡΩΠΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.

Αλώπεκά τις ἐχθρὰν ἔχων, ὡς βλάπτουσαν αὐτὸν, κρατήσας, καὶ θέλων ἐπὶ πολὺ τιμωρήσασθαι, ϛυππεῖα ἐλαίῳ βεβρεγμένα τῇ οὐρᾷ προσδήσας ὕφῆψε. Ταύτην δὲ δαίμων εἰς τὰς ἀρούρας τοῦ βαλόντος ὡδήγει. Ἦν δὲ καιρὸς ἀμητοῦ. Ὁ δὲ ἠκολούθει θρηνῶν, μηδὲν θερίσας.

Ὅτι πρᾶον εἶναι χρὴ, καὶ μὴ ἀμέτρως θυμοῦσθαι. Ἐξ ὀργῆς γὰρ πολλάκις βλάβη γίνεται μεγάλη τοῖς δυσοργήτοις.

164. ΑΝΘΡΩΠΟΣ ΚΑΙ ΠΕΡΔΙΞ.

Πέρδικά τις θηρεύσας, ἤμελλε σφάξαι. Ἡ δὲ ἱκέτευε λέγουσα, Ἔασόν με ζῆν· ἀντ' ἐμοῦ πολλὰς πέρδικας ἐγώ σοι κυνηγήσω. Ὁ δὲ εἶπεν, Δι' αὐτὸ τοῦτο μᾶλλόν σε θύσω, ὅτι τοὺς συνήθεις καὶ φίλους σοι ἐνεδρεῦσαι θέλεις.

Ὅτι ὁ κατὰ φίλων αὐτοῦ δολίως μηχανὴν συντιθεὶς, αὐτὸς ἐν ταῖς ἐνέδραις τῶν κινδύνων ἐμπεσεῖται.

ΑΛΛΩΣ (1).

Ἀνήρ τις ἰξευτὴς κατέσχε τινὰ πέρδικα, καὶ εὐθὺς αὐτὸν καταθῦσαι ἠθέλησεν. Ὁ δὲ πέρδιξ, τῆς ἰδίας ζωῆς ἀντεχόμενος, πρὸς τὸν ἰξευτὴν συνετίθετο, ὡς Εἴ με τῶν δεσμῶν ἐλευθερώσεις, πολλοὺς πέρδικας ἐκμειλιξάμενος προσαγάγω σοι. Ὁ δὲ ἰξευτὴς, τῷ τούτου λόγῳ μᾶλλον μανεὶς, τοῦτον αὐτίκα ἀνήρηκεν.

Ὁ μῦθος δηλοῖ, ὡς ὁ ἑτέρῳ παγίδα ἱϛῶν, αὐτὸς ἐν αὐτῇ ὡς κακὸς ἐμπεσεῖται.

---

(1) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. κϛ'.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

165. ΑΡΚΤΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.

Αρκτος τίς ποτε μεγάλως ἐκαυχᾶτο, ὡς φιλανθρωπότατον πάντων ἐςὶ τῶν ζώων. Φασὶ γὰρ ἄρκτον νεκρὸν μηδὲν βιβρώσκειν. Ἡ δὲ ἀλώπηξ ἀκούουσα ταῦτα ἐμειδίασε, καὶ πρὸς αὐτὸν ἀντέφη· Εἴθε τοὺς νεκροὺς ἤσθιες, καὶ μὴ τοὺς ζῶντας (1).

Ὁ μῦθος τοὺς πλεονέκτας, καὶ ἐν ὑποκρίσει βιοῦντας, ἐλέγχει.

166. ΑΣΤΡΟΛΟΓΟΣ.

Αστρολόγος, ἐξιὼν ἑκάςην ἑσπέραν, ἔθος εἶχε τοὺς ἀςέρας ἐπισκοπεῖν. Καὶ δή ποτε περιιὼν εἰς τὸ προάςειον, καὶ τὸν νοῦν ὅλον ἔχων πρὸς τὸν οὐρανὸν, ἐξέλαθε καταπεσὼν εἰς *τὸ* φρέαρ. Ὀδυρομένου δὲ αὐτοῦ καὶ βοῶντος, παριών τις, ὡς ἤκουσε τοῦ ςεναγμοῦ, προσελθὼν καὶ μαθὼν τὰ συμβεβηκότα, ἔφη πρὸς αὐτὸν, Ὦ σὺ, ἐν οὐρανῷ βλέπειν πειρώμενος, τὰ ἐπὶ τῆς γῆς οὐκ ὁρᾷς (2);

Πρὸς τοὺς παραδόξως ἀλαζονευομένους, καὶ μηδὲ τὰ κοινὰ τοῖς ἀνθρώποις ἐπιτελεῖν δυναμένους.

---

(1) Τῷ μύθῳ τῷδε προσήκειν ἐσημειώσαντο τὸ παρὰ τῷ Σουΐδᾳ (λέξ. Ἄρκος),

Ἄρκος φιλεῖν ἄνθρωπον ἐκτόπως ηὔχει.

(2) Ἐκ τοῦ Θαλῇ τῷ φιλοσόφῳ συμβάντος ἔοικεν ὁ μῦθος πεπλάσθαι. Ἐκεῖνον γὰρ, ὥς φησι Πλάτων (Θεαιτήτ. σελ. 174), «Ἀςρονομοῦντα, » καὶ ἄνω βλέποντα, πεσόντα εἰς φρέαρ, Θρᾶττά τις, ἐμμελὴς καὶ » χαρίεσσα θεραπαινὶς, ἀποσκῶψαι λέγεται, ὡς τὰ μὲν ἐν οὐρανῷ » προθυμοῖτο εἰδέναι, τὰ δ' ἔμπροσθεν αὐτοῦ καὶ παρὰ πόδας λαν- » θάνοι αὐτόν.» Μνημονεύει τούτου καὶ Διογένης ὁ Λαέρτιος (Α, 34)· « Λέγεται δ' ἀγόμενος ὑπὸ γραὸς ἐκ τῆς οἰκίας, ἵνα τὰ ἄςρα

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΑΛΛΩΣ.

Ἄςροις περισκοπῶν τις ἀςεροσκόπος,
Πίπτει λεληθὼς εἰς φρέαρ. Τυχὼν δέ τις
Ὁδοιπόρος ςένοντι, ταῦτ᾽ ἔφη λέγων,
Νοῦν θεὶς ἄνω, βέλτιςε, τὴν γῆν οὐ βλέπεις;

Ὅτι πολλοὶ τὰ ἐνεςῶτα μὴ γινώσκοντες, τὰ μέλλοντα καυχῶνται γινώσκειν.

167. ΒΑΤΡΑΧΟΙ.

Βάτραχοι, λυπούμενοι περὶ τῆς ἑαυτῶν ἀναρχίας, πρέσβεις ἔπεμψαν πρὸς τὸν Δία, βασιλέα αὐτοῖς παρασχεῖν. Ὁ δὲ, συνιδὼν αὐτῶν τὴν εὐήθειαν, ξύλον εἰς τὴν λίμνην καθῆκεν. Καὶ οἱ βάτραχοι, τὸ μὲν πρῶτον καταπλαγέντες τὸν ψόφον, εἰς τὰ βάθη τῆς λίμνης ἔδυσαν· ὕςερον δὲ, ὡς ἀκίνητον ἦν τὸ ξύλον, ἀναδύντες εἰς τοσοῦτον καταφρονήσεως ἦλθον, ὡς καὶ ἐπιβαίνοντες αὐτῷ ἐπικαθέζεσθαι. Ἀναξιοπαθοῦντες δὲ τοιοῦτον ἔχειν βασιλέα, ἧκον ἐκ δευτέρου πρὸς τὸν Δία, καὶ τοῦτον παρεκάλουν ἀλλάξαι αὐτοῖς τὸν ἀρχηγόν· τὸν γὰρ πρῶτον λίαν εἶναι νωχελῆ καὶ ἀδόκιμον. Ὁ δὲ Ζεὺς, ἀγανακτήσας κατ᾽ αὐτῶν, ὕδρον αὐτοῖς ἔπεμψεν, ὑφ᾽ οὗ συλλαμβανόμενοι κατησθίοντο.

Ὁ λόγος δηλοῖ *τὸ* ἄμεινον εἶναι εὐήθεις ἄρχοντας ἔχειν καὶ ἐπιεικεῖς, ἢ ταρακτικοὺς καὶ κακούργους.

ΑΛΛΩΣ.

Βάτραχοι, λυπούμενοι ἐπὶ τῇ αὐτῶν ἀναρχίᾳ, πρέσβεις ἔπεμ-

» κατανοήσῃ, εἰς βόθρον ἐμπεσεῖν· καὶ αὐτῷ ἀνοιμώξαντι φάναι τὴν » γραῦν, Σὺ γὰρ, ὦ Θαλῆ, τὰ ἐν ποσὶν οὐ δυνάμενος ἰδεῖν, τὰ ἐπὶ » τοῦ οὐρανοῦ οἴει γνώσεσθαι; »

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ψαν, ἱκετεύοντες τὸν Δία, ὅπως αὐτοῖς βασιλέα παράσχοι. Ὁ δὲ, συνιδὼν αὐτῶν τὴν εὐήθειαν, ξύλον ἔπηξε μέσον τῆς λίμνης. Συςελλόμενοι δὲ τῷ φόβῳ οἱ βάτραχοι, εἰς τὰ βάθη κατέδυον. Χρόνου δὲ πολλοῦ παρῳχηκότος, ὡς ἑώρων τὸ ξύλον ἀκίνητον, ἀπεβάλοντο τὸν φόβον, καὶ τοσοῦτον κατεφρόνησαν αὐτοῦ, ὡς ἐπιβαίνειν καὶ ἐπικαθέζεσθαι τούτῳ. Μὴ ἀξιοῦντες δ' αὐτὸ ἔχειν βασιλέα, ἐκ δευτέρου ἦλθον εἰς τὸν Δία, καὶ παρεκάλουν ἀλλάξαι αὐτόν. Τότε δέδωκεν αὐτοῖς βασιλέα ἔγχελυν. Ἰδόντες δὲ αὐτοῦ τὴν εὐήθειαν, οὐ κατεδέξαντο αὐτόν. Ἦλθον οὖν ἐκ τρίτου πρὸς τὸν Δία, καὶ παρεκάλουν, ὅπως καὶ τοῦτον ἀλλάξῃ. Ὁ δὲ Ζεὺς, ἀγανακτήσας κατ' αὐτῶν, ὕδραν ἔπεμψεν· ἥτις, ἕνα καθ' ἕνα, τῶν βατράχων ἤσθιεν.

Ὁ μῦθος δηλοῖ, ὅτι ἄμεινόν ἐςι θεῷ πείθεσθαι, καὶ μὴ πονηροὺς ἔχειν ἄρχοντας καὶ ταραχοποιούς.

ΑΛΛΩΣ.

Βατράχων ποτὲ πολεμουμένων, ἐξητήσαντο τὸν Δία ἐπιδοῦναι αὐτοῖς ἄνακτα καὶ ἄρχοντα κατέχειν. Ὁ δὲ ἔῤῥιψε μέσον τῆς λίμνης ξύλον· ὃ κατιδόντες σιγὴν βάτραχοι ἔσχον, ὡς ἐλπίζοντες αὐτὸ ἄνακτα εἶναι. Χρόνου δὲ πολλοῦ παραβεβηκότος, ἤδη κατεφρόνησαν οἱ βάτραχοι τοῦ ξύλου, διὰ τὸ εἶναι αὐτὸ ἀκίνητον. Μετὰ δὲ ταῦτα ἐξητοῦντο τὸν Δία, ἵνα δώσῃ αὐτοῖς ἕτερον ἄνακτα. Ὁ δὲ, ἐμμανὴς γενόμενος, αὐτίκα ἐπιδέδωκε τὴν ὕδραν τοῖς βατράχοις.

168. ΒΟΕΣ ΚΑΙ ΑΞΟΝΕΣ.

Βόες ἅμαξαν εἷλκον. Τοῦ δὲ ἄξονος τρίζοντος, ἐπιςραφέντες ἔφησαν πρὸς αὐτὸν, Ὦ οὗτος, ὅλον τὸ βάρος ἡμῶν φερόντων, σὺ τί κραυγάζεις;

Οὕτω καὶ τῶν ἀνθρώπων ἔνιοι, ἑτέρων μοχθούντων, ἑαυτοῖς βάρος προσποιοῦνται.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΑΛΛΩΣ.

Βόες ἅμαξαν εἷλκον μεγίστην πολλοί. Ἡ δὲ ἐπεβόα, κράζουσα μεγάλως. Ὁ δὲ βοηλάτης πρὸς αὐτὴν ταῦτα λέγει, Ὦ θρασύτατον κτῆμα κακῶν πραγμάτων, ἵνα τί σὺ κατακράζεις, τῶν καθελκόντων σε βοῶν σιωπώντων;

Οὕτως ἔνιοι, ἑτέρων μοχθούντων, αὐτοὶ προσποιοῦνται πονεῖν.

169. ΓΑΛΗ ΚΑΙ ΑΦΡΟΔΙΤΗ.

Γαλῆ ἠράσθη τινὸς νεανίσκου εὐπρεποῦς, καὶ ηὔξατο τῇ Ἀφροδίτῃ, ὅπως αὐτὴν μεταμορφώσῃ εἰς γυναῖκα. Καὶ δὴ ἐλεήσασα αὐτὴν ἡ Θεὸς, μετεποιήσατο αὐτὴν εἰς κόρην εὐειδῆ. Ἐρασθεὶς οὖν ὁ νεανίσκος τοῦ κάλλους αὐτῆς, οἴκαδε αὐτὴν ἀπήγαγε. Καθεζομένων δὲ αὐτῶν ἐν τῷ θαλάμῳ, ἡ Ἀφροδίτη γνῶναι βουλομένη, εἰ μεταβαλοῦσα ἡ γαλῆ τὸ σῶμα καὶ τὸν τρόπον μετέβαλεν, μῦν εἰς τὸ μέσον καθῆκεν. Ἡ δὲ, ἐπιλαθομένη τῶν παρόντων, ἀναστᾶσα ἀπὸ τῆς κοίτης τὸν μῦν ἐδίωκε, καταφαγεῖν θέλουσα. Ἀγανακτήσασα δὲ ἡ Θεὸς πάλιν εἰς τὴν ἰδίαν ἀποκατέστησε φύσιν (1).

Οὕτω καὶ τῶν ἀνθρώπων οἱ φύσει πονηροὶ, κἂν τὸν τρόπον ἀλλάξωσι, τὴν φύσιν οὐ μεταβάλλουσιν.

---

(1) Προστίθει ἔκ τε τοῦ Ἰουλιανοῦ (Ἐπιστολ. νθ') καὶ τοῦ Σουίδα (λέξ. Βαθύστρωτος) τὰ ἑξῆς,

Γαλῆ ποτ' ἀνδρὸς εὐπρεποῦς ἐρασθεῖσα
. . . . τόνδε, τῆς βαθυστρώτου
Καταβᾶσα κοίτης ἐπεδίωκεν ἡ νύμφη.

Εἰς τοῦτόν φασι τὸν μῦθον ἀνενεκτέον καὶ ἕτερον παρὰ τῷ Σουίδα (λέξ. Ἐν τῷ μέρει) ἀποσπασμάτιον Βαβρίου, διορθωθὲν οὕτως,

Ἰδὼν δ' ἐκεῖνος (ἐν μέρει γὰρ ἡλώκει),
Γαμεῖν ἔμελλεν. . . . .

ΑΛΛΩΣ.

Ἀνὴρ γαλῆν γυναῖκα πρὸς δόμους ἄγει.
Παρῆν δὲ Κύπρις εἰς ἑορτὴν τοῦ γάμου.
Νύμφη δὲ μῦν βλέψασα, συντόνῳ τάχει
Δίωκε τοῦτον, μὴ τραπεῖσα τὴν φύσιν.

Ὅτι τὸ ἐκ φύσεως ὂν οὐ μετατρέπεται.

ΑΛΛΩΣ.

Γαλῆν καθίζει μῦθος εἴσω παςάδος.
Νύμφη γὰρ εἶχε, νυμφικῶς ἐςαλμένη,
Ἕδνα, κρότους, γέλωτας· ἦν λαμπρὸς γάμος.
Ἡ δ᾽, ὡς ἴδεν μῦν, ἦν γαλῆ· φανέντι γὰρ
Ἐπιδραμοῦσα δεῖπνον εἶχεν, οὐ γάμον.

ΑΛΛΩΣ.

Ὥσπερ που γράφει τὴν γαλῆν ὁ Αἴσωπος ἐν μύθοις
Μεταπεσεῖν εἰς γύναιον τῇ πρὸς θεοὺς αἰτήσει.
Τῇ νυμφικῇ παςάδι δὲ νύμφην ἐγκαθημένην
Τὴν φύσιν δεῖξαι τὴν αὐτῆς, γαλῆς, οὐ γυναικὸς δέ.
Μυὸς φανέντος γὰρ ἐκεῖ, λιποῦσα τὴν παςάδα,
Ὅλη τε τοῦ θηρεύματος ἐκείνου γενομένη,
Ἔδειξε πᾶσιν ἑαυτὴν γαλῆν, ἀλλ᾽ οὐ γυναῖκα.

170. ΓΕΩΡΓΟΣ ΚΑΙ ΟΦΙΣ.

Γεωργὸς, χειμῶνος ὥρᾳ, ὄφιν εὑρὼν ὑπὸ κρύους πεπηγότα, τοῦτον λαβὼν, ὑπὸ κόλπου κατέθετο. Θερμανθεὶς δὲ ἐκεῖνος, καὶ ἀναλαβὼν τὴν ἰδίαν φύσιν, ἔπληξε τὸν εὐεργέτην.

Ὁ λόγος δηλοῖ, ὅτι ἀμετάθετοί εἰσιν αἱ πονηρίαι, κἂν φιλανθρωπεύωνται.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΑΛΛΩΣ.

Ἔθαλπέ τις γεωργὸς ἐν κόλποις ὄφιν,
Ὥρᾳ κρύους. Ἐπεὶ δὲ θέρμης ἤσθετο,
Ἔπληξε τὸν θάλψαντα, κἄκτεινε τάχος.
Στένων δ' ὁ πληχθεὶς, τόνδε τὸν ςίχον ἔφη·
Δίκαια πάσχω, τὸν πονηρὸν οἰκτείρας.

Οὕτω κακοὶ ποιοῦσι τοὺς εὐεργέτας.

171. ΓΕΩΡΓΟΥ ΠΑΙΔΕΣ.

Γεωργοῦ παῖδες ἐςασίαζον. Ὁ δὲ πατὴρ αὐτῶν, παραινῶν αὐτοὺς οὐκ ἠδύνατο πεῖσαι. Καὶ δὴ, καθημένων αὐτῶν, προσέταξε δέσμην ῥάβδων αὐτῷ κομίσαι. Ἐνεγκόντων δὲ, λαβὼν τὰς ῥάβδους, ἔδησεν αὐτὰς δέσμην μίαν· καὶ ἐκέλευσεν ἑνὶ ἑκάςῳ λαβεῖν καὶ συνθλάσαι τὴν δέσμην. Οἱ δὲ, δοκιμάσαντες οὐκ ἠδυνήθησαν. Ὕςερον δὲ, λύσας αὐτὰς, δέδωκεν ἀνὰ μίαν κλάσαι. Οἱ δὲ διὰ τάχους εὐκόλως τοῦτο ἐποίησαν. Τότε λέγει ὁ πατὴρ αὐτῶν, Οὕτω καὶ ὑμεῖς, τέκνα μου, ἐὰν ὁμοφρονοῦντες μένητε, ἀκατάγνωςοι καὶ ἀχείρωτοι ἔσεσθε τοῖς ἐχθροῖς· ἐὰν δὲ μένητε ςασιάζοντες καὶ φιλονεικοῦντες, εὐχερῶς εὐάλωτοι ἔσεσθε τοῖς ἐχθροῖς.

Ὁ μῦθος δηλοῖ, ὅτι τοσοῦτόν ἐςιν ἰσχυροτέρα ἡ ὁμόνοια, ὅσον εὐκαταφρόνητος ἡ διάςασις.

172. ΓΕΩΡΓΟΣ ΚΑΙ ΠΕΛΑΡΓΟΣ.

Ἀρούρῃ παγίδας γεωργὸς ἔςησε. Θηρεύσας δὲ γεράνους, τοὺς τὸν σπόρον φθείροντας, σὺν αὐτοῖς καὶ πελαργὸν εἰλήφει. Ὁ δὲ, χωλεύων, ἱκέτευεν ἀφεθῆναι, λέγων· Οὐ γὰρ εἰμὶ γέρανος,

πελαργός εἰμί, εὐσεβέςατον ζῶον, ὃς τιμῶ τὸν πατέρα, καὶ δουλεύω· ἴδε καὶ τὴν χροιὰν, ὡς οὐχ ὁμοία. Ὁ δὲ ἔφη, Οὐκ οἶδα τί λέγεις· ἐγὼ σὺν οἷς εἴληφά σε, μετ' αὐτῶν καὶ ἀπολέσω (1).

Ὅτι καλόν ἐςι φεύγειν, καὶ μὴ συγκοινωνεῖν ἀνδράσι κακοῖς, μήπως κινδύνοις σὺν αὐτοῖς ἐμπέσῃς.

ΑΛΛΩΣ.

Γεωργὸν ἠδίκουν οἱ γέρανοι, τὰ καταβαλλόμενα τῇ γῇ προαρπάζοντες σπέρματα. Πελαργὸς δέ τις τοῖς γεράνοις συνῆν, τῆς μὲν διατριβῆς κοινωνῶν, τῆς δὲ βλάβης οὐ μετασχών. Ἀπειπὼν δὲ τὴν βλάβην ὁ γεωργὸς, βρόχους ςησάμενος μετὰ τῶν γεράνων εἷλε τὸν πελαργὸν· καὶ δίκην ὑπεῖχεν ὧν οὐδὲν προηδίκηκεν.

Ὁ συνὼν πονηροῖς τὴν αὐτὴν αὐτοῖς ὑποςήσεται δίκην.

ΑΛΛΩΣ.

Ἔθνει γεράνων πῆξέ τις σπορεὺς πάγην·
Μεθ' ὧν πελαργὸν εἷλεν· ὃς θρήνει μέγα.
Ἔφη δ' ἀροτρεὺς, ὡς Φίλος μὲν εἶ σύ μοι·
Ἀλλ' ἡ πάγη λαβοῦσα, σὺν κακοῖς ἔχει (1).

Πρὸς φίλον τινὸς ἑνούμενον τοῖς ἐχθροῖς τοῦ φίλου αὐτοῦ.

---

(1) Τούτῳ προσήκει καὶ τὰ παρὰ τῷ Σουΐδᾳ ἐκ τοῦ Βαβρίου ἀποσπασμάτια· τό τε (λέξ. Νεὸς),

Καίτις γεωργὸς πυρὸν εἰς νεὸν σπείρας,
Φύλασσεν ἐςώς. . . . .

καὶ τὸ (λέξ. Πυρίνῳ),

Γέρανοι γεωργοῦ κατενέμοντο τὴν χώραν,
Ἐσπαρμένην νεωςὶ πυρίνῳ σίτῳ.

173. ΓΕΩΡΓΟΣ ΚΑΙ ΦΥΤΟΝ.

Φυτὸν ἦν εἰς γεωργοῦ χώραν, καρπὸν μὴ φέρον· ἀλλὰ μόνον ϛρουθῶν καὶ τεττίγων κελαδούντων ἦν καταφυγή. Ὁ δὲ γεωργὸς ὡς ἄκαρπον ἐκτέμνειν ἤμελλε. Καὶ δὴ τὸν πέλεκυν λαβὼν, ἐπέφερε τὴν πληγήν. Οἱ δὲ τέττιγες καὶ οἱ ϛρουθοὶ ἱκέτευον τὴν καταφυγὴν αὐτῶν μὴ ἐκκόψαι, ἀλλ' ἐᾶσαι, ὥϛε ᾄδειν ἐν αὐτῷ, καὶ τὸν γεωργὸν τέρπειν. Ὁ δὲ, μηδὲν αὐτῶν φροντίσας, καὶ δευτέραν πληγὴν καὶ τρίτην ἐπέφερε. Ὡς δὲ ἐκοίλανε τὸ δένδρον, σμῆνος μελισσῶν καὶ μέλι εὗρε. Γευσάμενος δὲ, τὸν πέλεκυν ἔῤῥιψε, καὶ τὸ φυτὸν ἐτίμα ὡς ἱερὸν, καὶ ἐπεμελεῖτο.

Ὅτι οὐ τοσοῦτον οἱ ἄνθρωποι φύσει [τὸ] δίκαιον ἀγαπῶσι καὶ τιμῶσιν, ὅσον τὸ κερδαλέον ἐπιδιώκουσιν.

174. ΔΑΜΑΛΙΣ ΚΑΙ ΒΟΥΣ.

Δάμαλις βοῦν ὁρῶσα, ἐταλάνιζεν ἐργαζόμενον, ἐπὶ τῷ κόπῳ. Ἐπειδὴ δὲ ἑορτὴ κατέλαβε, τὸν βοῦν λύσαντες, τὴν δάμαλιν ἐκράτησαν τοῦ σφάξαι. Ἰδὼν δὲ ὁ βοῦς ἐμειδίασε, καὶ εἶπε πρὸς αὐτὴν, Ὦ δάμαλις, διὰ τοῦτο ἤργεις, ἵνα ἄρτι σφαγῇς.

Ὁ μῦθος δηλοῖ, ὅτι τὸν ἀργοῦντα κίνδυνος μένει.

ΑΛΛΩΣ.

Δάμαλις ἀγύμναϛος βοῦν ἀροτριῶντα ἐταλάνιζε τοῦ κόπου, λέγουσα, Ὦ, πόσα κάμνεις καὶ ταλαιπωρεῖς; Ὁ δὲ βοῦς ἐσίγα, καὶ τὴν αὔλακα ἔτεμνεν. Ἐπεὶ δὲ οἱ ἀγρόται τοῖς θεοῖς ἤθελον θύειν, ὁ μὲν γέρων βοῦς ἀποζευχθεὶς εἰς νομὴν ἀπελύθη· ὁ δὲ μόσχος σχοινίῳ εἵλκετο ἐπὶ τὸ τυθῆναι. Ὁ δὲ

βοῦς εἶπεν αὐτῷ, Εἰς τοῦτο μὴ κάμνων ἐτηρήθης· καί σου τὸν τράχηλον μάχαιρα, καὶ οὐχὶ ζυγὸς τρίψει (1).

Ὅτι τῷ πονοῦντι ἔπαινος πρόσεστι, τῷ δ' ἀργῷ κίνδυνος.

175. ΔΕΙΛΟΣ ΚΥΝΗΓΟΣ ΚΑΙ ΔΡΥΟΤΟΜΟΣ.

Λέοντός τινος ἴχνη ἐζήτει κυνηγός. Δρυοτόμον δὲ ἐρωτήσας, εἰ εἶδεν ἴχνη λέοντος, καὶ ποῦ κοιτάζει, ἔφη, Καὶ αὐτὸν τὸν λέοντα ἤδη σοι δείξω. Ὁ δὲ, ὠχριάσας ἐκ τοῦ φόβου, καὶ τοὺς ὀδόντας συγκρούων (2), εἶπεν· Ἴχνη μόνα ζητῶ, οὐχὶ αὐτὸν τὸν λέοντα.

Ὅτι τοὺς θρασεῖς καὶ δειλοὺς ὁ λόγος ἐλέγχει, τοὺς τολμηροὺς ἐν τοῖς λόγοις μόνοις, καὶ οὐκ ἐν τοῖς ἔργοις.

ΑΛΛΩΣ.

Δειλὸς κυνηγὸς πρός τιν' εἶπε ποιμένα,
Εἴ που λέοντος εἶδες ἴχνη, μοι φράσον.
Σοὶ τοῦτον, εἶπεν, εἰ θέλεις δείξω πέλας.
Ἴχνους, κυνηγὸς εἶπεν, οὐ ζητῶ πλέον.

Πρὸς ἀνθρώπους θρασεῖς πρὸς λόγους, καὶ πρὸς ἔργα δειλούς.

---

(1) Εἰς τοῦτον ἀνήκει τὸν μῦθον τὸ παρὰ τῷ Σουΐδᾳ (λέξ. ὅτλος),

Τάλας, ἐφώνει, μόχθον οἷον ὀτλεύεις.

(2) Σουΐδας (λέξ. Γομφίους),

Ὁ δ', ὠχριάσας, γομφίους τε συγκρούσας,
Μή μοι χαρίζου, φησίν. . . . .

176. ΔΕΛΦΑΞ ΚΑΙ ΑΛΩΠΗΞ.

Ονω τὶς ἐπιθεὶς αἶγα καὶ πρόβατον καὶ δέλφακα, ἤλαυνεν εἰς ἄςυ. Τοῦ δὲ δέλφακος παρ' ὅλην τὴν ὁδὸν κεκραγότος, ἀλώπηξ ἀκούσασα ἐπυνθάνετο τὴν αἰτίαν, δι' ἣν, τῶν λοιπῶν μεθ' ἡσυχίας φερομένων, μόνος αὐτὸς βοᾷ. Ὑποτυχὼν δὲ εἶπεν, Ἀλλ' ἔγωγε οὐ μάτην ὀδύρομαι. Οἶδα γὰρ, ὅτι τοῦ μὲν προβάτου, ἔριά τε καὶ γάλα παρεχομένου, ὁ δεσπότης ἀπέχεται, ὁμοίως δὲ καὶ τῆς αἰγὸς, διὰ τοὺς τυροὺς καὶ τοὺς ἐρίφους· ἐμοὶ δὲ οὐκ ἔχων εἰς ἄλλο τι χρήσασθαι, πάντως μὲ θύσει (1).

Οὐ μεμπτέοι εἰσὶν οἱ ἑαυτοὺς ἀποκλαίοντες, προορώμενοι τὰς μελλούσας αὐτοῖς ἐπέρχεσθαι συμφοράς.

ΑΛΛΩΣ.

Ἐξ ἀγροῦ τις ἤγρευσε σῦν, αἶγα, καὶ πρόβατον· ὄνος δὲ πάντα ἦγεν εἰς ἄςυ. Καὶ τὰ μὲν ἄλλα καθῆςο σιγῇ· μόνη δὲ ἡ ὗς μεγέθει βοῆς παρηνώχλει τὸν ἄγοντα. Καὶ οὗτος πρὸς αὐτὴν, Τί δῆτα, ἔφη, κομιδὴν ἥσυχον ἅμα τοῖς ἄλλοις οὐ ποιῇ; Ὅτι γάλακτος μὲν ἕνεκεν αἶξ, ἐρίων δὲ χάριν ἄγεται πρόβατον, ἐγὼ δὲ σφαγῆς, προσεῖπεν ἡ σῦς.

Οἶδε τὴν πρόφασιν ἕκαςος τὴν ἰδίαν.

---

(1) Εἰς τοῦτον ἀναφέρεται τὸν μῦθον τὸ παρὰ Κλήμεντι τῷ Ἀλεξανδρεῖ (Στρωματ. Ζ, σελ. 718) « Ὁ Αἴσωπος οὐ κακῶς ἔφη, τοὺς ὗς » κεκραγέναι μέγιςον· συνειδέναι γὰρ αὐτοῖς οὐδὲν ἄλλο χρησίμοις » [οὖσιν] ὅθ' ἕλκονται, πλὴν εἰς θυσίαν. » Καὶ τὸ παρὰ τῷ Αἰλιανῷ (Ποικ. ἱςορ. I, έ, σελ. 124, ἐμ. ἐκδ.), « Φρύγιος οὗτος λόγος· ἔςι γὰρ » Αἰσώπου τοῦ Φρυγός. Τὴν ὗν, ἐάν τις ἅψηται αὐτῆς, βοᾶν, καὶ » μάλα γε εἰκότως· οὔτε γὰρ ἔρια ἔχει, οὔτε ἄλλο τι· καὶ ὀνειροπολεῖ εὐθὺς τὸν θάνατον, εἰδυῖα εἰς ὅ, τι τοῖς χρησομένοις λυσιτελεῖ κ. τ. λ. »

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

177. ΔΕΛΦΙΝΕΣ ΚΑΙ ΚΑΡΙΣ.

Δελφῖνες καὶ φάλαιναι πρὸς ἀλλήλους ἐμάχοντο. Ἐπὶ πολὺ δὲ τῆς ςάσεως αὐτῶν σφοδρυνομένης, καρὶς ἀναδῦσα, ἐπειρᾶτο αὐτοὺς διαλύειν. Εἷς δέ τις τῶν δελφίνων ὑποτυχὼν ἔφη πρὸς αὐτὴν, ἀλλ' ἡμῖν αἱρετώτερόν ἐςιν ὑπ' ἀλλήλων διαφθαρῆναι, ἢ σοῦ διαλλάκτου τυχεῖν.

Οὕτως ἔνιοι τῶν ἀνθρώπων, οὐδενὸς ἄξιοι ὄντες, ἂν ταραχῆς λάβωνται, δοκοῦσι τινὲς εἶναι.

178. ΔΗΜΑΔΗΣ Ο ΡΗΤΩΡ.

Δημάδης ὁ ῥήτωρ, δημηγορῶν ποτε ἐν Ἀθήναις, ἐκείνων οὐ πάνυ αὐτῷ προσεχόντων, ἐδεήθη αὐτῶν, ὅπως ἐπιτρέψωσιν αὐτῷ μῦθον εἰπεῖν. Συγχωρησάντων δὲ αὐτῶν αὐτῷ, ἀρξάμενος ἔλεγε. « Δήμητρα καὶ χελιδὼν καὶ ἔγχελυς τὴν αὐτὴν ὁδὸν ἐβάδιζον. Γενομένων δὲ αὐτῶν κατά τινα ποταμὸν, ἡ μὲν χελιδὼν ἔπτη, ἡ δὲ ἔγχελυς κατέδυ ». Καὶ ταῦτα εἰπὼν ἐσιώπησεν. Ἐρομένων δὲ αὐτῶν, Ἡ δὲ Δήμητρα τί πέπονθεν; ἔφη, Κεχόλωται ὑμῖν, οἵ τινες τὰ τῆς πόλεως ὑμῶν πράγματα ἐάσαντες, μύθων ἀνέχεσθε.

Οὕτω καὶ τῶν ἀνθρώπων *οἱ* ἀλόγιςοι, ὅσοι τῶν μὲν ἀναγκαίων ὀλιγωροῦσι, τὰ δὲ πρὸς ἡδονὴν μᾶλλον ἀκροῶνται.

179. ΔΡΥΟΤΟΜΟΙ ΚΑΙ ΔΡΥΣ.

Δρυοτόμοι δρῦν ἔσχιζον, ἐξ αὐτῆς σφῆνας ποιήσαντες. Ἡ δὲ ἔφη, Οὐ τοσοῦτον τὸν κόψαντά με πέλεκυν μέμφομαι, ὅσον τοὺς ἐξ ἐμοῦ φυέντας σφῆνας.

Ὅτι δεινότερόν ἐςι λύπη, ὅταν τὶς ὑπὸ τῶν συγγενῶν πάσχει, ἢ παρὰ τῶν ἀλλοτρίων.

ΑΛΛΩΣ.

ΔΡΥΟΤΟΜΟΙ ΚΑΙ ΠΕΥΚΗ.

Δρυοτόμοι ἔσχιζόν τινα πεύκην· σφῆνας δὲ ἐξ αὐτῆς πεποιηκότες εὐκόλως ἔσχιζον. Ἡ δὲ εἶπεν, Οὐ τοσοῦτον τὸν κόπτοντα πέλεκυν μέμφομαι, ὅσον τοὺς ἐξ ἐμοῦ γεννηθέντας σφῆνας.

Ὅτι οὐ τοσοῦτόν ἐςι δεινὸν, ὅτε τὶς ὑπ' ἀλλοτρίων ἀνθρώπων πάθοι τι τῶν ἀπαισίων, ὅσον ὑπὸ τῶν οἰκείων.

180. ΕΛΑΤΗ ΚΑΙ ΒΑΤΟΣ.

Ἐλάτη καυχωμένη τῇ βάτῳ ἔλεγεν, Ἐν οὐδενὶ οὐδὲν χρησιμεύεις, ὅτε ἐγὼ ἐν ςέγεσί που χρησιμεύω καὶ οἴκοις. Ἡ δὲ βάτος ἔφη, Ὦ ἐλεεινὴ, *εἰ* μνησθεῖσα τῶν πελέκεων καὶ πριόνων τῶν κοπτόντων σε, βάτος ἂν εἶχες θελήσειν γενέσθαι, οὐκ ἐλάτη (1).

Κρείσσων πενία ἀφο   , ἢ πλοῦτος μετὰ ἀναγκῶν καὶ ἐπηρειῶν.

181. ΕΛΑΦΟΣ ΚΑΙ ΛΕΩΝ.

Ἔλαφος, δίψει συσχεθεῖσα, παρεγένετο ἐπί τινα πηγήν. Πίνουσα δὲ, ὡς ἐθεάσατο τὴν ἑαυτῆς σκιὰν κατὰ τοῦ ὕδατος, ἐπὶ μὲν τοῖς κέρασιν ἠγάλλετο, ὁρῶσα τὸ μέγεθος καὶ τὴν ποικιλίαν, ἐπὶ δὲ τοῖς ποσὶ σφόδρα ἤχθετο, ὡς λεπτοῖς οὖσι καὶ ἀσθενέσιν. Ἔτι δὲ αὐτῆς διανοουμένης, λέων ἐπιφανεὶς ἐδίωκεν

---

(1) Ἀποσπασμάτιον ἀνωνύμου, ἐκ τοῦ Σουίδα (λέξ. Αἰπεινὴ),

Αἰπειναῖς ἐλάταις ἔρισεν βάτος. Ἡ μὲν ἔειπε,
Καὶ ναῦς καὶ νηοὺς τεμνομένην τελέειν.

Καὶ αὖθις (λέξ. Αἴσυλα),

Αἰπεινὴν ἐλάτην ἔρις ὤρορεν αἴσυλα φάσθαι.

αὐτήν. Κἀκείνη, εἰς φυγὴν τραπεῖσα, κατὰ πολὺ αὐτοῦ προεῖχε. Μέχρι μὲν οὖν ψιλὸν ἦν τὸ πεδίον, ἡ μὲν προθέουσα διεσώζετο· ἐπειδὴ δὲ ἐγένετο κατὰ ὑλώδη τόπον, τηνικαῦτα συνέβη, τῶν κεράτων αὐτῆς ἐμπλακέντων τοῖς κλάδοις, μὴ δύνασθαι τρέχειν, κἀκεῖ συλληφθῆναι. Μέλλουσα δὲ ἀναιρεῖσθαι, ἔφη πρὸς ἑαυτήν· Δειλαία ἔγωγε, ἥτις ὑφ' ὧν μὲν ᾤμην προδοθήσεσθαι, ὑπὸ τούτων ἐσωζόμην, οἷς δὲ σφόδρα ἐπεποίθειν, ὑπὸ τούτων ἀπωλόμην.

Οὕτω πολλάκις ἐν κινδύνοις, οἱ μὲν ὕποπτοι τῶν φίλων σωτῆρες γίνονται· οἱ δὲ σφόδρα ἐμπιςευθέντες, προδόται.

ΑΛΛΩΣ.

Ἔλαφος, δίψει συσχεθεῖσα, παρεγένετο ἐπί τινα πηγὴν τοῦ πιεῖν. Πίνουσα δὲ, εἶδε τὴν ἑαυτῆς σκιὰν κατὰ τοῦ ὕδατος· καὶ ἐπὶ μὲν τοῖς κέρασιν αὐτῆς εὐφρήνατο, ὁρῶσα τὸ μέγεθος καὶ τὴν ποικιλίαν, ἐπὶ δὲ τοῖς ποσὶν αὐτῆς σφόδρα ἤχθετο καὶ ἐδυσφόρει, ὁρῶσα λεπτοὺς καὶ ἀσθενεῖς ὄντας. Ταῦτα δὲ αὐτῆς διανοουμένης, λέων ἐπιφανεὶς ἤρξατο διώκειν αὐτήν. Κἀκείνη, τραπεῖσα εἰς φυγὴν, κατὰ πολὺ αὐτοῦ προεῖχε. Καὶ μέχρις *ἂν* ἐν πεδίῳ ἐδιώκετο, ἀκατάληπτος ἦν. Ἐπεὶ δὲ κατά τινα δρυμὸν παρεγένετο, συνέβη τὰ κέρατα αὐτῆς ἐμπλακῆναι τοῖς κλάδοις, καὶ συλληφθῆναι ὑπὸ τοῦ λέοντος. Μελλουσα δὲ ἀναιρεῖσθαι ἔφη· Ἀθλία ὄντως ἐγὼ, ἥτις ἐπὶ κέρασιν ἔχαιρον, ἐξ ὧν συνελήφθην.

Ὁ μῦθος, ὅτι [πολλοὶ] πολλάκις ἔχοντές [τι] χρήσιμον λανθάνουσι, καὶ ἐξ ἐκείνου βλάβην αὐτοῖς ἐγγίνεσθαι οἴονται.

ΑΛΛΩΣ.

Ἔλαφον τὸ θέρος ἐπὶ νάματος ἐκόμιζε χρείαν. Ἀφικόμενος δὲ καὶ παραςὰς, ἑαυτὸν ἐθεᾶτο τοῖς νάμασι, καὶ τὸ μὲν κέρας

κέρας τῆς πλοκῆς ἀπεθαύμαζε, κατητιᾶτο δὲ τῶν ποδῶν τὴν ἀσθένειαν. Καὶ τὴν φύσιν κατ' ἄμφω τιμῶντος ὁμοῦ κα' κακίζοντος, οἱ θηρῶντες προσῄεσαν. Ὁ δὲ τοῖς μὲν κατηγορουμένοις διαφεύγει ποσὶ, τοῖς δὲ ἐπαινουμένοις ἁλίσκεται κέρασιν.

ΑΛΛΩΣ.

Ἔλαφος διψήσας ἐπὶ πηγὴν ἦλθεν. Ἰδὼν δὲ τὴν ἑαυτοῦ σκιὰν, τοὺς μὲν πόδας ἐμέμφετο, ὡς λεπτοὺς καὶ ἀσθενεῖς ὄντας, τὰ δὲ κέρατα αὐτοῦ ἐπῄνει, ὡς μέγιστα καὶ εὐμήκη. Μηδέπω πιὼν, κυνηγοῦ καταλαβόντος, ἔφευγεν. Ἐπὶ πολὺν δὲ τόπον δραμὼν, καὶ εἰς ὕλην ἐμβὰς, τοῖς κέρασιν ἐμπλακεὶς ἐθηρεύθη. Ἔφη δὲ, Ὢ μάταιος ἐγὼ, ὃς ἐκ μὲν τῶν ποδῶν ἐσώθην, οὓς ἐμεμφόμην, ἐκ δὲ τῶν κεράτων προεδόθην, οἷς ἐκαυχώμην.

Ὅτι περὶ πράγματός τινος, ἐὰν διακρίνῃς, καλὸν εἶναι μὴ ἔχειν βεβαίως περὶ τούτου· πολλάκις γὰρ σφάλλουσιν αἱ ἐλπίδες, αἷς ἐπερειδόμεθα.

ΑΛΛΩΣ.

Πηγαῖς ὁρῶσα δορκὰς αὐτῆς τὴν θέαν,
Λεπτοὺς πόδας μωμεῖτο, χαῖρε δ' εἰς κέρα·
Λέων δ' ἐπεὶ δίωκε, τούτους ἠγάπα,
Κέρα καθυβρίζουσα, θήρας ὡς πάγην.

Ὅτι πολλάκις τὶς ὠφελεῖται ἐξ ὧν δοκεῖ βλάπτεσθαι.

182. ΕΡΜΗΣ ΚΑΙ ΓΗ.

Ζεὺς, πλάσας ἄνδρα καὶ γυναῖκα, ἐκέλευσεν Ἑρμῇ ἀγαγεῖν αὐτοὺς ἐπὶ τὴν γῆν, καὶ δεῖξαι ὅθεν ὀρύσσοντες πλέον ὀνήσωσιν. Τοῦ δὲ, [τὸ] προσαχθὲν ποιήσαντος, ἡ γῆ τὸ πρῶτον ἐκώλυεν. Ὡς δὲ ὁ Ἑρμῆς ἠνάγκαζε, λέγων τὸν Δία προστεταχέναι· Ἀλλ'

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ὀρυσσέτωσαν [εἶπεν ἡ γῆ] ὅσην βούλονται· ςένοντες γὰρ αὐτὴν καὶ κλαίοντες ἀποδώσουσιν.

Πρὸς τοὺς ῥαδίως μὲν δανειζομένους, μετὰ λύπης δὲ ἀποδιδόντας, ὁ λόγος εὔκαιρος.

183. ΕΧΙΣ ΚΑΙ ΑΛΩΠΗΞ.

Εχις ἐπὶ δέσμῃ ἀκανθῶν εἴς τινα ποταμὸν ἐφέρετο. Ἀλώπηξ δὲ, ταύτην θεασαμένη, Ἄξιος, ἔφη, τῆς νηὸς ὁ ναύκληρος.

Πρὸς ἄνδρα πονηρὸν μοχθηροῖς πράγμασιν ἐπιχειρήσαντα.

ΑΛΛΩΣ.

Καί τις ἄμπελος πλησίον εἶχε ποταμοῦ τὸν φραγμόν. Τοῦ δὲ ποταμοῦ ἐξ ὄμβρων φυσηθέντος, ἦρε τὸν φραγμὸν, καὶ καθελὼν ἀπῄει. Τῇ δὲ παλιούρῳ δράκων τις συνεπλάκη, ὃς ἐφέρετο τοῦ ποταμοῦ ἐν μέσῳ. Καί τις κατιδὼν ἔφη, γελάσας μέγα, Ἡ μὲν ναῦς κακὴ, ἀξία δὲ τοῦ ναύτου.

Ὁ μῦθος δηλοῖ, ὅτι δικαίως οἱ κακοὶ σὺν κακοῖς ἀπόλλυνται.

184. ΕΧΙΣ ΚΑΙ ΡΙΝΗ.

Εχις, εἰσελθὼν εἰς χαλκουργοῦ ἐργαςήριον, ἓν τῶν σκευῶν τῶν ὄντων ἐζήτει φαγεῖν. Ἧκεν οὖν πρὸς τὴν ῥίνην, καὶ αὐτὴν παρεκάλει δοῦναι αὐτῷ τι. Ἡ δὲ ὑποτυχοῦσα εἶπεν· Ἀλλ' εὐήθης εἶ, παρ' ἐμοῦ τι ἀποίσεσθαι οἰόμενος, ἥτις οὐ διδόναι, ἀλλὰ λαμβάνειν παρὰ πάντων εἴωθα.

Ο λόγος δηλοῖ, ὅτι μάταιοί εἰσιν οἱ παρὰ φιλαργύρων τι κερδαίνειν προσδοκῶντες.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

185. ΕΧΙΣ ΚΑΙ ΥΔΡΟΣ.

Εχις, φοιτῶν ἐπί τινα κρήνην, ἔπινεν. Ὁ δὲ ἐνταῦθα οἰκῶν ὕδρος ἐκώλυεν αὐτὸν, ἀγανακτῶν εἴγε μὴ ἀρκεῖται τῇ ἰδίᾳ νομῇ, ἀλλὰ καὶ ἐπὶ τὴν αὐτοῦ δίαιταν ἀφικνεῖται. Ἀεὶ δὲ τῆς φιλονεικίας αὐξανομένης, συνέθεντο ὅπως εἰς μάχην ἀλλήλοις καταςῶσιν, καὶ τοῦ νικῶντος ἥ τε [τῆς] γῆς καὶ τοῦ ὕδατος νομὴ γένηται. Ταξάντων δὲ αὐτῶν προθεσμίαν, οἱ βάτραχοι διὰ μίσος τοῦ ὕδρου, παραγενόμενοι πρὸς τὸν ἔχιν, παρεθάρσυνον αὐτὸν, ἐπαγγελλόμενοι καὶ αὐτοὶ συμμαχήσειν αὐτῷ. Ἐνςάσης δὲ τῆς μάχης, ὁ μὲν ἔχις πρὸς τὸν ὕδρον ἐπολέμει· οἱ δὲ βάτραχοι, μηδὲν περαιτέρω δρᾷν δυνάμενοι, μεγάλα ἐκεκράγεισαν. Καὶ ὁ ἔχις νικήσας ᾐτιᾶτο, εἴγε, συμμαχήσειν αὐτῷ ὑποσχόμενοι, παρὰ τὴν μάχην οὐ παρεγένοντο. Οἱ δὲ ἔφασαν πρὸς αὐτὸν, Ἀλλ' εὖ ἴσθι, ὦ οὗτος, ὅτι ἡ ἡμετέρα συμμαχία οὐ χειρῶν δεῖται, διὰ δὲ φωνῆς συνέςηκεν.

Ὁ λόγος δηλοῖ, ὅτι ἔνθα χειρῶν χρεία ἐςὶν, ἡ διὰ λόγων βοήθεια οὐδὲν λυσιτελεῖ.

186. ΖΕΥΣ ΚΑΙ ΑΛΩΠΗΞ.

Ζεὺς, ἀγασάμενος ἀλώπεκος τὸ συνετὸν τῶν φρενῶν καὶ τὸ ποικίλον, τὸ βασίλειον αὐτῇ τῶν ἀλόγων ζώων ἐνεχείρισε. Βουλόμενος δὲ γνῶναι, εἰ τὴν τύχην μεταλλάξασα, καὶ τὴν γλισχρότητα μετεβάλλετο, φερομένης αὐτῆς ἐν φορείῳ, κάνθαρον παρὰ τὴν ὄψιν ἀφῆκεν. Ἡ δὲ, ἀντισχεῖν μὴ δυναμένη, ἐπειδὴ περιίπτατο, τοῦ φορείου ἀναπηδήσασα ἀκόσμως, συλλαβεῖν αὐτὸν ἐπειρᾶτο. Καὶ ὁ Ζεὺς, ἀγανακτήσας κατ' αὐτῆς, πάλιν αὐτὴν εἰς τὴν ἀρχαίαν τάξιν ἀποκατέςησεν.

Οἱ φαῦλοι τῶν ἀνθρώπων, κἂν τὰ προσχήματα λαμπρότερα ἀναλάβωσιν, οὐ μετατίθενται τὴν φύσιν.

187. ΖΕΥΣ ΚΑΙ ΑΠΟΛΛΩΝ.

Ζεὺς καὶ Ἀπόλλων περὶ τοξείας ἠρίζοντο. Τοῦ δὲ Ἀπόλλωνος ἐκτείναντος τὸ τόξον, καὶ τὸ βέλος ἀφέντος, ὁ Ζεὺς τοσοῦτον διέβη, ὅσον Ἀπόλλων ἐτόξευσεν.

Οὕτως οἱ τοῖς κρείττοσιν ἁμιλλώμενοι, πρὸς τῷ ἐκείνων μὴ ἐφικνεῖσθαι καὶ γέλωτα ὀφλισκάνουσι.

188. ΚΟΛΟΙΟΣ ΚΑΙ ΟΡΝΕΙΣ.

Ζεὺς, βουλόμενος βασιλέα καταςῆσαι ὀρνέων, προθεσμίαν αὐτοῖς ἔταξεν, ἐν ᾗ παραγενήσονται πρὸς αὐτόν. Ὁ Κολοιὸς δὲ, συνειδὼς ἑαυτῷ δυσμορφίαν, περιάγων, τὰ ἀποπίπτοντα τῶν ὀρνέων πτερὰ ἐλάμβανεν, καὶ ἑαυτῷ περιῆπτεν. Ὡς δὲ ἐνέςη ἡ ἡμέρα, ποικίλος γενόμενος ἧκε πρὸς τὸν Δία. Μέλλοντος δὲ τοῦ Διὸς διὰ τὴν εὐπρέπειαν βασιλέα αὐτὸν χειροτονῆσαι, τὰ ὄρνεα ἀγανακτήσαντα περιέςη, καὶ ἕκαςον τὸ ἴδιον πτερὸν ἀφείλετο. Καὶ οὕτως συνέβη αὐτῷ ἀπογυμνωθέντι κολοιῷ [πάλιν] γενέσθαι.

Οὕτω καὶ τῶν ἀνθρώπων ἔνιοι, ἐν ἀλλοτρίοις χρήμασιν ἐγκαυχώμενοι, δοκοῦσί τι ἔχειν. Ἐπειδὰν δὲ ταῦτα ἀπαιτηθῶσιν, ὁποῖοι τὸ πρότερον ἦσαν εὑρίσκονται.

ΑΛΛΩΣ.

Ζεὺς, βουλόμενος βασιλέα καταςῆσαι ὀρνέων, προθεσμίαν αὐτοῖς ἔταξεν, ἐν ᾗ παραγενήσονται πάντες πρὸς αὐτὸν, ὅπως τὸν ὡραιότερον πάντων καταςήσῃ ἐπ' αὐτοὺς βασιλέα. Τὰ δὲ, παραγενόμενα ἐπί τινα ποταμὸν, ἀπενίζοντο. Κολοιὸς δὲ, συνιῶν ἑαυτῷ περικειμένην δυσμορφίαν, ἀπελθὼν, καὶ τὰ ἀποπίπτοντα

τῶν ὀρνέων πτερὰ συλλεξάμενος, ἑαυτῷ περιέθηκέ τε καὶ προσεκόλλησε. Συνέβη οὖν ἐκ τούτου εὐειδέςερον πάντων γενέσθαι. Ἐπέςη οὖν ἡ ἡμέρα τῆς προθεσμίας, καὶ ἦλθον πάντα τὰ ὄρνεα πρὸς τὸν Δία. Τοῦ δὲ Διὸς μέλλοντος χειροτονῆσαι αὐτοῖς τὸν κολοιὸν βασιλέα, διὰ τὴν εὐπρέπειαν, ἀγανακτήσαντα τὰ ὄρνεα, ἕκαςον τὸ οἰκεῖον πτερὸν ἀφείλετο ἐξ αὐτοῦ· καὶ ὁ κολοιὸς ἦν πάλιν κολοιός.

Ὁ μῦθος δηλοῖ, ὅτι καὶ οἱ χρεωφειλέται, καὶ ἐπικτήτους προσκτώμενοι πλούτους, μέχρις ἂν κατέχωσι τὰ ἀλλότρια, δοκοῦσιν εἶναι τινές· ἐπὰν δὲ αὐτὰ ἀποδώσωσιν, ὁποῖοι ἦσαν πρότερον γινώσκονται.

ΑΛΛΩΣ.

Κάλλους ἦν ἀγὼν, καὶ παρὰ τῷ Διὶ κριθησόμενοι πάντες οἱ ὄρνεις ἐφοίτων, Ἑρμοῦ τὴν κυρίαν ὁρίζοντος. Ποταμούς τε καὶ λίμνας ἅπαντες κατελάμβανον, τὰ μὲν φαῦλα τῶν πτερῶν ἀποβάλλοντες, τὰ δὲ κρείττω φαιδρύνοντες. Κολοιὸς δὲ, οὐδὲν εὐπρεπὲς ἔχων ἀπὸ τῆς φύσεως, ἃ τῶν ἄλλων ἐξέπιπτε, ταῦτα οἰκεῖον συνέθηκε κόσμον. Γλαὺξ δὲ μόνη ἐπιγνοῦσα, τὸ ἑαυτῆς ἀφῃρεῖτο τὸν κολοιὸν, καὶ τὰ ἄλλα πράττειν [οὕτως] ἀνέπειθεν. Ἀφαιρεθεὶς δὲ τὰ παρὰ πάντων ὁ κολοιὸς, γυμνὸς εἰς τὴν Διὸς ἀφίκετο κρίσιν.

Κόσμος ἐπείσακτος, αἰσχύνη τοῖς ἔχουσιν.

ΑΛΛΩΣ.

Αἴσωπος παρεισφέρει που τοῖς μύθοις τοῖς οἰκείοις,
Τὸν Δία μέλλοντα ποιεῖν ὀρνέοις βασιλέα,
Ἡμέραν τούτοις προειπεῖν, καθ' ἣν ποιῆσαι μέλλει.
Ὕδασι, ποταμοῖς τε [δὲ], πάντων φαιδρυνομένων,
Ὧν πάντων ἀμορφότατος ὁ κολοιὸς ὀρνέων,
Τοῖς πάντων ἀποπίπτουσι πτεροῖς ἐςολισμένος,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ἁπάντων ὡραιότερος ἐφάνη τῶν ὀρνέων.
Καὶ εἰ μὴ γλαὺξ, γνωρίσασα πτερόν τι τῶν οἰκείων,
Πρώτη ἀφείλετο αὐτοῦ, καὶ τὰ λοιπὰ ὁμοίως,
Καὶ κολοιὸς ὁ κολοιὸς ὡς ἐξ ἀρχῆς ἐφάνη,
Ὀρνέων πάντων βασιλεὺς ξένοις πτεροῖς ἐφάνη.

ΑΛΛΩΣ.

Ἀλλοτρίοις πτεροῖσιν ἠμφιεσμένος,
Ηὔχει κολοιὸς ὀρνέων ὑπερφέρειν.
Πρώτη δὲ πτερὸν ἡ χελιδὼν ἡρπάκει·
Μεθ' ἣν ἅπαντες· εἶτα γυμνὸς εὑρέθη.

Ὅτι τὸ ἐξ ἐράνου κάλλος διαλύεται.

ΑΛΛΩΣ.

Ἔδοξε τῷ Διὶ βασιλεύεσθαι καὶ τὸ ὀρνίθων γένος· καὶ διὰ τοῦ Ἑρμοῦ πρὸς ἀγῶνα κάλλους ἐκάλει, ὡς δώσων τῷ καλλίςῳ φανέντι [τὴν] τῶν ὀρνίθων ἀρχήν. Ἐκαλλωπίζετο γοῦν τὰ ὄρνεα, τὰ μὲν ἐν κρήναις, τὰ δ' ἐν πηγαῖς τε καὶ λίμναις, καὶ τῶν πτερῶν ἐξεκαλεῖτο ὁπόσα ἑαυτοῖς ὥραν οὐκ ἔφερον. Ὁ δὲ κολοιὸς (ἦν γὰρ ἄμορφος) ἐπιτεχνᾶται τοιάδε. Τῶν πτερῶν ὁπόσα ἐπέπλει τοῖς ὕδασιν ἀναιρούμενος, ἕκαςον ἑαυτῷ περιετίθει, συναρμόττων σοφῶς ἄλλο ἐπ' ἄλλῳ· καὶ χρῆμα ποικιλότερον γίγνεται. Καὶ, ὡς ἧκεν ἐπὶ τὴν κρίσιν, ἐπέςρεφε μὲν τῶν ὀρνέων τα ὄμματα, θάμβος δὲ ἐνέβαλλε καὶ αὐτῷ τῷ δικαςῇ· ὥςε ὑπεχώρει μὲν αὐτῷ ὁ λευκότατος κύκνος, μικρὸν δὲ ὁ ταὼς ἐδόκει καὶ αἱ τούτου βαφαὶ, καταπεφρόνητο δὲ καὶ ἀετοῦ σεμνότης. Μέλλοντος δὲ ἤδη τοῦ Διὸς αὐτῷ ἐγχειρίζειν τὸ σκῆπτρον, ἡ γλαὺξ, ἰδοῦσα τὸ ἑαυτῆς ἐν τῷ κολοιῷ πτερὸν, προσιοῦσα ἀπέσπα, καὶ ἄλλος τὸ ἑαυτοῦ, καὶ πᾶς τὸ οἰκεῖον.

Απελθόντων δὲ τῶν ἀλλοτρίων, ἐγυμνοῦτο τοῦ κολοιοῦ τὸ εἶδος, καὶ ἐγελᾶτο.

Τὸ μὴ τοῖς οἰκείοις κοσμεῖσθαι, βραχεῖαν μὲν τὴν ἀπόλαυσιν, πολλὴν δὲ ἐλεγχθέντι ποιεῖ τὴν αἰσχύνην.

ΑΛΛΩΣ (1).

Ιρις, ὁ τῶν θεῶν ἄγγελος, πᾶσι πετεινοῖς ἐκήρυξεν, Εἴτις ὑμῶν κρείττων εἰς κάλλος φανῇ, οὗτος πτηνῶν πάντων βασιλεύσει ὑπὸ τοῦ Διός. Επισυνηγμένων δὲ πάντων ὀρνέων εἰς τὴν τῆς Στυγὸς κρήνην, καὶ ἀπολουομένων, Κολοιὸς, υἱὸς κορώνης γέρων, πάντων ὀρνέων τὰ πτερὰ πρὸς ἑαυτὸν ἁρμοσάμενος, ἦλθεν ἀετοῦ κρείσσων. Ὁ Ζεὺς δὲ, τὸ κάλλος θαμβηθεὶς, τὴν νίκην τούτῳ παρέχειν ἔμελλεν, εἰ μὴ χελιδὼν Αθηναία τοῦτον ἤλεγξε, τὸ πτερὸν αὐτῆς ἐκσπάσασα. Τὸ αὐτὸ δὲ καὶ τῶν λοιπῶν ὀρνέων ποιησάντων, διεγνώσθη κολοιὸς ὤν.

189. ΖΕΥΣ ΚΑΙ ΟΦΙΣ.

Τοῦ Διὸς γάμους ποιοῦντος, πάντα τὰ ζῶα ἀνήνεγκαν δῶρα, ἕκαστον κατὰ τὴν ἰδίαν δύναμιν. Ὄφις δὲ ἕρπων, ῥόδον λαβὼν ἐν τῷ στόματι ἀνέβη. Ιδὼν δὲ αὐτὸν ὁ Ζεὺς εἶπε· Τῶν ἄλλων πάντων τὰ δῶρα λαμβάνω, ἀπὸ δὲ τοῦ σοῦ στόματος οὐ λαμβάνω.

Ὅτι πονηρῶν αἱ χάριτες φοβεραί εἰσιν.

190. ΖΕΥΣ, ΠΡΟΜΗΘΕΥΣ, ΑΘΗΝΑ ΚΑΙ ΜΩΜΟΣ.

Ζεὺς καὶ Προμηθεὺς καὶ Αθηνᾶ κατασκευάσαντες, Ζεὺς

(1) Ἐκ τῆς τοῦ Τυρουίττου συλλογῆς.

μὲν ταῦρον, Προμηθεὺς [δ'] ἄνθρωπον, Ἀθηνᾶ δὲ οἶκον, κριτὴν εἵλοντο τὸν Μῶμον. Ὁ δὲ, φθονήσας τοῖς δημιουργήμασιν, ἀρξάμενος ἔλεγε τὸν Δία ἡμαρτηκέναι, τοῦ ταύρου τοὺς ὀφθαλμοὺς ἐπὶ τοῖς κέρασι μὴ θέντα, ἵνα βλέπῃ, ποῦ τύπτει· τὸν δὲ Προμηθέα, διότι τοῦ ἀνθρώπου τὰς φρένας ἔξωθεν οὐ κατεκρέμασεν, ἵνα μὴ λανθάνωσιν οἱ πονηροὶ, φανερὸν δὲ ᾖ ἕκαστον ὧν χρείαν εἶχον. Τρίτον δὲ ἔλεγεν, ὡς ἔδει τὴν Ἀθηνᾶν *ἐν* τῷ οἴκῳ τροχοὺς ὑποθεῖναι, ἵνα, ἐὰν πονηρῷ τις παροικισθῇ γείτονι, ῥᾳδίως μεταβαίνῃ. Καὶ ὁ Ζεὺς, ἀγανακτήσας κατ' αὐτοῦ ἐπὶ τῇ βασκανίᾳ, τοῦ Ὀλύμπου αὐτὸν ἐξέβαλε.

Ὁ λόγος δηλοῖ, ὅτι οὐδὲν οὕτως ἐνάρετόν ἐστι, ὃ μὴ ψόγον ἐπιδέχεται.

ΑΛΛΩΣ (1).

ΖΕΥΣ ΠΟΣΕΙΔΩΝ ΚΑΙ ΑΘΗΝΑ.

Ζεὺς, καὶ Ποσειδῶν, καὶ Ἀθηνᾶ ἔριν ἐποιήσαντο, τίς κάλλιον τί ποιήσει. Καὶ ὁ μὲν Ζεὺς ἄνθρωπον εὐπρεπέστατον ἐποίησεν· ὁ δὲ Ποσειδῶν ταῦρον· ἡ δὲ Ἀθηνᾶ οἶκον ἀνθρώποις. Κριτὴς δ' ἦν ἐπὶ τούτοις Μῶμος. Καὶ πρῶτον μὲν ἔψεγε τὴν

(1) Ἐκ τῆς τοῦ Τυρουΐττου συλλογῆς. Τοῦτον δ' αἰνίττεται τὸν μῦθον καὶ ὁ Λουκιανὸς (Νιγριν. § 32) ἐν οἷς φησι, « Τοῦ Μώμου τὸν λόγον » μιμησάμενος· ὡς γὰρ ἐκεῖνος ἐμέμφετο τοῦ ταύρου τὸν Δημιουργὸν » θεὸν, οὐ προθέντα ΤΩΝ ΟΦΘΑΛΜΩΝ τὰ κέρατα, οὕτω δὴ καὶ αὐ- » τός κ. τ. λ. » Ἀριστοτέλης δὲ (Περὶ ζώων μορ. Γ, β') παραλλάττει μικρὸν ἐν τῇ παραθέσει τοῦ μύθου, λέγων· « Ὀρθῶς δὲ καὶ τὸ ἐπὶ » τῆς κεφαλῆς ποιῆσαι τὴν τῶν κεράτων φύσιν· ἀλλὰ μὴ, καθάπερ ὁ » Αἰσώπου Μῶμος διαμέμφεται τὸν ταῦρον, ὅτι οὐκ ΕΠΙ ΤΟΙΣ » ΩΜΟΙΣ ἔχει τὰ κέρατα, ὅθεν τὰς πληγὰς ἐποιεῖτο ἂν ἰσχυροτάτας, » ἀλλ' ἐπὶ τοῦ ἀσθενεστάτου μέρους, τῆς κεφαλῆς. Οὐ γὰρ ὀξὺ βλέπων » ὁ Μῶμος ταῦτα ἐπετίμα. »

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

θέσιν τῶν κεράτων τοῦ ταύρου, κάτωθεν τῶν ὀμμάτων λέγων ὀφείλειν κεῖσθαι, ὡς ἂν βλέπῃ, ποῦ τύπτει· τοῦ δέ γε τὰς φρένας ἀνθρώπου καὶ τὰς βουλὰς φανερὰς εἶναι, ὡς ἂν διαγινώσκηται τί βούλεται ἕκαστος· τῆς δὲ οἰκίας, ὅτι μὴ τροχοὺς σιδηροῦς αὐτῇ ἐποίησεν, ἵνα καὶ τοῖς δεσπόταις συνεξεδήμει, καὶ γείτονα πονηρὸν ἐξέφευγεν.

191. ΗΡΑΚΛΗΣ ΚΑΙ ΠΛΟΥΤΟΣ.

Ηρακλῆς ὁ θεωθεὶς, *καὶ* παρὰ τῷ Διὶ ἑστιώμενος, ἕνα ἕκαστον τῶν θεῶν μετὰ πολλῆς φιλοφροσύνης ἠσπάζετο. Καὶ δὴ, τελευταίου εἰσελθόντος τοῦ Πλούτου, κατὰ τοῦ ἐδάφους κύψας ἀπεστρέψατο αὐτόν. Ὁ δὲ Ζεὺς, θαυμάσας τὸ γεγονὸς, ἐπυνθάνετο αὐτοῦ τὴν αἰτίαν, δι' ἣν, πάντας τοὺς δαίμονας ἀσμένως προσαγορεύσας, μόνον τὸν Πλοῦτον ὑποβλέπεται. Ὁ δὲ εἶπεν, Ἀλλ' ἔγωγε διὰ τοῦτο αὐτὸν ὑποβλέπομαι, ὅτι παρ' ὃν καιρὸν ἐν ἀνθρώποις ἤμην, ἑώρων αὐτὸν ὡς ἐπὶ τὸ πλεῖστον τοῖς πονηροῖς συνόντα.

Οὕτω πολλοὶ, διὰ τὴν ἑαυτῶν ἀβουλίαν δυστυχοῦντες, τὴν αἰτίαν ἐπὶ τὸ θεῖον ἀναφέρουσιν.

192. ΙΑΤΡΟΣ ΑΤΕΧΝΟΣ.

Ιατρὸς ἦν ἄτεχνος. Οὗτος ἀῤῥώστῳ παρακολουθῶν, πάντων ἰατρῶν λεγόντων αὐτῷ μὴ κινδυνεύειν, ἀλλὰ χρονίσειν ἐν τῇ νόσῳ, οὗτος μόνος ἔφη αὐτῷ πάντα τὰ αὐτοῦ ἑτοιμάσαι· Τὴν αὔριον γὰρ οὐχ' ὑπερβήσῃ. Ταῦτα εἰπὼν ὑπεχώρησε. Μετὰ χρόνον δέ τινα, ἀναστὰς ὁ νοσῶν προῆλθεν, ὠχρὸς καὶ μόλις ζῶν. Ὁ δὲ ἰατρὸς ἐκεῖνος, συναντήσας αὐτῷ, Χαῖρε, ἔφη· πῶς ἔχουσιν οἱ κάτω; Κἀκεῖνος εἶπεν, Ἠρεμοῦσι, πιόντες τὸ τῆς λήθης ὕδωρ· πρὸ ὀλίγου δὲ ὁ θάνατος καὶ ὁ Ἅδης δεινὸν ἠπείλουν

τοὺς ἰατροὺς πάντας, ὅτι τοὺς νοσοῦντας οὐκ ἐῶσιν ἀποθνήσκειν, καὶ κατεγράφοντο πάντας. Ἔμελλον δὲ καὶ σὲ γράψαι· ἀλλ' ἐγὼ, προσπεσὼν αὐτοῖς, καὶ δυσωπήσας, ἐξωμοσάμην αὐτοῖς μὴ ἀληθῆ ἰατρὸν εἶναί σε, ἀλλὰ μάτην διαβληθῆναι.

Ὅτι τοὺς ἀπαιδεύτους καὶ ἀμαθεῖς καὶ κομψολόγους ἰατροὺς ὁ παρὼν μῦθος ἐλέγχει καὶ στηλιτεύει.

193. ΙΠΠΟΣ.

Γέρων ἵππος ἐπράθη πρὸς τὸ ἀλήθειν. Ζευχθεὶς δὲ ἐν τῷ μυλῶνι, στενάζων εἶπεν, ἐκ ποίων δρόμων εἰς οἵους καμπτῆρας ἦλθον.

Ὅτι μὴ λίαν ἐπαιρέσθω τις πρὸς τὸ τῆς ἀκμῆς ἢ τῆς δόξης δυνατόν· πολλοῖς γὰρ τὸ γῆρας ἐν κόποις ἀνηλώθη.

ΑΛΛΩΣ.

Ἵππον ἐλύπει τὸ γῆρας, καὶ μύλον ἀντὶ μάχης ἐλάμβανεν. Ὡς δὲ ἀλήθειν ἀντὶ τοῦ πολεμεῖν ἠναγκάζετο, τὴν παροῦσαν ἐδάκρυε τύχην, τῆς δὲ πρώτης ἐμέμνητο, Ἐμοὶ, λέγων, ὦ μυλωρὲ, στρατεύεσθαι μὲν ὑπῆρχε πρότερον, κόσμος δὲ παντὶ περιέκειτο [τῷ] σώματι, καὶ θεραπεύων παρηκολούθουν τοῖς ἀνθρώποις· νῦν δὲ, οὐκ οἶδα ὅ, τι παθὼν, ἀντιλαμβάνω τὸν μυλῶνα τῆς μάχης. Καὶ ὁ μυλωρὸς πρὸς αὐτὸν, Ἐπίσχες, ἔφη, τὰ παλαιὰ θρυλλῶν· ἡ τύχη γὰρ θνητοῖς τὴν ἐφ' ἑκάτερα φέρειν οἶδε μεταβολήν.

194. ΙΠΠΟΣ, ΒΟΥΣ, ΚΥΩΝ ΚΑΙ ΑΝΘΡΩΠΟΣ.

Ἵππος καὶ βοῦς καὶ κύων, ὑπὸ ψύχους στενούμενοι, ἦλθον εἰς ἀνθρώπου τινὸς οἰκίαν. Ὁ δὲ, δεξάμενος αὐτοὺς, καὶ πῦρ ἀνάψας, ἔθαλψε· καὶ τῷ μὲν ἵππῳ κριθὰς παρετίθει, τῷ δὲ

ταύρῳ ἄχυρα, τῷ δὲ κυνὶ τὰ ἐπὶ τῆς τραπέζης ἐδίδου. Διὰ δὲ τὴν τοιαύτην φιλοξενίαν ἀντημείψαντο αὐτῷ χάριτας, μερίσαντες καὶ χαρισάμενοι αὐτῷ τῶν ἐτῶν, ἀφ' ὧν ἔζων. Καὶ ὁ μὲν ἵππος εὐθὺς τοὺς πρώτους χρόνους· διὰ τοῦτο ἕκαςος θερμὸς καὶ γαῦρός ἐςι τῇ γνώμῃ. Ὁ δὲ βοῦς μετ' αὐτὸν τοὺς μέσους χρόνους· διὰ τοῦτο μοχθηρὸς καὶ φιλεργός ἐςι πλοῦτον ἀθροίζων. Τρίτον δὲ ὁ κύων τοὺς τελευταίους χρόνους· διὰ τοῦτο πᾶς γηράσκων δύσκολός ἐςι τῇ γνώμῃ, καὶ τὸν διδόντα μόνον τροφὴν ἀγαπᾷ, καὶ σαίνει καὶ ἐπιχαίρει, τοῖς δὲ μὴ διδοῦσι καθυλακτεῖ καὶ καθάπτεται.

Ὅτι τινὲς τῶν ἀνθρώπων, φαῦλοι ὄντες καὶ κακοὶ, μόνους εἰώθασι φιλεῖν τοὺς διατρέφοντας αὐτούς.

195. ΙΠΠΟΣ ΚΑΙ ΙΠΠΟΚΟΜΟΣ.

Κριθὴν τὴν τοῦ ἵππου *ὁ* ἱπποκόμος κλέπτων καὶ πωλῶν, τὸν ἵππον ἔτριβε καὶ ἐκτένιζε πάσας ἡμέρας. Ἔφη δὲ ὁ ἵππος· Εἰ θέλεις ἀληθῶς καλὸν εἶναί με, τὴν κριθὴν τὴν τρέφουσαν μὴ πώλει.

Ὅτι οἱ πλεονέκται τοῖς πιθανοῖς λόγοις καὶ ταῖς κολακείαις τοὺς πένητας δελεάζονται, καὶ ἀποςεροῦσιν αὐτοὺς καὶ τῆς ἀναγκαίας χρείας.

196. ΚΑΜΗΛΟΣ, ΕΛΕΦΑΣ ΚΑΙ ΠΙΘΗΚΟΣ.

Τῶν ἀλόγων ζώων βουλομένων βασιλέα ἑαυτῶν ἑλέσθαι τινὰ, κάμηλος καὶ ἐλέφας καταςάντες ἐφιλονείκουν, καὶ διὰ τὸ μέγεθος τοῦ σώματος, καὶ διὰ τὴν ἰσχὺν, ἐλπίζοντες πάντων προκρίνεσθαι. Πίθηκος δὲ ἔφη ἀμφοτέρους ἀνεπιτηδείους εἶναι· τὴν μὲν κάμηλον, διότι χολὴν οὐκ ἔχει κατὰ τῶν ἀδικούντων·

τὸν δὲ ἐλέφαντα, ὅτι Δέος ἐςὶ μὴ αὐτοῦ βασιλεύοντος χοιρίδια ἡμῖν ἐπιτιθῶνται (1).

Ὅτι τὰ μέγιςα τῶν πραγμάτων διὰ μικρὰν αἰτίαν τοῦ προσδοκωμένου κωλύονται.

197. ΚΑΜΗΛΟΣ ΚΑΙ ΖΕΥΣ.

Κάμηλος, θεασαμένη ταῦρον ἐπὶ κέρασιν ἀγαλλόμενον, φθονήσασα αὐτῷ, ἐβουλήθη καὶ αὐτὴ τῶν ἴσων ἐφικέσθαι. Διόπερ παραγενομένη πρὸς τὸν Δία, τούτου ἐδεήθη ὅπως αὐτῇ κέρατα προσνείμῃ. Καὶ ὁ Ζεὺς, ἀγανακτήσας κατ' αὐτῆς, εἴγε μὴ ἀρκεῖται τῷ μεγέθει τοῦ σώματος καὶ τῇ ἰσχύϊ, ἀλλὰ περισσοτέρων ἐπιθυμεῖ, οὐ μόνον αὐτῇ κέρατα οὐ προσέθηκεν, ἀλλὰ καὶ μέρος τι τῶν ὤτων ἀφείλετο.

Πολλοὶ διὰ πλεονεξίαν τοῖς ἀλλοτρίοις φθονοῦντες, λανθάνουσι καὶ τῶν ἰδίων ςερούμενοι.

ΑΛΛΩΣ.

Εἶδεν εἰς ταῦρον ἡ κάμηλος, καὶ κεράτων ἐπεθύμει μεταλαβεῖν. Προσελθοῦσα οὖν τῷ Διὶ κερῶν ᾔτει τυχεῖν. Ὁ δὲ, τῆς ἀπληςίας μισήσας, Ἑρμῇ κελεύει προσαφελέσθαι τῶν ὤτων. Ὅθεν καμήλῳ ταῦτα τοῦ λοιποῦ καταδεέςερα σώματος.

Ὁ πλειόνων ἐρῶν καὶ τῶν προσόντων ἀποςερεῖται.

ΑΛΛΩΣ.

Κυρτὴ Θεὸν Κάμηλος ἐζήτει κέρα.
Ἣν ἐξεμυκτήρισε τῆς ἀβουλίας·

(1) Ὀρρωδεῖν γὰρ ἐλέφαντα χοίρου βοὴν, ὁμολογοῦσι τοῖς πάλαι (Αἰλιαν. Περὶ ζώων ἰδιότ. Α, λή) οἱ νεώτεροι τῆς φυσικῆς ἱςορίας συγγραφεῖς.

Ζημοῖ γὰρ αὐτὴν λοιπὸν ὦτα καὶ κάραν,
Ὡς ἄν γε παντάπασιν αἰσχίςη πέλῃ.

Ὅτι δεῖ παρὰ τοῦ θεοῦ αἰτεῖν τα προσήκοντα.

ΑΛΛΩΣ (1).

ΚΑΜΗΛΟΣ ΚΕΡΑΤΩΝ ΕΦΙΕΜΕΝΗ.

Κάμηλος κεράτων ἐφιεμένη, ἐδέετο τοῦ Διὸς ἑαυτῇ ταῦτα προσγενέσθαι. Ὁ δὲ Ζεὺς, ὀργισθεὶς μᾶλλον ἐπὶ τῇ αὐτῆς ἀπληςίᾳ, καὶ τὰ αὐτῆς ὦτα ἠλάττωσεν.

Ὁ μῦθος δηλοῖ, ὡς οἱ τοῦ πλείονος ὀρεγόμενοι καὶ ὧν ἔχουσιν ἀποςεροῦνται.

198. ΚΑΝΘΑΡΟΙ ΔΥΟ.

Ἔν τινι νησιδίῳ ταῦρος ἐνέμετο. Τῇ δὲ τούτου κόπρῳ κάνθαροι ἐτρέφοντο δύο. Καὶ δὴ, τοῦ χειμῶνος ἐφιςαμένου, ὁ εἷς ἔλεγε πρὸς τὸν ἄλλον, ὡς ἄρα βούλοιτο εἰς τὴν ἤπειρον διίπτασθαι, ἵνα ἐκείνῳ μόνῳ ὄντι ἱκανὴ ἡ τροφὴ γένηται. Ἔλεγε δὲ, ὅτι ἐὰν πολλὴν εὕρῃ τὴν νομὴν, καὶ αὐτῷ οἴσειν. Παραγενόμενος δὲ εἰς τὴν χέρσον, καὶ καταλαβὼν μὲν πολλὴν κόπρον, ὑγρὰν δὲ, μένων ἐνταῦθα ἐτρέφετο. Τοῦ δὲ χειμῶνος διελθόντος, πάλιν εἰς τὴν νῆσον διέπτη. Ὁ δὲ ἕτερος, θεασάμενος αὐτὸν λιπαρὸν, ᾐτιᾶτο αὐτὸν, διότι, ὑποσχόμενος αὐτῷ, οὐδὲν ἐκόμισεν. Ὁ δὲ εἶπε, Μὴ ἐμὲ μέμφου, τὴν δὲ φύσιν τοῦ τόπου· ἐκεῖθεν γὰρ τρέφεσθαι μὲν οἷόν τε, φέρεσθαι δὲ οὐδέν.

Ὁ λόγος εὔκαιρος πρὸς τοὺς διὰ φθόνον κρείττοσιν ἁμιλλωμένους, εἶτα ἐκ τούτου σφαλλομένους.

---

(1) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. νθ'.

199. ΚΑΡΥΑ.

Καρύα τὶς, ἐν ὁδῷ ἱςαμένη, καρπὸν ἔφερε πολύν. Οἱ δὲ παροδῖται λίθοις καὶ βάκλοις κατέκλων διὰ τὰ κάρυα. Ἡ δὲ οἰκτρὸν ἔφη, Ὦ ἀθλία ἐγὼ, ὅτι οὓς τῷ καρπῷ μου εὐφραίνω, ὑπὸ τούτων δεινὰς ἀντιλαμβάνω χάριτας.

Ὅτι τοὺς ἀχαρίςους καὶ κακούργους, τοὺς ἀντὶ ἀγαθῶν κακὰ ἀντιδιδόντας, ὁ μῦθος ἐλέγχει.

200. ΚΙΧΛΑ.

Ἔν τινὶ μυρσινῶνι κίχλα ἐνέμετο. Διὰ δὲ τὴν γλυκύτητα τοῦ καρποῦ οὐκ ἀφίςατο. Ἰξευτὴς δὲ, παρατηρησάμενος ἐμφιλοχωροῦσαν, συνέλαβε. Καὶ δὴ, μέλλουσα ἀναιρεῖσθαι, ἔφη, Δειλαία εἰμὶ, ἥτις διὰ τροφῆς γλυκύτητα ζωῆς ςερίσκομαι.

Πρὸς ἄνδρα ἄσωτον, δι' ἡδυπάθειαν ἀπολωλότα, ὁ λόγος εὔκαιρος.

201. ΚΟΛΟΙΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.

Κολοιὸς λιμώττων ἐπί τινος συκῆς ἐκάθισεν. Εὑρὼν δὲ τοὺς ὀλύνθους μηδέπω πεπείρους, προσέμενεν ἕως σῦκα γένωνται. Ἀλώπηξ δὲ, θεασαμένη αὐτὸν ἐγχρονίζοντα, καὶ τὴν αἰτίαν μαθοῦσα, ἔφη πρὸς αὐτόν· Ἀλλὰ πεπλάνησαι, ὦ οὗτος, ἐλπίδι προσέχων, ἥτις βουκολεῖν μὲν οἶδε, τρέφειν δὲ οὐδαμῶς.

Πρὸς ἄνδρα ἐν φιλονεικίαις φρεναπατούμενον ὁ λόγος εὔκαιρος.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

202. ΚΟΙΛΙΑ ΚΑΙ ΠΟΔΕΣ.

Κοιλία καὶ πόδες περὶ δυνάμεως ἤριζον. Παρ' ἕκαςα δὲ τῶν ποδῶν λεγόντων, ὅτι τοσοῦτον προέχουσι τῇ ἰσχύϊ, ὡς καὶ αὐτὴν τὴν γαςέρα βαςάζειν, ἐκείνη ἀπεκρίνατο, Ἀλλ' ὦ οὗτοι, ἐὰν μὴ τροφὴν ἐγὼ ὑμῖν παράσχοιμι, οὐδὲ ὑμεῖς βαςάζειν δυνήσεσθε (1).

Οὕτω καὶ ἐπὶ τῶν ςρατευμάτων μηδὲν εἶναι τὸ πλῆθος, ἐὰν μὴ οἱ ςρατηγοὶ ἄριςα φρονῶσιν.

ΑΛΛΩΣ (2).

ΓΑΣΤΗΡ ΚΑΙ ΠΟΔΕΣ.

Ἀνδρός τινος ἡ γαςὴρ τοῖς ἑαυτοῦ ποσὶ περὶ ἰσχύος διεφέρετο. Οἱ μέντοι πόδες ἔλεγον τῇ γαςρί, ὡς Ἡμεῖς σοῦ ἐσμὲν ἰσχυρότεροι, ἅτε δὴ καὶ διαβαςῶντές σε. Ἡ δὲ γαςὴρ τοῖς ποσὶν ἀντέφησεν, ὡς Εἰ μὴ ἐγὼ τὰς βρώσεις ἐδεχόμην, ὑμεῖς ἂν ἀδυνάτως ὅλως ςῆναι εἴχετε.

Ὁ μῦθος δηλοῖ, ὡς καὶ ἅπαν ςράτευμα πρὸς τὴν μάχην ἀδόκιμον γίνεται, εἰ μὴ πρότερον ὑπὸ τοῦ ςρατηλάτου γυμνάζοιτο καὶ παραθαῤῥύνοιτο.

---

(1) Τούτου μνημονεύει τοῦ μύθου καὶ Μάξιμος ὁ Τύριος (Λόγ. έ), λέγων· « Δυσχεράνας ὁ ποὺς τῷ ἄλλῳ σώματι, καὶ ἀπαγορεύσας πρὸς » τὸν κάματον, φέρων καὶ αἰωρῶν μετέωρον τοσοῦτον ἄχθος, σχολὴν » ἄγειν καὶ ἡσυχίαν ἐπανείλετο κ. τ. λ. ».

(2) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. λέ.

ΑΛΛΩΣ (1).

ΓΑΣΤΗΡ ΚΑΙ ΤΑ ΛΟΙΠΑ ΜΕΛΗ.

Τὰ μέρη τοῦ ἀνθρωπείου σώματος, καθ' ἓν γενόμενα τἄλλα, πρὸς τὴν γαςέρα μόνην ἐςασίασαν. Καὶ ἔλεγον, οἱ μὲν πόδες, ὅτι πᾶν ἐπ' αὐτοῖς τὸ σῶμα ἐπίκειται· αἱ δὲ χεῖρες, ὅτι τὰς τέχνας ἐργάζονται, καὶ τὰ ἐπιτήδεια ἐκπορίζουσι, καὶ μάχονται πολεμίοις, καὶ ἄλλα πολλὰ ὠφελήματα παρέχουσιν εἰς τὸ κοινόν· οἱ δ' ὦμοι, ὅτι τὰ ἄχθη πάντα ἐπ' αὐτοῖς κομίζεται· τὸ δὲ ςόμα, ὅτι φθέγγεται· ἡ δὲ κεφαλὴ, ὅτι ὁρᾷ καὶ ἀκούει, καὶ τὰς ἄλλας αἰσθήσεις περιλαβοῦσα ἁπάσας ἔχει, δι' ὧν σώζεται τὸ πρᾶγμα (ἴσ. γρ. Πλήρωμα). Σὺ δ', ὦ χρηςὴ, τί τούτων ποιεῖς; ἢ τίς ἐςιν ἡ σὴ χάρις ἡμῖν καὶ ὠφέλεια; Ἀλλὰ σύ γε τοσοῦτον ἀπέχεις τοῦ πράττειν καὶ συγκατορθοῦν ἡμῖν τῶν τι κοινῇ χρησίμων, ὥςε καὶ ἀντιπράττεις καὶ ἐνοχλεῖς, καὶ εἶ πρᾶγμα ἀφόρητον, ὑπηρετεῖν ἀναγκάζουσα, καὶ φέρειν ἁπανταχόθεν εἰς τὴν ἐκπλήρωσιν τῶν σεαυτῆς ἐπιθυμιῶν. Φέρε, τί οὐ μεταποιούμεθα τῆς ἐλευθερίας, καὶ τῶν πολλῶν ἀφιέμεθα πραγματειῶν; ἃς ἕνεκα ταύτης ὑπομένομεν. . . Καὶ ἡ γαςὴρ πρὸς ταῦτα· Ἀλλ' ἐγὼ, φησὶν, ἡ ὑφ' ὑμῶν λοιδορουμένη, ἅπαν τὸ σῶμα τρέφω, τρεφομένη, καὶ σώζω, σωζομένη· καὶ εἰμὶ ὡσεί τις ἑςίασις κοινὴ, τὸ πρόσφορον ἁπάντων καὶ τῆς διαμονῆς αἴτιον ἀποδιδοῦσα.

---

(1) Ἐκ Διονυσίου τοῦ Ἀλικαρνασσέως (Ῥωμ. Ἀρχαιολογ. ς', πς')· Τούτῳ δ' ἂν τῷ μύθῳ προσάψαις ἐπιμύθιον τοδί· « Οὕτω καὶ » τῶν πολιτῶν ἐπίψογοι οἱ, διὰ τὸν πρὸς τοὺς ὑπερέχοντας φθόνον, » τῶν ἑαυτοῖς καθηκόντων ἀμελοῦντες. »

ΑΛΛΩΣ.

ΑΛΛΩΣ (1).

Τοῦ ἀνθρώπου τὰ μέλη πάντα πρὸς τὴν γαςέρα ςασιάσαι (φασί), καὶ κατηγορεῖν αὐτῆς, ὡς μόνης ἀργοῦ καὶ ἀσυμβόλου καθεζομένης ἐν τῷ σώματι· τῶν δ᾽ ἄλλων εἰς τὰς ἐκείνης ὀρέξεις πόνους τε μεγάλους καὶ λειτουργίας ὑπομενόντων. Τὴν δὲ γαςέρα τῆς εὐηθείας αὐτῶν καταγελᾷν, ἀγνοούντων ὅτι τὴν τροφὴν ἀπολαμβάνει μὲν εἰς ἑαυτὴν ἅπασαν, ἀναπέμπει δ᾽ αὖθις ἐξ αὐτῆς καὶ διανέμει τοῖς ἄλλοις.

203. ΚΟΛΟΙΟΣ ΚΑΙ ΠΟΙΜΗΝ.

Αετὸς, καταπτὰς ἀπό τινος ὑψηλῆς πέτρας, ἄρνα ἥρπασε. Κολοιὸς δὲ, τοῦτο θεασάμενος, διὰ ζῆλον τοῦτον μιμήσασθαι ἠθέλησε. Καὶ δὴ, καθεὶς ἑαυτὸν μετὰ πολλοῦ ῥοίζου, ἐπὶ κριὸν ἠνέχθη. Ἐμπαρέντων δὲ αὐτοῦ τῶν ὀνύχων τοῖς ἐκείνου μαλλοῖς, ἐξαρθῆναι μὴ δυνάμενος ἐπτερύσσετο, ἕως οὗ ὁ ποιμὴν, τὸ γεγονὸς αἰσθόμενος, προσδραμὼν συνέλαβεν αὐτόν. Καὶ περικόψας αὐτοῦ τὰ ὀξύπτερα, ὡς ἑσπέρα κατέλαβε, τοῖς ἑαυτοῦ παισὶν ἐκόμισε. Τῶν δὲ, πυνθανομένων, τι ἂν εἴη τὸ ὄρνεον, ἔφη, Ὡς μὲν ἐγὼ σαφῶς οἶδα, κολοιός· ὡς δὲ αὐτὸς βούλεται, ἀετός.

Οὕτως ὃς πρὸς τοὺς ὑπερέχοντας ἁμιλλᾶ, πρὸς τῷ μηδὲν ἀνύειν, καὶ ἐν ταῖς συμφοραῖς προσκτᾶται γέλωτα.

---

(1) Ἐκ τοῦ Πλουτάρχου (Κοριολάν. § 6). Ἐπιμυθεύσαις δ᾽ ἂν καὶ τούτῳ παραπλήσιόν τι, οἷον· « Τότε σώζεται πόλις, ὅτε καὶ τῶν ἀρ» χόντων καὶ τῶν ἀρχομένων ἕκαςος τὰ ἑαυτῷ καθήκοντα προθύμως » ἐπιτελεῖ. »

ΑΛΛΩΣ.

Αετὸς ἀρνίον ἁρπάσας, ἐντεῦθεν ἐτρέφετο. Κολοιὸς δέ τις ἑωρακὼς ἐνεχείρει τοῖς ἴσοις, καὶ καταπτὰς ἐπὶ ποίμνην, τῶν κριῶν ἐπειρᾶτο λαβεῖν τὸν μέγιςον· καὶ περιπαρεὶς τοῖς ἐρίοις τοὺς ὄνυχας, ἑάλω μᾶλλον, ἢ θηράσαι δεδύνηται.

Τὸ μεῖζον ἀεὶ τοῖς καταδεεςέροις καθέςηκε σφαλερόν.

ΑΛΛΩΣ.

Ἀρνὸν καταπτὰς ἀετὸς καθαρπάσας,
Ἰδὼν κολοιὸς, ἐν κριῷ πράττει τάδε.
Ὃν εἷλε ποιμήν. Παῖς δ᾽ ἐφώνει τοῦτό τι,
Ἐμοὶ κολοιὸς, ἀετὸς δ᾽ αὑτῷ πέλει.

Ὅτι οὐ δεῖ μιμεῖσθαι τοὺς κρείττονας.

ΑΛΛΩΣ. (1).

ΚΟΡΑΞ ΚΑΙ ΠΟΙΜΗΝ.

Κόραξ ἀετὸν ἐθεάσατο ἄρνα τῆς ποίμνης ἀφαρπάζοντα· καὶ ἠθέλησε δῆθεν τοῦτον ἐκμιμήσασθαι. Ἰδὼν δὲ ἐν τῇ ποίμνῃ κριὸν, ἐπειράθη τοῦτον ἁρπάσαι. Τῶν δὲ ὀνύχων αὐτοῦ τῷ τοῦ κριοῦ συσχεθέντων ἐρίῳ, φθάσας ὁ ποιμὴν, καὶ τοῦτον πλήξας, ἀπέκτεινεν.

Οὗτος ὁ λόγος δηλοῖ, ὡς ἀνίσχυρος ἀνὴρ, τῷ δυνατῷ ἑαυτὸν ἀφομοιῶσαι πειρώμενος, οὐ μόνον ἀσθενὴς εἶναι καὶ ἀφελὴς ἀπελέγχεται, ἀλλὰ καὶ κακῶς ἐξ ἀφροσύνης ἀποθνήσκει.

---

(1) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. θ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

204. ΚΟΡΑΞ ΚΑΙ ΑΛΩΠΗΞ.

Κόραξ, κρέας ἁρπάσας, ἐπί τινος δένδρου ἐκάθισεν. Ἀλώπηξ δὲ, τοῦτον θεασαμένη, βουλομένη δὲ *καὶ* τὸ κρέας ἁρπάσαι, ςᾶσα ἐπῄνει αὐτὸν ὡς εὐμεγέθη τε καὶ καλὸν, λέγουσα καὶ ὅτι πρέπει μάλιςα αὐτὸν τῶν ὀρνέων βασιλεύειν, καὶ τοῦτο πάντως ἂν γένοιτο, εἰ φωνὴν εἶχεν. Ὁ δὲ, βαλὼν τὸ κρέας, μεγάλα ἔκραγεν. Ἐκείνη δὲ προσδραμοῦσα ἔφη, Ὦ κόραξ, εἰ καὶ φρένας εἶχες, οὐδὲν [ἂν] ἐδέησέ σοι εἰς τὸ βασιλεύειν.

Ὅτι οὐ δεῖ τινα ὑπὸ τῶν κολάκων ἐπαίρεσθαι.

ΑΛΛΩΣ.

Κόραξ, κρέας ἁρπάσας, ἐπί τινος δένδρου ἐκάθισεν. Ἀλώπηξ δὲ, τοῦτον ἰδοῦσα, καὶ βουληθεῖσα περιγενέσθαι τοῦ κρέατος, ςᾶσα κάτωθεν ἐπῄνει αὐτὸν, ὡς εὐμέγεθες καὶ καλὸν ὄρνεον, καὶ θηρευτικὸν, καὶ εὔμορφον, λέγουσα καὶ ὅτι, Ἥρμοζέ σοι βασιλέα εἶναι ὀρνέων, εἰ καὶ φωνητικὸς ὑπῆρχες· ἀλλ' ὢ ποῖον ὄρνεον καὶ ἄλαλον ὑπάρχεις. Ὁ δὲ κόραξ, ἀκούσας ταῦτα, καὶ χαυνωθεὶς τοῖς ἐπαίνοις, ῥίψας τὸ κρέας, μεγάλως ἐκεκράγει. Ἡ δ' ἀλώπηξ, δραμοῦσα καὶ λαβοῦσα τὸ κρέας, ἔφη πρὸς αὐτὸν, Ἔχεις κόραξ ἅπαντα, νοῦς δέ σε λείπει.

Ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ τινα ὑπὸ τῶν κολάκων ἀπατᾶσθαι· πολλάκις γὰρ βλάβη αὐτοῖς ἐκ τούτων γίνεται.

ΑΛΛΩΣ.

Τῷ κόρακι τὸ θήραμα τυρὸς ἦν, καὶ ἐν μετεώρῳ φέρων ἐκάθητο. Ἰδοῦσα δὲ ἀλώπηξ, ἀπάτῃ περιενόςει τὸν κόρακα· Τί ταῦτα; λέγουσα· μετριότητι μὲν, ὦ κόραξ, διενήνοχες σώματος, χροιὰν δὲ φέρεις τῇ τῶν ὀρνίθων ἡγεμονίᾳ προσήκουσαν· εἰ

I 2

δὲ [καὶ] φωνὴ παρῆν, ἅπασαν [ἂν] εἶχες τὴν τῶν ὀρνίθων ἀρχήν. Ταῦτα δὲ εἶπε πρὸς ἀπάτην. Ὁ δ', ὑπαχθεὶς, τὸν τυρὸν ἐκβαλὼν, ἀνέκραγε μέγιστον, φωνῆς ἐπίδειξιν τὴν ἀφαίρεσιν ποιῶν τοῦ θηράματος. Ἡ δὲ, λαβοῦσα, Φωνὴ μὲν, ὦ κόραξ, εἶπε, προσῆν, ὁ δὲ νοῦς ἐπιλέλοιπεν.

Ἐχθροῖς πειθαρχῶν ὑποστήσῃ τὴν βλάβην.

ΑΛΛΩΣ.

Τυρὸν κόραξ ἔδακνε· κερδὼ δ' ἠπάτα·
Εἰ γλῶσσαν εἶχες, Ζηνὸς ἦς ὄρνις μέγας.
Εὐθὺς δ' ὁ τοῦτον ῥίψεν· ἡ δ' αὐτὸν φάγεν.
Ἔχεις κόραξ ἅπαντα, νοῦν κτῆσαι μόνον.

Πρὸς τοὺς ἐπὶ κολακείαις χαίροντας.

ΑΛΛΩΣ.

Μύθοις Αἰσώπου φέρεται τρώγων τυρόν τις κόραξ.
Λαβεῖν ποθοῦσα τὸν τυρὸν ἐκ τούτου δὲ ἀλώπηξ,
Φέρεται τούτῳ λέγουσα, Ὡς φρόνιμος εἶ κόραξ,
Καὶ εὐμεγέθης, καὶ καλὸς, καὶ πάντα τ' ἄλλα φέρων,
Ὅσα ὀρνέων ἔπρεπε κεκτῆσθαι βασιλέα·
Φωνῆς μόνης στερίσκῃ δὲ καὶ λείπῃ βασιλείας.
Ἀπατηθεὶς ὁ κόραξ δὲ τοῖς τῆς κερδοῦς ἐπαίνοις,
Βοᾷν γορὸν ἀπήρξατο, τὸν δὲ τυρὸν ἀφῆκεν.
Ἡ δὲ λαβοῦσα τὸν τυρὸν μεθόδοις εὐμηχάνοις,
Ἀφῆκε τοῦτον ἄπρακτα λαβράζειν τε καὶ κράζειν.

205. ΚΟΡΑΞ ΚΑΙ ΕΡΜΗΣ.

Κόραξ, ὑπὸ παγίδος κρατηθεὶς, ηὔξατο τῷ Ἀπόλλωνι λιβανωτὸν ἐπιθύσειν. Σωθεὶς δ' ἐκ τοῦ κινδύνου, τῆς ὑπο-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

σχέσεως ἐπελάθετο. Πάλιν δὲ ὑφ' ἑτέρας κρατηθεὶς παγίδος, ἀφεὶς τὸν Ἀπόλλωνα, τῷ Ἑρμῇ ὑπέσχετο θῦσαι. Ὁ δὲ πρὸς αὐτὸν ἔφη, Ὦ κάκιστε, πῶς σοι πιστεύσω, ὃς τὸν πρότερον δεσπότην ἤρνησας καὶ ἠδίκησας;

Ὅτι οἱ πρὸς τοὺς εὐεργετοῦντας ἀγνώμονες γενόμενοι, ἐν περιστάσει ἐμπεσόντες, οὐχ ἕξουσι βοήθειαν.

206. ΚΥΚΝΟΣ.

Τοὺς κύκνους φασὶ παρὰ τὸν θάνατον ᾄδειν. Καὶ δή τις, περιτυχὼν κύκνῳ πωλουμένῳ, καὶ ἀκούσας ὅτι εὐμενέστατον ζῶον, ἠγόρασε. Καὶ ἔχων ποτὲ σύνδειπνον, προσελθὼν παρεκάλει αὐτὸν ᾆσαι [παρὰ] τὸν πότον. Τοῦ δὲ, τότε μὲν ἡσυχάσαντος, ὕστερον δέ ποτε, ὡς ἐνόησεν ὅτι ἀποθνήσκειν ἔμελλε, θρηνοῦντος αὐτὸν, ὁ δεσπότης ἀκούσας ἔφη, Ἀλλ', εἰ σὺ οὐκ ἄλλως ᾄδεις, ἐὰν μὴ ἀποθνήσκῃς, ἐγὼ μάταιος ἤμην τότε, ὅτε σε παρεκάλουν, ἀλλ' οὐκ ἔθυον.

Οὕτω τινὲς τῶν ἀνθρώπων, ἃ μὴ βούλονται ἑκουσίως ποιεῖν, ἄκοντες ταῦτα ἐπιτελοῦσιν.

207. ΚΥΝΕΣ ΛΙΜΩΤΤΟΥΣΑΙ.

Κύνες λιμώττουσαι, ὡς ἐθεάσαντο ἔν τινι ποταμῷ βύρσας βρεχομένας, μὴ δυνάμεναι αὐτῶν ἐφικέσθαι, συνέθεντο ἀλλήλαις, ὅπως πρῶτον τὸ ὕδωρ ἐκπίωσιν, καὶ εἶθ' οὕτως ἐπὶ τὰς βύρσας παραγένωνται. Συνέβη δὲ αὐταῖς πιούσαις πρότερον διαῤῥαγῆναι, ἢ τῶν βυρσῶν ἐφικέσθαι (1).

Πολλοὶ, δι' ἐλπίδα κέρδους ἐπισφαλοῦς, μόχθους ὑφιστάμενοι, φθάνουσι πρῶτον καταναλισκόμενοι.

(1) Μνημονεύει τοῦ μύθου καὶ Πλούταρχος (Περὶ τῶν κοινῶν ἐννοιῶν § 19), «Οὐδὲν ἀπολείποντας τῶν κυνῶν, ἅς, φησὶν Αἴσωπος, δερμά-

ΑΛΛΩΣ (1).

ΛΥΚΟΙ ΚΑΙ ΑΝΗΡ.

Λύκοι τινὲς, ἔν τινι ποταμῷ δέρματα βοῶν ἑωρακότες, καὶ ταῦτα σπουδάζοντες ἐκεῖθεν ἀνελκύσαι, τῆς τοῦ ποταμοῦ πλημμύρας, βαθείας οὔσης, κατατολμῆσαι οὐκ ἠδύναντο. Ὅθεν ἐβουλεύσαντο καθ' ἑαυτοὺς πρότερον τὰ ὕδατα καταπιεῖν, καὶ εἶθ' οὕτως τὰ δέρματα φθάσαι καὶ ἀναλαβεῖν. Ἀνὴρ δέ τις ὑπολαβὼν ἔφη πρὸς αὐτούς· Εἰ ὅλως πειραθῆτε τὰ τοσαῦτα καταπιεῖν ὕδατα, εὐθὺς διασπασθέντες καὶ τῆς ζωῆς στερηθήσεσθε.

Ὁ μῦθος οὗτος ἐλέγχει τοὺς τοῖς ἀνηνύτοις ἐξ ἀφροσύνης ἐπιχειροῦντας.

208. ΚΥΩΝ.

Ὠά τις κύων καταπίνειν εἰθισμένος, ἰδὼν τινα κόχλον, χάνας τὸ στόμα αὐτοῦ, μεγίστῃ συνολκῇ καταπέπωκε τοῦτον, οἰηθεὶς ὠὸν εἶναι. Βαρούμενος δὲ τὰ σπλάγχνα, καὶ ὀδυνόμενος, ἔλεγε, Δίκαια ἔγωγε πέπονθα, εἴγε πάντα [τὰ] περιφερῆ ὠὰ πεπίστευκα.

Διδάσκει ἡμᾶς ὁ λόγος, ὅτι οἱ ἀδικάστως πρᾶγμα προσιόντες λανθάνουσιν ἑαυτοὺς περιπείροντες ἀτόποις.

» των τινῶν ἐμπλεόντων ἐφιεμένας, ὁρμῆσαι μὲν ἐκπίνειν τὴν θάλασσαν,
» ῥαγῆναι δὲ πρότερον ἢ τῶν δερμάτων λαβέσθαι. Καὶ γὰρ ἡμᾶς ὁ
» λόγος ἐλπίζοντας εὐδοκιμήσειν δι' αὐτοῦ καὶ τῇ ἀρετῇ προσοίσεσθαι,
» πρὶν ἐπ' ἐκείνην ἀφικέσθαι διέφθαρκε καὶ ἀπόλωλε (ἴσ. ἀπολώλεκε),
» πολλῆς ἀκράτου καὶ πικρᾶς κακίας προεμφορηθέντας ».

(1) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. ξά.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

209 ΚΥΩΝ ΚΡΕΑΣ ΦΕΡΟΥΣΑ.

Κύων, κρέας ἔχουσα, ποταμὸν διέβαινε. Θεασαμένη δὲ τὴν σκιὰν, κύνα ὑπέλαβε μεῖζον κρέας ἔχουσαν· διόπερ ἀφεῖσα τὸ ἴδιον, ὥρμησεν ὡς τὸ ἐκείνης ἀφαιρησομένη. Συνέβη δὲ αὐτὴν ἀμφοτέρων στερηθῆναι· τοῦ μὲν μὴ ἐφικομένην, διὸ μηδὲν ἦν, τοῦ δὲ, ὅτι ὑπὸ τοῦ ποταμοῦ κατεσύρετο.

Ὁ λόγος πρὸς ἄνδρα πλεονέκτην εὔκαιρος.

ΑΛΛΩΣ.

Κύων κρέας φέρων ποταμὸν διέβαινε. Θεασάμενος δὲ τὴν ἑαυτοῦ σκιὰν ἐπὶ τοῦ ὕδατος, ὑπέλαβεν ἕτερον κύνα εἶναι κρέας κατέχοντα· καὶ ἀφεὶς τὸ ἴδιον, ὥρμησε τὸ ἐκείνου λαβεῖν. Ἀπώλεσε δὲ ἀμφότερα· τὸ μὲν οὖν οὐκ ἦν, ὃ δὲ κατεῖχεν ὑπὸ τοῦ ῥεύματος κατεσύρετο.

Ὁ μῦθος πρὸς τοὺς πλεονεκτοῦντας, οἵ τινες πλειοτέρων ἐπιθυμοῦντες καὶ ἃ ἔχουσι προσαπολλύουσιν.

ΑΛΛΩΣ.

Κύων, παρὰ ποταμόν τινα φέρων κρέας, καὶ κατὰ τοῦ ὕδατος τὴν αὐτοῦ σκιὰν θεασάμενος, οἰηθεὶς ἕτερον εἶναι κύνα μεῖζον κρέας ἔχοντα, ὃ μὲν εἶχεν, ἀπέβαλεν, ἁλόμενος δὲ εἰς [τὸν] ποταμὸν, ὡς ἁρπάσων, ὑποβρύχιος ἐγένετο.

ΑΛΛΩΣ.

Φέρων ποταμοῦ πλησίον κύων κρέας,
Κύψας ἑαυτὸν ἄλλον εἰς ὕδωρ βλέπει.
Χανὼν δὲ λοιπὸν τοῦ κάτω λαβεῖν κρέας,
Ἀπεστερεῖτο καὶ τὸ οὗπερ ἐκράτει.

Ὅτι ὁ πλεονεκτῶν μᾶλλον ζημιοῦται.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΑΛΛΩΣ (1).

ΚΥΩΝ ΚΑΙ ΒΡΩΜΑ.

Κύων, ἁρπάσας βρῶμα ἐκ μακελλείου, ᾤχετο φυγὰς ἐκεῖθεν, καὶ ἔφθασεν ἐπί τινα ποταμόν. Περαιούμενος δὲ αὐτὸν, ὁρᾷ ἐν τοῖς ὕδασι τὴν τοῦ βρώματος σκιὰν, πολλῷ οὖσαν, οὗ ἔφερεν, εὐμεγεθέστερον. Καὶ τοῦ στόματος τὸ βρῶμα ἀποῤῥίψας, ἐπὶ τὴν ὁραθεῖσαν αὐτοῦ σκιὰν κατηπείγετο. Τῆς δὲ, ἀφανοῦς γενομένης, στραφεὶς ὁ κύων τὸ ἀποῤῥιφὲν ἆραι, οὐδὲν ἐφεῦρε τὸ σύνολον. Καὶ γὰρ ἐκεῖνο παρά τινος καταπτάντος κόρακος εὐθὺς ἡρπάγη, καὶ κατεβρώθη. Εἶτα ὁ κύων ἑαυτὸν ἐταλάνιζε, Τί ἄρα πέπονθα, λέγων, ὅτι, ὃ εἶχον, ἀφρόνως καταλιπὼν, ἐφ' ἕτερον ἀφανὲς ἠπειγόμην· κἀκείνου ἀποτυχὼν, καὶ τοῦ προτέρου ἐξέπεσον.

Ὁ μῦθος οὗτος ἐλέγχει τοὺς ἀκορέστως ἔχοντας καὶ τῶν περιττῶν ὀρεγομένους.

ΑΛΛΩΣ.

Κρέας ἁρπάσας τὶς κυνῶν, παρ' αὐτὴν διήει τὴν ὄχθην τινὸς ποταμοῦ· καὶ θεωρῶν τὴν σκιὰν διπλασίαν τοῖς νάμασιν, ὃ μὲν εἶχεν ἀφῆκε· πειρώμενος δὲ λαβεῖν τὸ μεῖζον, συνδιαμαρτάνει μετὰ τοῦ μετρίου τοῦ πλείονος.

210. ΚΥΩΝ.

Λάθρα κύων ἔδακνε. Τούτῳ δὲ ὁ δεσπότης κώδωνα ἐκρέμασεν, ὥστε πρόδηλον εἶναι τοῖς πᾶσιν. Οὗτος δὲ, τὸν κώδωνα σείων, ἐν τῇ ἀγορᾷ ἠλαζονεύετο. Γραῦς δὲ εἶπεν αὐτῷ, Κύων,

(1) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. κή.

τί φαντάζῃ; οὐ δι' ἀρετὴν τοῦτον φορεῖς, ἀλλὰ δι' ἔλεγχον τῆς κεκρυμμένης σου κακίας.

Ὅτι οἱ τῶν ἀλαζονευομένων κενόδοξοι τρόποι πρόδηλοί εἰσι, δηλοῦντες τὴν ἀφανῆ κακίαν.

211. ΚΥΩΝ ΚΑΙ ΑΛΩΠΗΞ.

Κύων θηρευτικὸς λέοντα ἰδὼν, τοῦτον ἐδίωκεν. Ὡς δὲ ἐπιστραφεὶς ἐκεῖνος ἐβρυχήσατο, ὁ κύων φοβηθεὶς εἰς τὰ ὀπίσω ἔφυγεν. Ἀλώπηξ δὲ θεασαμένη αὐτὸν, ἔφη, Ὦ κακὴ κεφαλὴ, σὺ λέοντα ἐδίωκες; οὗ τινος οὐδὲ τὸν βρυχηθμὸν ὑπήνεγκας.

Ὁ λόγος κατὰ ἀνδρῶν αὐθαδῶν, οἳ, κατὰ δυνατωτέρων συκοφαντεῖν ἐπιχειροῦντες, εἰς ὄψιν γενόμενοι, ἀναχαιτίζονται.

212. ΚΥΩΝ ΚΑΙ ΔΕΣΠΟΤΗΣ.

Ἔχων τὶς κύνα Μελιταῖον καὶ ὄνον, διετέλει τῷ κυνὶ προσπαίζων. Καὶ εἴποτε ἔξω δεῖπνον εἶχεν, ἐκόμιζέ τι αὐτῷ, καὶ προσιόντι παρέβαλλεν. Ὁ δὲ ὄνος, ζηλώσας, προέδραμεν αὐτὸς, καὶ σκιρτῶν ἐλάκτισε τὸν δεσπότην. Καὶ οὗτος, ἀγανακτήσας, ἐκέλευσε παίοντας αὐτὸν ἀγαγεῖν πρὸς τὸν μυλῶνα, καὶ τούτῳ [προσ]δῆσαι.

Οὗτος ὁ λόγος ἁρμόσειεν ἂν πρὸς ἐκείνους, οἳ τὰς φιλίας μέχρι ἑστιάσεως παρέχονται.

ΑΛΛΩΣ.

Ὄνος, θεασάμενος ἓν τῶν Μελιταίων κυνιδίων, ἀριστῶντι τῷ δεσπότῃ συγκατακείμενον, ἀλλόμενόν τε περὶ αὐτὸν, καὶ σκιρτῶν, καὶ σεῖον τὴν οὐρὰν, καί τι καὶ φώνημα τερπνὸν ὑποφθεγγόμενον, ἐφ' οἷς ἥδοντό τε καὶ κατεφίλουν αὐτὸ πάντες οἱ

σύνδειπνοι, μηδὲν μελλήσας, ἀλλ' εὐθὺς ἀναπηδήσας ἐπὶ τὴν κλίνην, ὠγκᾶτο, καὶ κατ' αὐτῶν ἥλλετο σείων τὴν οὐράν.

213. ΚΩΝΩΨ ΚΑΙ ΒΟΥΣ.

Κώνωψ ἐπὶ κέρατος βοὸς ἐκαθέσθη, καὶ ηὔλει. Εἶπε δὲ πρὸς τὸν βοῦν, εἰ βαρῶ σου τὸν τένοντα, ἀναχωρήσω. Ὁ δὲ ἔφη, Οὔτε, ὅτε ἦλθες, ἔγνων, οὔτε, ἐὰν μένῃς, μελήσει μοι.

Ὅτι τοὺς ἀκλεεῖς καὶ ἀδόξους καὶ μαχομένους τυράννοις ἐλέγχει ὁ λόγος.

ΑΛΛΩΣ (1).

Κώνωψ, ἐπιπτὰς κέρατι καμπύλῳ ταύρου,
Μικρόν τ' ἐπισχὼν, εἶπε ταῦτα βομβήσας·
Εἴ σου βαρύνω τὸν τένοντα καὶ κλίνω,
Καθεδοῦμ' ἀπελθὼν ποταμίαις ἐν αἰγείροις.
Ὁ δ', Οὐ μέλει μοι, φησὶν, οὔτ' ἐὰν μείνῃς,
Οὔτ' ἂν ἀπέλθῃς· οὐδ' ὅτ' ἦλθες ἐγνώκειν.

ΑΛΛΩΣ.

Κώνωψ καθῆςο πρὸς κέρας ταύρου πάλαι,
Ὅνπερ κέλευεν, εἴπερ ἐκπτῆναι θέλει.
Ἤκουσε δ', ὥσπερ οὐκ ἔγνω καθήμενον,
Οὕτω δὲ μὴ πτήσαντος αἴσθησιν λάβῃ.

Πρὸς τοὺς λογιζομένους ἑαυτοὺς εἶναι ἢ σοφοὺς, ἢ δυνατοὺς, ἢ φρονίμους, μὴ ὄντας δέ.

---

(1) Ἐκ τῆς τοῦ Τυρουΐττου συλλογῆς. Ἔςι δ' ἐκ τῶν τοῦ Βαβρίου μύθων.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΑΛΛΩΣ (1).

ΚΩΝΩΨ ΚΑΙ ΤΑΥΡΟΣ.

Κύνωψ τὶς ἐλθὼν ἐπὶ κέρατος ἔςη ταύρου τινὸς, πειρώμενος δῆθεν αὐτῷ ἄχθος ἐμποιήσασθαι. Τοῦ δὲ ταύρου παρ' οὐδὲν αὐτὸν λογιζομένου, βουλόμενος ὁ κώνωψ ἐξ αὐτοῦ ἀποπτῆναι, καὶ βιάζων αὐτὸν, ἔφη, ὡς Εἴπερ ἐπαχθής σοι πέφυκα, πετασθήσομαι ἀπὸ σοῦ. Ὁ δὲ ταῦρος φησὶ πρὸς τὸν κώνωπα· Οὔτε ἐλθόντος σου ᾐσθόμην, οὔτε ὑποχωροῦντά σε γνώσομαι.

Ὁ μῦθος οὗτος δηλοῖ, ὡς καὶ ἄνθρωποί τινες, εὐτελεῖς ἅμα καὶ ἄφρονες προδήλως τυγχάνοντες, δοκοῦσι καθ' ἑαυτοὺς τῶν ἐν τιμῇ τε καὶ συνέσει διαπρεπόντων ὑπάρχειν.

214. ΛΑΡΟΣ ΚΑΙ ΙΚΤΙΝΟΣ.

Λάρος ἰχθὺν καταπιὼν, καὶ τοῦ φάρυγγος αὐτοῦ διαῤῥαγέντος, ἐπὶ τῆς ἠϊόνος ἔκειτο νεκρός. Ἰκτῖνος δὲ, αὐτὸν θεασάμενος, ἔφη, Ἄξια σὺ πέπονθας, ὅτι πτηνὸς γεννηθεὶς, ἐπὶ θαλάσσης δίαιταν ἐποιοῦ.

215. ΛΕΑΙΝΑ ΚΑΙ ΑΛΩΠΗΞ.

Λέαινα, ὀνειδιζομένη ὑπὸ ἀλώπεκος, ἐπὶ τῷ διὰ παντὸς ἕνα τίκτειν, Ἕνα ἔφη, ἀλλὰ λέοντα.

Ὁ λόγος δηλοῖ, ὅτι τὸ καλὸν οὐκ ἐν πλήθει, ἀλλ' ἀρετῇ.

216. ΛΕΟΝΤΑ ΧΡΥΣΟΥΝ ΕΥΡΩΝ ΑΝΘΡΩΠΟΣ.

Δειλὸς καὶ φιλάργυρος, εὑρὼν λέοντα χρυσοῦν, ἑαυτῷ

(1) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. μζ'.

προσελάλει· Οὐκ οἶδα τίς γένωμαι ἐπὶ τοῖς παροῦσιν· ἐγὼ ἐκβέβλημαι τῶν φρενῶν, καὶ τί πράττειν οὐκ ἔχω· μερίζομαι φιλοχρηματίᾳ καὶ τῇ τῆς φρενὸς δειλίᾳ. Ποία γὰρ τύχη, καὶ τίς τῶν δαιμόνων χρυσοῦν εἰργάσατο λέοντα; Ἡ μὲν γὰρ ἐμὴ ψυχὴ πρὸς τὰ παρόντα ἑαυτῇ πολεμεῖ· ἀγαπᾷ μὲν τὸν χρυσὸν, δέδοικε δὲ τοῦ χρυσοῦ τὴν ἐργασίαν. Ὦ τύχης δηλούσης, καὶ μὴ λαβεῖν συγχωρούσης· ὦ θησαυρὸς ἡδονὴν οὐκ ἔχων· ὦ χάρις δαιμόνων ἄχρηστος γενομένη. Ποίῳ οὖν τρόπῳ νῦν χρήσωμαι; ἐπὶ ποίαν μηχανὴν ἔλθω; ἄπειμι τοὺς οἰκέτας δεῦρο κομίσων, λαβεῖν μὲν ὀφείλοντας τῇ πολυπληθείᾳ καὶ συμμαχίᾳ· κἀγὼ δὲ πόῤῥω ἔσομαι θεατής.

Ὁ λόγος δηλοῖ, ὅτι οὕτως καὶ τῶν ἀνθρώπων οἱ τοῖς φαύλοις ἐπιτηδεύμασιν ἐνδιατρίβοντες πονεῖν εἰώθασιν.

217. ΛΕΩΝ ΚΑΙ ΜΥΣ.

Λέοντος κοιμωμένου μῦς τῷ σώματι ἐπέδραμεν. Ὁ δὲ, ἐξαναστὰς, συνέλαβεν αὐτόν. [Ὁ δὲ] ἐδεήθη αὐτοῦ μὴ θῦσαι αὐτὸν, λέγων, ὅτι σωθεὶς πολλὰς χάριτας αὐτῷ ἀποδώσει. Γελάσας δὲ ἀπέλυσεν αὐτόν. Συνέβη δὲ αὐτὸν μετ' οὐ πολὺ τῇ τοῦ μυὸς χάριτι περισωθῆναι. Ἐπειδὴ γὰρ, συλληφθεὶς ὑπό τινων κυνηγῶν, καμήλῳ ἐδέθη ἐπί τινι δένδρῳ, τηνικαῦτα καὶ ὁ μῦς, αὐτοῦ ἀκούσας στένοντος, ἐλθὼν τὸν κάμηλον περιέτραγε, καὶ λύσας αὐτὸν, ἔφη, Σὺ δὲ οὕτω μου κατεγέλασας, ὡς μὴ προσδοκῶν ἀμοιβὴν παρ' ἐμοῦ κομίσασθαι· νῦν δ' εὖ ἴσθι ὅτι ἐστὶ καὶ παρὰ μυσὶ χάρις.

Ὅτι οἱ εὐνοοῦντες ἀνθρώπων, κἂν πένητες ὦσι, δύνανται ἐν καιρῷ καὶ δυνάστας ὠφελεῖν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

218. ΛΕΩΝ ΚΑΙ ΑΛΩΠΗΞ.

Λέων ποτὲ, καύματος ὥρᾳ, ἔν τινι σπηλαίῳ ἀνεπαύετο. Μυὸς δὲ διὰ τῆς χαίτης αὐτοῦ διαδραμόντος, ταραχθεὶς καὶ ἐξαναστὰς, φοβερὸν ἀπέβλεπε. Ἀλώπεκος δὲ καταγελώσης, εἶπεν, Οὐ τὸν μῦν ἐφοβήθην, ἀλλὰ τὴν κακὴν ὁδὸν καὶ συνήθειαν ἀνατρέπω (1).

Ὅτι τῇ κακῇ συνηθείᾳ οὐ δεῖ παρέχειν ἄδειαν· νομὴν γὰρ λαβοῦσα λύπην ἐσχάτην ποιεῖ.

ΑΛΛΩΣ.

Λέοντος ὑπνώττοντος, αὐχένος μέσον
Διέδραμεν μῦς· ὃς δ' ἀνέστη συντόμως.
Γελᾷ δ' ἀλώπηξ· καὶ λέων ἀπεκρίθη·
Οὐ μῦν πτοοῦμαι, τὴν ὁδὸν [δ'] ἀνατρέπω.

Ἀρχὰς ὕβρεων ἀναστέλλειν·

ΑΛΛΩΣ.

Τοῖς μύθοις τοῖς Αἰσώπου τε καὶ στίχοις τοῦ Βαβρίου
Λέων καθεύδων πλάττεται· οὗ μῦς δραμὼν αὐχένι
Ἐξ ὕπνου τοῦτον ἤγειρεν ἐντεθορυβημένον.

---

(1) Σουΐδας (λέξ. Φριξότριχα) ἐκ τοῦ Βαβρίου·

Κοιμωμένου λέοντος ἀγρίης χαίτης
Διέδραμε μῦς. Ὁ δὲ λέων ἐθυμώθη·
Φρίξας δὲ χαίτην ἔκθορε φωλάδος κοίλης.

Καὶ αὖθις (λέξ. Παλαμναῖος) ἐκ τοῦ αὐτοῦ·

[Ὁ δ'] Οὐχὶ τὸν μῦν, εἶπεν, ὦ παλαμναία,
Δέδοικα, μή μου τὴν δορὰν δάκοι φεύγων·
Χαίτην δ' ἔμελλε τὴν ἐμὴν καταισχύνειν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ἀλώπεκος γελώσης δὲ, ὁ λέων ἀπεκρίθη·
Οὐ μῦν πτοοῦμαι, τὴν δὲ ὁρμὴν ἐκτρέπω.

219. ΛΕΩΝ ΚΑΙ ΑΝΘΡΩΠΟΣ.

ΛΕΩΝ σὺν ἀνθρώπῳ ὥδευεν ὁμοῦ. Ἐν ὁδῷ [δὲ], ὁ μὲν ἄνθρωπος αὐχῶν ἔλεγε, Δυνατώτερον ζῶον ὁ ἄνθρωπος παρὰ τὸν λέοντα· ὁ δὲ λέων, Δυνατώτερον ζῶον ὁ λέων παρὰ τὸν ἄνθρωπον. Καὶ ὁδευόντων αὐτῶν, ἐδείκνυεν ὁ ἄνθρωπος τὰς γεγλυμμένας ϛήλας, ἃς οἱ ἄνθρωποι ἔγλυφον, καὶ ἐποίουν λέοντας ὑποτασσομένους *καὶ* ὑποκάτω τῶν ἀνθρώπων. Ὁ δὲ λέων ἔφη, Εἰ ᾔδεσαν λέοντες γλύφειν, πολλοὺς ἀνθρώπους ἂν εἶδες ὑποκάτω λεόντων.

Ὅτι εἰσί τινες, οἳ ἐν οἷς οὐ δύνανται καυχῶνται.

ΑΛΛΩΣ.

Εἰς ἔριν ἀλλήλοις ἀνήρ τε καὶ λέων προῆλθον· καὶ ὁ μὲν ἀνὴρ τὸ τῶν ἀνθρώπων κρεῖττον ἀπέφηνε γένος, ὁ δὲ τοῖς λέουσιν ἐδίδου τὸ πλέον. Ἁμιλλωμένων δὲ περὶ τοῦ κρείττονος, πίϛιν ὁ ἀνὴρ ἐξ εἰκόνος ἐλάμβανεν, ἐν ᾗ λέων ἐγέγλυπτο ἐξ ἀνδρὸς ἁλισκόμενος. Καὶ πρὸς ἐκεῖνον ὁ λέων, Εἰ *δὲ* καὶ παρ' ἡμῖν ἦσαν οἱ γλύφοντες, πλείους ἂν εἶδες ἑαλωκότας ἐκ λεόντων ἀνθρώπους, ἢ παρὰ ἀνθρώπων λέοντας.

Ὁ τοῖς ἴσοις δικαίως χρώμενος οὐκ ἀπορήσει τῆς νίκης.

ΑΛΛΩΣ.

Ἀνδρὸς ποσὶν πατεῖτο πέτρινος λέων.
Καί τις λέων φησί, Τὴν ἰσχὺν βλέπεις;
Ἀλλ', Εἰ λέοντες, εἶπεν, ᾔδεισαν γλύφειν,
Πολλοὺς ἂν εἶδες ὄντας ἀνθρώπους λίθους.

Ὅτι ἐπ' ἀρετῇ οὐ δεῖ σεμνύνεσθαι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΑΛΛΩΣ.

Λέων, ἰδὼν λέοντα ὑπ' ἀνδρὸς ἀγχόμενον ἐν γραφῇ, εἶπεν, Καὶ ἡμεῖς εἰ ᾔδειμεν γράφειν, ἢ πλάσσειν, ἔμπαλιν ἂν οἱ ἄνθρωποι ἐτίθεντο ἀγχόμενοι ὑπὸ λεόντων.

220. ΛΕΩΝ ΚΑΙ ΓΕΩΡΓΟΣ.

Λέων εἰς γεωργοῦ ἔπαυλιν εἰσῆλθεν. Ὁ δὲ, συλλαβεῖν αὐτὸν βουλόμενος, τὴν αὔλειον θύραν ἔκλεισεν. Ὁ δὲ, ἐξελθεῖν μὴ δυνάμενος, πρῶτον μὲν τὰ ποίμνια διέφθειρεν, ἔπειτα δὲ καὶ ἐπὶ τὰς βόας ἐτράπη. Καὶ ὁ γεωργὸς, φοβηθεὶς περὶ ἑαυτοῦ, τὴν θύραν ἀνέῳξε. Τοῦ δὲ λέοντος ἐξελθόντος, θεασαμένη ἡ γυνὴ τὸν ἄνδρα στενάζοντα καὶ λυπούμενον, εἶπεν, Ἀλλά γε σὺ δίκαια πέπονθας· τί γὰρ τοῦτον συνέκλεισας; ὃν καὶ μακρόθεν ἔδει σε φεύγειν.

Οὕτως οἱ τοὺς ἰσχυροτέρους διερεθίζοντες εἰκότως τὰς ἐξ αὐτῶν πλημμελείας ὑπομένουσιν.

221. ΛΕΩΝ ΚΑΙ ΓΕΩΡΓΟΣ.

Λέων, ἐρασθεὶς θυγατρὸς γεωργοῦ, ταύτην ἐμνηστεύσατο. Ὁ δὲ, μὴ ἐκδοῦναι θηρίῳ τὴν θυγατέρα βουλόμενος, μηδὲ ἀρνεῖσθαι διὰ τὸν φόβον δυνάμενος, τοιοῦτον ἐπενοεῖτο. Ἔλεγεν οὖν, νυμφίον μὲν αὐτὸν ἄξιον τῆς θυγατρὸς δοκιμάζειν, μὴ ἄλλως δὲ δύνασθαι ἐκδοῦναι, ἐὰν μὴ τοὺς ὀδόντας ἐξέλῃ, καὶ ἐκτέμῃ τοὺς ὄνυχας· τούτους γὰρ δεδοικέναι τὴν κόρην. Τοῦ δὲ, ῥᾳδίως διὰ τὸν ἔρωτα ἑκάτερα ὑπομείναντος, ὁ γεωργὸς,

καταφρονήσας αὐτοῦ, ὡς παρεγένετο πρὸς αὐτὸν, ῥοπάλοις αὐτὸν παίων ἐξήλασεν.

Ὁ λόγος δηλοῖ, ὅτι οἱ τοῖς ἐχθροῖς ῥᾳδίως πιστεύοντες, ὅταν τῶν ἰδίων πλεονεκτημάτων παραγυμνῶσιν ἑαυτοὺς, *αἰχμάλωτοι μᾶλλον καὶ* εὐάλωτοι τούτοις γίνονται, οἷς πρότερον φοβεροὶ καθεστήκεσαν.

ΑΛΛΩΣ.

Λέων ἐρασθεὶς θυγατρὸς γεωργοῦ, ταύτην μνηστευθῆναι ἠβούλετο. Ἐπέκειτο δὲ ἐκθεάζων τὸν πατέρα αὐτοῦ· καὶ ὁ λέων ἠπείλει αὐτῷ. Ὁ δὲ, μὴ δυνάμενος διὰ τὸν φόβον παρακοῦσαι, ἐπενόησεν ἐμφρόνως, καὶ φησὶ πρὸς τὸν λέοντα, Οὐ δύναμαί σοι δοῦναι τὴν ἐμὴν θυγατέρα, ἐὰν μὴ τοὺς ὀδόντας καὶ τοὺς ὄνυχας ἐξέλῃς· ταῦτα γὰρ ἡ κόρη δέδοικε. Ὁ δὲ εὐθέως διὰ τὸν ἔρωτα ἑκάτερα ῥᾳδίως ἐξέβαλε, καὶ ἀπελθὼν κατὰ τὸ σύνηθες τὴν κόρην ἐζήτει. Ὁ δὲ γεωργὸς, καταφρονήσας αὐτοῦ, ῥοπάλοις αὐτὸν ἐδίωξεν.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ τοῖς ἐχθροῖς ὑπακούοντες εὐάλωτοι τούτοις γίνονται.

ΑΛΛΩΣ.

Ἁλίσκεταί ποτε καὶ λέων ὑπὸ κάλλους, καὶ κόρης ἐρᾷ. Καὶ δὴ πρόσεισι τῷ πατρὶ, καὶ λόγους πρὸς γάμον συνάπτει. Θηρῶν μὲν ἄρχω, φησὶν, ἄνδρας δὲ οὐδ᾽ ἂν τὴν ἀρχὴν τρέσαιμι. Ἐγὼ καὶ λαγωὸν ὑπὸ τάχους εἷλον, καὶ κύνας ἐφόβησα· ἐγὼ καὶ ταῦρον ἐπέσχον μυκώμενον, καὶ ἵππον κατέσχον, μικροῦ τοῖς ποσὶν ἱπτάμενον. Ἔχεις ἕδνα τῆς κόρης, τὴν ῥώμην, τὸ κάλλος, τὸ τάχος, τὰς ὁσημέραι θήρας. Ταῦτα πλουτήσεις, εἰ μόνον κηδεστὴς ἐθελήσεις ἀκοῦσαι λέοντος. Ὁ δὲ, οἷς μὲν ἐδεδίττετο, τοὺς λόγους προσίεται, καὶ τὸν γάμον οὐκ ἀνένευσε μὲν, ἀνεβάλετο δέ· οἷς δ᾽ ἀπηχθάνετο, τοῦ θηρὸς περιελεῖν τὰ ὅπλα σοφίζεται· Ἀλλ᾽ ἐγὼ μὲν, φησὶν, ὁ πατὴρ, καὶ τοῦ κάλλους ἄγαμαι,

μαι, καὶ τῆς ῥώμης ἀποθαυμάζω, καὶ ὡς ἕδνα ταῦτα δέχομαι· καὶ τὸν νυμφίον εἰς οὐδὲν ὅ, τι καὶ μέμφομαι. Ἀλλ' ἡ κόρη παῖς ἐστιν ἁπαλὴ, καὶ τὸ ὅλον γυνή· πεφόβηται· ἂν ἴδῃ τοὺς ὄνυχας, οὐκ ἀνέχεται· ὀξεῖς γάρ εἰσὶ, συνεχεῖς εἰσι, φοβοῦσι καὶ μόνον φαινόμενοι. * Καὶ * ταῦτα καὶ τὸ σὸν χαροπὸν ἀγριαίνουσι. Ταῦτα καὶ τὴν κόρην δειλαίνουσι, καὶ τὸν γάμον ἀπείργουσιν. Ἂν σὺ τοὺς ὄνυχας ἐξέλῃς, καὶ ἡ κόρη συνεξελεῖ τῆς ψυχῆς τὸ φοβούμενον. Ἂν καὶ σὺ τοὺς ὀδόντας ἐκκόψῃς, κἀκείνη συνεκκόψει τὸ δέος. Αὐτός μοι μόνον τὸ δέος περίελε, καὶ περίσωζε τὸ χαροπὸν ἀκραιφνές· καὶ τάχα σε καὶ ἡ κόρη οὐκ ἐκφεύξεται. Ταῦτα ὁ μὲν εἰς ἐπιβουλὴν καὶ δόλον ἔλεγεν· ὁ δ' ἀβασανίστως ἐδέχετο. Τυφλὸς γὰρ ἅπας ἐρῶν, καὶ ἀπροβούλευτος. Ἐντεῦθεν ὁ μὲν τὴν τῆς φύσεως πανοπλίαν ἀποδύεται. Ὁ δὲ τῆς κόρης πατὴρ ἐπιπηδᾷ τῷ δῆθεν νυμφίῳ θρασύτερον, καταγελῶν τῆς ἀσθενείας ἅμα καὶ τῆς ἀνοίας, ὃν οὐδὲ προσβλέπειν ἐθάῤῥει τὸ πρότερον.

Μὴ πείθου, παῖ, τοῖς ἐχθροῖς ἑτοιμότερον· μὴ καὶ γένῃ τούτοις εὐάλωτος, οἷς τὸ πρὶν ἐδόκεις ἀνάλωτος.

ΑΛΛΩΣ.

Φασὶν ἐρασθέντα λέοντα παρθένου, διαλεχθῆναι τῷ πατρὶ τῆς κόρης ὑπὲρ τοῦ γάμου. Τὸν δὲ πατέρα λέγειν, ὡς ἕτοιμος μέν ἐστιν αὐτῷ δοῦναι, δεδοικέναι δὲ τοὺς ὀδόντας, μήποτε γήμας, καὶ παροξυνθεὶς διά τινα αἰτίαν, προσενέγκηται τῇ παρθένῳ θηριωδῶς. Τοῦ δὲ λέοντος ἐξελόντος τούς τε ὄνυχας καὶ τοὺς ὀδόντας, τὸν πατέρα, θεωρήσαντα πάντα δι' ὧν ἦν φοβερὸς ἀποβεβληκότα, τύπτοντα τῷ ξύλῳ ῥᾳδίως ἀποκτεῖναι.

ΑΛΛΩΣ.

Λέων ἤρα παρθένου, καὶ προσελθὼν τῷ πατρὶ τῆς παι-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

δὸς, ἐγγυῆσαι τὴν κόρην πρὸς γάμον ἐδεῖτο. Δεδιὼς δὲ ὁ πατὴρ ἀπανήνασθαι, μετὰ τῶν ὀδόντων ἐκβαλεῖν ἐπειρᾶτο τοὺς ὄνυχας, μὴ ταῦτα, λέγων, φόβον τῇ παιδὶ κατεργάσηται. Καὶ πεισθεὶς ὁ λέων ὑπ' ἔρωτος, ἀμυντηρίων πρόσεισι γυμνός· προσιὼν δὲ ῥοπάλοις τὴν τελευτὴν ἀντηλλάσσετο.

Ἐχθροῖς πειθαρχῶν ὑποστήσῃ τὸν κίνδυνον.

222. ΛΕΩΝ ΚΑΙ ΔΕΛΦΙΣ.

Λέων ἔν τινι αἰγιαλῷ πλαζόμενος, ὡς ἐθεάσατο δελφῖνα παρακύψαντα, τοῦτον ἐπὶ συμμαχίαν παρεκάλεσε, λέγων ὅτι μάλιστα φίλους καὶ βοηθοὺς γενήσεσθαι· ὁ μὲν γὰρ τῶν θαλασσίων ζώων, αὐτὸς δὲ τῶν χερσαίων βασιλεύει. Τοῦ δὲ, ἀσμένως ἐπινεύσαντος, ὁ λέων, οὐ μετὰ πολὺν χρόνον, μάχην ἔχων πρὸς ταῦρον ἄγριον, ἐπεκαλεῖτο τὸν δελφῖνα ἐπὶ βοήθειαν. Ὡς δὲ ἐκεῖνος, καίπερ βουλόμενος, ἐκβῆναι ἐκ τῆς θαλάσσης οὐκ ἠδύνατο, ᾐτιᾶτο αὐτὸν ὡς προδότην. Ὁ δὲ ὑποτυχὼν εἶπεν, ἀλλὰ μὴ ἐμὲ μέμφου, ἀλλὰ τὴν φύσιν, ἥτις με, θαλάσσιον ποιήσασα, οὐκ ἐᾷ ἐκβῆναι.

Δεῖ ἡμᾶς, φιλίαν σπενδομένους, τοιούτους ἐπιλέγεσθαι συμμάχους, οἵτινες ἐν κινδύνοις παρεῖναι ἡμῖν δύνανται.

223. ΛΕΩΝ ΚΑΙ ΚΑΠΡΟΣ.

Θέρους ἐν ὥρᾳ, ὅτε τὸ καῦμα δίψει λυπεῖ, εἰς μικρὰν πηγὴν λέων καὶ κάπρος ἦλθον πιεῖν. Ἤριζον δὲ, τίς πρῶτος αὐτῶν πίῃ· ἐκ τούτου δὲ πρὸς φόνον ἀλλήλων διηγέρθησαν. Ἄφνω δὲ ἐπιστραφέντες πρὸς τὸ ἀναπνεῦσαι, εἶδον γῦπας ἐκδεχομένους, ὃς αὐτῶν πέσῃ, τοῦτον καταφαγεῖν. Διὰ τοῦτο λύσαντες τὴν

ἔχθραν, εἶπον· Κρεῖσσόν ἐςιν ἡμᾶς φίλους γενέσθαι, ἢ βρῶμα γυψὶ καὶ κόραξιν.

Ὅτι τὰς πονηρὰς ἔριδας καὶ τὰς φιλονεικίας καλόν ἐςι διαλύειν· ἐπειδὴ πᾶσιν ἐπικίνδυνον τέλος ἄγουσιν.

ΑΛΛΩΣ.

Λέων μάχην ἔςησε πρὸς ποτῷ κάπρῳ,
Γῦπες δ' ἄνωθεν ἐσκόπευον τὴν ἔριν,
Βρῶσιν τὸν ἡττηθέντα ποιῆσαι τάχα.
Φίλους δ' ὁρῶντες ἠςόχουν τῶν ἐλπίδων.

Ὅτι οὐ δεῖ ἀλλοτριόις κακοῖς ἐπιχαίρειν.

224. ΛΕΩΝ ΚΑΙ ΛΑΓΩΟΣ.

Λέων, περιτυχὼν λαγωῷ κοιμωμένῳ, τοῦτον ἔμελλε καταφαγεῖν. Μεταξὺ δὲ θεασάμενος ἔλαφον παριοῦσαν, ἀφεὶς τὸν λαγωὸν, ἐκείνην ἐδίωκεν. Ὁ μὲν οὖν ἀπὸ ψόφων ἐξαναςὰς ἔφυγεν. Ὁ δὲ λέων, ἐπὶ πολὺ διώξας τὴν ἔλαφον, ἐπειδὴ καταλαβεῖν οὐκ ἐδυνήθη, ἐπανῆλθεν ἐπὶ τὸν λαγωόν. Εὑρὼν δὲ κἀκεῖνον πεφευγότα, ἔφη· Ἀλλ' ἔγωγε δίκαια πέπονθα, ὅτι περ ἀφεὶς τὴν ἐν χερσὶ βορὰν, μείζονα ἐλπίδα προέκρινα.

Οὕτως πολλοὶ τῶν ἀνθρώπων, δι' ἐλπίδα μείζονα, τὰ ἐν ταῖς χερσὶν ἐλάχιςα κέρδη ἀθετοῦντες, εὑρίσκονται καὶ τούτων ὑςερούμενοι.

225. ΛΕΩΝ ΚΑΙ ΟΝΑΓΡΟΣ.

Θήρας ἐθήρευον λέων καὶ ὄναγρος· ὁ μὲν λέων, διὰ τῆς δυνάμεως, ὁ δὲ ὄναγρος διὰ τῆς ἐν ποσὶ ταχύτητος. Ἐπεὶ δὲ ζῶά τινα ἐθήρευσαν, ὁ λέων μερίζει καὶ τίθησι τὰς μοίρας. Τὴν μὲν μίαν, εἶπε, λήψομαι ὡς πρῶτος· βασιλεὺς γάρ εἰμί.

Τὴν δὲ δευτέραν, ὡς ἐξ ἴσου κοινωνῶν. Ἡ δὲ τρίτη μοῖρα αὕτη κακὸν μέγα σοι ποιήσει, εἰ μὴ ἐθέλεις φυγεῖν (1).

Ὅτι καλὸν ἑαυτὸν μετρεῖν ἐν πᾶσι κατὰ τὴν ἑαυτοῦ ἰσχὺν, καὶ δυνατωτέροις ἑαυτὸν μὴ συνάπτειν, μηδὲ κοινωνεῖν.

ΑΛΛΩΣ.

Ἄγρην γεράνῳ μέριζε καὶ κερδοῖ λέων.
Πρώτην δὲ μοῖραν, εἶπεν, ὡς νομεὺς ἔχω.
Τὴν δευτέραν δὲ, φησὶν, ὡς ἄναξ φέρω.
Τρίτης δ' ὃς ἂν ψαύσειεν, ἔργῳ μανθάνοι.

Ἀνίσοις κοινωνίαν φυλάττεσθαι.

226. ΛΕΩΝ ΚΑΙ ΟΝΟΣ.

Λέων καὶ ὄνος, κοινωνίαν θέμενοι, ἐξῆλθον ἐπὶ θήραν. Γενομένων δὲ αὐτῶν κατά τι σπήλαιον, ἐν ᾧ αἶγες ἄγριαι, ὁ μὲν λέων, πρὸ τοῦ στομίου στὰς, ἐξιούσας τὰς αἶγας συνελάμβανεν· ὁ δὲ ὄνος, ἔνδον εἰσελθὼν, ἐνήλλετο αὐταῖς, καὶ ὠγκᾶτο, ἐκφοβεῖν βουλόμενος. Τοῦ δὲ λέοντος τὰς πλείστας συλλαβόντος, ἐξελθὼν ἐκεῖνος ἐπυνθάνετο αὐτοῦ, εἰ γενναίως ἠγωνίσατο, καὶ τὰς αἶγας ἐξεδίωξεν. Ὁ δὲ εἶπεν, Ἀλλ' εὖ ἴσθι, ὅτι κἀγὼ ἄν σε ἐφοβήθην, εἰ μὴ ᾔδειν σε ὄνον ὄντα.

Οὕτως οἱ παρὰ τοῖς εἰδόσιν ἀλαζονευόμενοι, εἰκότως γέλωτα ὀφλισκάνουσιν.

---

(1) Σουΐδας (λέξ. Λὶς) ἐξ ἀνωνύμου,

Ἐς βίοτον κοινωνὸς ὄνῳ γένετ' ὠμοβόρος λίς.

Καὶ αὖθις (λέξ. Λάχος),

Τοῦτο μὲν οὖν πρῶτον λάχος οἴσομαι. . . .

227. ΛΕΩΝ ΚΑΙ ΤΑΥΡΟΣ.

Λέων, ταύρῳ παμμεγέθει ἐπιβουλεύων, ἠβουλήθη αὐτοῦ περιγενέσθαι. Διόπερ, πρόβατον τεθυκέναι φήσας, πρὸς ἑςίασιν αὐτὸν ἐκάλεσε, βουλόμενος κατακλιθέντα καταγωνίσαι. Ὁ δὲ, ἐλθὼν, [ὡς] ἐθεάσατο λέβητας καὶ ὀβελίσκους μεγάλους, τὸ δὲ πρόβατον οὐδαμοῦ, μηδὲν εἰπὼν ἀπηλλάττετο. Τοῦ δὲ λέοντος αἰτιωμένου αὐτὸν, καὶ τὴν αἰτίαν πυνθανομένου, διὰ τί δεινοπαθῶν ἀλόγως ἀπήει, ἔφη, Ἀλλ' ἔγωγε οὐ μάτην ποιῶ· ὁρῶ γὰρ κατασκευὴν οὐχ ὡς εἰς πρόβατον, ἀλλ' ὡς εἰς ταῦρον ἡτοιμασμένην.

Ὁ λόγος δηλοῖ, ὅτι τοὺς φρονίμους τῶν ἀνθρώπων αἱ τῶν πονηρῶν τέχναι οὐ λανθάνουσιν.

ΑΛΛΩΣ.

Λέων, ταύρῳ παμμεγέθει ἐπιβουλεύων, ἠβουλήθη αὐτοῦ περιγενέσθαι· καὶ προσκαλεσάμενος αὐτὸν, ἔφη· Πρόβατον ἔθυσα, ὦ φίλε, καὶ, εἰ βούλει, σήμερον συνεςιαθῶμεν ὁμοῦ· βουλόμενος ὁ λέων μετὰ τὸ κατακλιθῆναι τοῦτον καταφαγεῖν. Ὁ δὲ ταῦρος ἐλθὼν ἐθεάσατο λέβητας καὶ ὀβελίσκους μεγάλους, πρόβατον δὲ οὐδαμοῦ· καὶ ταῦτα ἰδὼν μετὰ σπουδῆς ἐξῆλθε. Τοῦ δὲ λέοντος αἰτιωμένου αὐτὸν, καὶ τὴν αἰτίαν μαθεῖν θέλοντος, δι' ἣν ἐξέλθοι, ἔφη ὁ ταῦρος· Οὐ μάτην, ὦ λέων, ἐκφεύγω· ὁρῶ γὰρ κατασκευὴν οὐχ ὡς εἰς πρόβατον, ἀλλ' [ὡς] εἰς ταῦρον ἡτοιμασμένην.

Ὅτι τοὺς φρονίμους τῶν ἀνθρώπων οὐ λανθάνουσιν [αἱ] τέχναι τῶν πονηρῶν.

228. ΛΥΚΟΣ ΚΑΙ ΑΡΝΙΟΝ.

Λύκος ἀρνὸν ἐδίωκε. Ὁ δὲ εἰς *τὸ* ἱερὸν κατέφυγε. Προσκαλουμένου δὲ αὐτὸν τοῦ λύκου, καὶ λέγοντος, ὅτι θυσιάσει αὐτὸν ὁ ἱερεὺς τῷ Θεῷ, ἐκεῖνος ἔφη πρὸς αὐτόν· Ἀλλ' αἱρετώτερόν μοι ἐςὶ θεῷ θυσίαν εἶναι, ἢ ὑπὸ σοῦ διαφθαρῆναι.

Ὁ λόγος δηλοῖ, ὅτι ᾧ διάκειται τὸ ἀποθανεῖν, κρείττων ἐςὶν ὁ εἰς δόξαν θάνατος.

229 ΛΥΚΟΣ ΚΑΙ ΑΡΣ.

Λύκος, θεασάμενος ἄρνα ἀπό τινος ποταμοῦ πίνοντα, τοῦτον ἐβουλήθη μετ' εὐλόγου αἰτίας καταθοινήσασθαι. Διόπερ, ςὰς ἀνωτέρω, ᾐτιάσατο αὐτὸν ὡς θολοῦντα τὸ ὕδωρ, καὶ πίνειν αὐτὸν μὴ ἐῶντα. Τοῦ δὲ λέγοντος, τοῖς ἄκροις χείλεσι πίνειν· καὶ ἄλλως οὐ δυνατὸν, αὐτοῦ ἑςῶτος κάτω, ἐπάνω ταράσσειν τὸ ὕδωρ, ὁ λύκος, ἀποτυχὼν ταύτης τῆς αἰτίας, ἔφη, Ἀλλὰ πέρυσι τὸν πατέρα μου ἐλοιδόρησας. Εἰπόντος δὲ ἐκείνου, μή[πω] τότε γενέσθαι, ὁ λύκος ἔφη πρὸς αὐτὸν, Ἐὰν σὺ εὐλογίας εὐπορῇς, ἔγωγέ σου οὐ κήδομαι.

Ὁ λόγος δηλοῖ, οἷς πρόθεσις ἀδικεῖν, παρ' αὐτοῖς οὐ δικαιολογία ἰσχύει.

ΑΛΛΩΣ.

Λύκος, ἄρνα εὑρὼν πεπλανημένον, οὐκ ἀφήρπασε χειρὶ δυνατωτάτῃ· ἀλλ' ἐπεζήτει τοῦτον φαγεῖν εὐλόγως. Ὅςις πρὸς αὐτὸν ταῦτα οὕτως ἐλάλει, Πέρυσιν αὐτὸς πολλὰ καθύβρισάς με. Ὁ δὲ πρὸς αὐτὸν ταῦτα θρηνῶν ἐβόα, Ἔγωγ' οὐκ ἐν τούτῳ γεγένημαι τῷ χρόνῳ. Ὁ δὲ πρὸς αὐτὸν, Τὴν ἄρουράν μου νέμεις. Ὁ δ' ἀρνὸς ἔφη, Ἀκμὴν τροφὴν οὐκ εἶδον. Πάλιν ὁ λύ-

κος, Ἐκ τῆς πηγῆς μου πίνεις. Οὐ πίνω γ' ἀκμὴν ὕδωρ, αὐτῷ προσεῖπε· τῆς μητρός μου τὸ γάλα τροφὴ καὶ πόμα ἐςίν. Ὁ δὲ, συλλαβὼν αὐτὸν καὶ φαγὼν, εἶπεν· Ἀλλ' ἐγὼ νῦν τέως ἄδειπνος οὐ μενῶ, διὰ τοῦτο σοῦ ἀφορμὰς πολλὰς λύειν.

ΑΛΛΩΣ.

Λύκος πρὸς ἄρνα φησὶν, Οὐ πρόσθεν σύ μοι
Ὕδωρ τάραττες; Ἄρτι γαςρὸς ἐξέφυν,
Καὶ πῶς ὕδωρ τάραττον; ἀγνοῶ· πότε;
Θοίνη γένῃ μοι, κἂν θέμις, κἂν μὴ θέμις.

Ἀδικία προφάσεως εὔπορος.

230. ΛΥΚΟΣ ΚΑΙ ΑΙΞ.

Λύκος, θεασάμενος αἶγα ἐπί τινος κρημνώδους ἄντρου νεμομένην, ἐπειδὴ οὐκ ἠδύνατο αὐτῆς ἐφικέσθαι, κάτω παρῄνει αὐτῇ καταβῆναι, μὴ καὶ πέσῃ λαθοῦσα, λέγων. ὡς ἀμείνων ὁ παρ' αὐτῷ λειμὼν ἐςι, καὶ πόα σφόδρα εὐανθής. Ἡ δὲ ἀπεκρίθη πρὸς αὐτόν· Ἀλλ' οὐκ ἐμὲ ἐπὶ νομὴν καλεῖς· αὐτὸς δὲ τροφῆς ἀπορεῖς.

Οὕτω καὶ τῶν ἀνθρώπων οἱ κακοῦργοι, ὅταν παρὰ τοῖς εἰδόσι πονηρεύωνται, ἀνόνητοι τῶν τεχνασμάτων καθίςανται.

ΑΛΛΩΣ (1).

ΑΙΞ ΚΑΙ ΛΥΚΟΣ.

Αἰγός τινος ἐπὶ πέτρας ὑψηλῆς νεμομένης, λύκος ἐπιςὰς κάτωθεν ἐπειρᾶτο αὐτὴν κατασχεῖν καὶ βεβρωκέναι. Μὴ δυνάμενος δ' ὅλως ἐπαναβῆναι τῇ πέτρᾳ, ἑςὼς κάτωθεν, πρὸς τὴν

(1) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. μδ'.

αἶγα ἔφησεν, Ὦ ταλαίπωρε, ἱνατί, καταλιποῦσα τοὺς πεδινοὺς τόπους καὶ τοὺς λειμῶνας, ἐπὶ τῆς πέτρας ταύτης τὴν νομὴν πεποίησαι; ἢ πάντως, ἵνα ἐντεῦθεν κινδυνεύσῃς διαφθαρῆναι. Ἡ δὲ πρὸς τὸν λύκον ἀπεκρίνατο, Οἶδα, ὡς πολλάκις ἐμοῦ ἕνεκεν ἀργὸς διετέλεσας· καὶ δοκεῖς κατενεγκεῖν με τῆς πέτρας καὶ σεαυτῷ θέσθαι κατάβρωμα.

Ὁ μῦθος οὗτος δηλοῖ, ὡς πολλοὶ τῶν ἀνθρώπων βουλὴν ἑτέροις παρέχουσι, τὴν ἐκείνοις μὲν ὀλεθρίαν, ἑαυτοῖς δὲ ἐπικερδῆ καὶ ὠφέλιμον.

231. ΛΥΚΟΣ ΚΑΙ ΙΠΠΟΣ.

Λύκος, κατά τινα ἄρουραν ὁδεύων, εὗρε κριθάς. Μὴ δυνάμενος δὲ αὐταῖς τροφῇ χρήσασθαι, καταλιπὼν ἀπῄει. Ἵππῳ δὲ συντυχὼν, τοῦτον ἐπὶ τὴν ἄρουραν *ἐκεῖ αὐτὸν* ἐκάλει, λέγων, ὡς εὑρὼν κριθὰς αὐτὸς μὲν οὐκ ἔφαγεν, αὐτῷ δὲ ἐφύλαξεν, ἐπεὶ καὶ ἡδέως αὐτοῦ τὸν ψόφον τῶν ὀδόντων ἀκούει. Καὶ [ὁ] ἵππος ὑποτυχὼν ἔφη· Ἀλλ' ὦ οὗτος, εἰ λύκοι κριθῶν τροφῇ χρῆσθαι ἠδύναντο, οὐκ ἄν ποτε τὰ ὦτα τῆς γαστρὸς προέκρινας.

Ὁ λόγος δηλοῖ, ὅτι οἱ φύσει πονηροὶ, κἂν χρηστότητα ἐπαγγέλλωνται, οὐ πιστεύονται.

232. ΛΥΚΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.

Εἰς λύκον ἀλώπηξ ἐνέπεσεν· ἐδυσώπει δὲ ὡς γραῦν αὐτὴν οὖσαν μὴ ἀποκτεῖναι. Ὁ δὲ λύκος ἔφη. Εἰ τρεῖς λόγους ἀληθεῖς εἴπῃς μοι, ἀπολυθήσῃ. Ἡ δὲ εἶπεν· Εἴθε μή σοι συνήντησα, καὶ Μηδαμῶς τῇ ὥρᾳ ταύτῃ ζήσῃς, Μήπως καὶ πάλιν συναντήσῃς μοι.

Ὅτι ἐν περιστάσει τὶς ἐμπεσὼν, καὶ τὰς κεκρυμμένας τῆς ψυχῆς βουλὰς ἐξάγει.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

233. ΛΥΚΟΙ ΚΑΙ ΚΥΝΕΣ.

Οἱ λύκοι τοῖς κυσὶν εἶπον, Διὰ τί ὅμοιοι ὄντες ἡμῖν ἐν πᾶσιν, οὐχ ὁμοφρονεῖτε ἡμῖν ὡς ἀδελφοί; οὐδὲν γὰρ ὑμῶν διαλλάττομεν, πλὴν τῇ γνώμῃ. Καὶ ἡμεῖς μὲν ἐλευθερίᾳ συζῶμεν. Ὑμεῖς δὲ, τοῖς ἀνθρώποις ὑποκύπτοντες καὶ δουλεύοντες, πληγὰς παρ' αὐτῶν ὑπομένετε, καὶ κλοιὰ περιτίθεσθε, καὶ φυλάττετε καὶ τὰ πρόβατα· ὅτε δὲ ἐσθίουσι, μόνα τὰ ὀςᾶ ὑμῖν ἐπιῤῥίπτουσιν. Ἀλλ' ἐὰν πείσησθε, πάντα τὰ ποίμνια ἔκδοτε ἡμῖν, πάντα κοινὰ εἰς κόρον ἐσθίοντες. Ὑπήκουσαν οὖν πρὸς ταῦτα οἱ κύνες. Οἱ δὲ, ἔνδον τοῦ σπηλαίου εἰσελθόντες, πρότερον τοὺς κύνας διέφθειραν.

Ὅτι [οἱ] τὰς ἑαυτῶν πατρίδας προδιδόντες τοιούτους μισθοὺς λαμβάνουσι.

234. ΛΥΚΟΣ ΚΑΙ ΛΕΩΝ.

Λύκος ποτὲ, ἄρας πρόβατον ἐκ ποιμνίου, ἐκόμιζεν αὐτὸ εἰς κοίτην· λέων δὲ, αὐτῷ συναντήσας, ἀφεῖλε τὸ πρόβατον. Ὁ δὲ, πόῤῥωθεν ςαθεὶς, εἶπεν, Ἀδίκως ἀφεῖλου τὸ ἐμόν. Ὁ δὲ λέων γελάσας ἔφη, Σοὶ γὰρ δικαίως ὑπὸ φίλου ἐδόθη.

Ὅτι ἅρπαγας καὶ πλεονέκτας λῃςὰς, [ἐν] ἑνὶ πταίσματι κειμένους, καὶ ἀλλήλους μεμφομένους, ὁ λόγος ἐλέγχει.

ΑΛΛΩΣ (1).

Λύκος, ἁρπάσας χοῖρον, καὶ ἀπάγων αὐτὸν, λέοντι συνήντησεν. Ὁ δὲ λέων εὐθὺς ἀπὸ τοῦ λύκου τὸν χοῖρον ἀφήρπασεν. Ἀφαιρεθεὶς δὲ αὐτὸν ὁ λύκος, ἐν ἑαυτῷ ἔλεγε, Πάντως καὶ

(1) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. νϐ'.

αὐτὸς ἐθαύμαζον, πῶς ἂν διέμεινε παρ' ἐμοὶ τὸ ἐξ ἁρπαγῆς μοι προσγενόμενον.

Ὁ μῦθος δηλοῖ, ὡς καὶ τὰ ἀλλότρια πράγματα, πλεονεκτικῶς τισὶ καὶ βιαίως ἐπικτώμενα, τοῖς ταῦτα ἁρπάζουσιν οὐκ εἰς τέλος παραμένουσι.

235. ΛΥΚΟΣ ΚΑΙ ΟΝΟΣ.

Λύκος, τῶν λοιπῶν λύκων ϛρατηγήσας, πᾶσιν ἔταξε νόμον, αὐτοῖς προτείνας, ἵν' ὅ τις αὐτῶν τιποτοῦν κυνηγήσῃ, μέσον ἀγαγεῖν καὶ μερίσαι τοῖς πᾶσιν. Ὄνου δὲ ἀκηκοότος [ταῦτα] πάντα, χαίτην ἔσεισε, καὶ γελῶν ἔφη τάδε, Καλῶς εἴρηκας, ὦ πρώταρχε τῶν λύκων. Ἀλλὰ πῶς σὺ χθὲς ἣν ἐκράτησας ἄγραν κοίτῃ παρέθου εἰς τροφήν σοι λαθραίως· κόμισον αὐτὴν μερισθῆναι τοῖς πᾶσιν. Ὁ δὲ θαμβηθεὶς κατέλυσε τοὺς νόμους.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ τοὺς νόμους ὁρίζειν δοκοῦντες, ἐν οἷς ἂν ὁρίσωσι καὶ δικάσωσιν, οὐκ ἐμμένουσιν.

236. ΛΥΚΟΣ ΚΑΙ ΠΟΙΜΗΝ.

Λύκος, ἀκολουθῶν ποίμνῃ προβάτων, οὐδὲν ἠδίκει. Ὁ δὲ ποιμὴν κατὰ μὲν ἀρχὰς ἐφυλάττετο αὐτὸν ὡς ἐχθρὸν, καὶ δεδοικὼς παρετηρεῖτο. Ἐπεὶ δὲ συνεχῶς ἐκεῖνος οὐδὲν ἠδίκει, ἀλλ' οὐδ' ἀρχὴν τῷ ἁρπάζειν ἐνεχείρει, τηνικαῦτα ἐννοήσας φύλακα μᾶλλον εἶναι αὐτὸν, ἢ ἐπίβουλον, ἐπειδὴ χρεία τις αὐτὸν κατέλαβεν εἰς ἄϛυ παραγενέσθαι, καταλιπὼν παρ' αὐτῷ τὰ πρόβατα, ἀπῆλθεν. Ὁ δὲ, ὡς καιρὸν ἔχειν ὑπολαβὼν, τὰ πλείω διέφθειρεν. Ὁ δὲ ποιμὴν ἐπανελθὼν, καὶ θεασάμενος τὴν ποίμνην διεφθαρμένην, ἔφη, Δίκαια πέπονθα· τί γὰρ λύκῳ πρόβατα ἐπίϛευον;

Οὕτω καὶ τῶν ἀνθρώπων οἱ τοῖς φιλαργύροις καὶ πλεονέκταις τὰς παρακαταθήκας ἐγχειρίζοντες εἰκότως ἀποϛεροῦνται.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

237. ΛΥΚΟΙ ΚΑΙ ΠΡΟΒΑΤΑ.

Λύκοι, ἐπιβουλεύοντες ποίμνῃ προβάτων, ἐπειδὴ αὐτῶν οὐκ ἠδύναντο περιγίνεσθαι, διὰ τοὺς φυλάττοντας αὐτὰ κύνας, ἔγνωσαν δεῖν διὰ δόλου τοῦτο πρᾶξαι. Καὶ πέμψαντες πρέσβεις, ἐζήτουν παρ' αὐτῶν τοὺς κύνας, λέγοντες, ὡς ἐκεῖνοι τῆς ἔχθρας αἴτιοί εἰσιν· ἐγχειρίσαι δὲ αὐτοὺς ἐπάξιον, ὥστε μεταξὺ αὐτῶν εἰρήνην γενέσθαι. Τὰ δὲ πρόβατα, μὴ προορώμενα τὸ μέλλον, ὑπ' ἀνοίας ἐξέδωκαν τοὺς κύνας. Καὶ οἱ λύκοι, περιγενόμενοι ἐκείνων, ῥᾳδίως τὴν ποίμνην, ἀφύλακτον οὖσαν, διέφθειραν.

Οὕτως τῶν πόλεων αἱ τοὺς προεστῶτας ῥᾳδίως προδιδοῦσαι λανθάνουσι καὶ αὐταὶ ταχέως πολεμίοις χειρούμεναι.

ΑΛΛΩΣ.

Οἱ λύκοι πρὸς τὰ πρόβατα, Τί δὴ ἡμῖν ἄσπονδος ἀεὶ καὶ ἀκήρυκτος πόλεμος; αἴτιοι δὲ οἱ κάκιστα ἀπολούμενοι κύνες, οἳ προσιόντας μὲν ἡμᾶς ὑλακτοῦσιν, οὐδὲν δὲ ἠδικηκότας συγκρούουσιν. Ἀλλ' εἰ τούτους ἐκ ποδῶν *κατα*στήσετε, σπονδαὶ ἐνθένδε καὶ διαλλαγαὶ καταστήσονται. Εἶπον εἰς ἀπάτην. Τὰ δὲ ῥᾳδίως ὑπήγετο. Καὶ οἱ μὲν κύνες ἐλήλαντο· αὐτὰ δὲ ἔρημα φυλακῆς διεφθείρετο.

Ἐχθροῖς πειθαρχῶν ὑποστήσῃ τὸν κίνδυνον.

ΑΛΛΩΣ.

Οἱ λύκοι παρὰ τῶν προβάτων εἰρήνην καὶ ἡσυχίαν ᾔτουν· καὶ, Ἥδε ἡ ἡμέρα μεγάλων ἄρξει ἀγαθῶν ἡμῖν τε καὶ ὑμῖν, ἔλεγον. Ἀπαλλαγεῖσι γὰρ πολέμου καὶ κακῶν, ἐξέσται παρ' ἀλλήλους φοιτᾷν ἀδεῶς. Σπενδώμεθα τοίνυν· ἀλλ', εἰ μέλλει τι βέβαιον ἔσεσθαι ταῖς σπονδαῖς, καὶ ἀὐ γράψαντες αὐτίκα λύσομεν,

τοὺς πονηροὺς καὶ πολεμίους κύνας ἀποδιωκτέον ὑμῖν· ἐπεὶ καὶ νῦν παρὰ τούτων ἡ ταραχὴ, καὶ τὸ ὑποπτεύεσθαι τοὺς λύκους. Πολλάκις γὰρ ἁπλῶς παριόντας ἡμᾶς τὰ ποίμνια, προεκπηδῶντες ὑλακτοῦσιν. Οἱ δὲ, οὐ σφόδρα θέλοντες, παροξύνονται καὶ λυποῦσι. Τί οὖν ὑμῖν δεῖ κυνῶν, εἰρήνης οὔσης πρὸς λύκους; Ὑπήχθη τὰ πρόβατα· τοιοῦτον γὰρ τὸ γένος εὐηθείας γέμον· καὶ οἱ κύνες ἀπεσκορακίζοντο, καὶ ἐφεςήκεσαν οἱ λύκοι. Τὰ δὲ, ἔρημα κατησθίετο.

Τοῖς ἐχθρῶν λόγοις οὐ πιςευτέον τὴν προσήκουσαν φυλακήν.

ΑΛΛΩΣ.

Καθ' ὃν χρόνον ὁμόφωνα ἦν τὰ ζῶα, πόλεμον οἱ λύκοι τοῖς προβάτοις συνῆψαν. Τῶν δὲ κυνῶν, συμμαχούντων τοῖς θρέμμασι, καὶ τοὺς λύκους ἀποσοβούντων, οἱ λύκοι πρεσβευτὴν ἀποςείλαντες ἔφασαν τοῖς πρόβασιν, εἰ βούλοιντο βιοῦν ἐν εἰρήνῃ, καὶ μηδένα πόλεμον ὑποπτεύειν, τοὺς κύνας αὐτοῖς ἐκδοῦναι. Τῶν δὲ προβάτων ὑπ' ἀνοίας πεισθέντων, καὶ τοὺς κύνας ἐκδεδωκότων, οἱ λύκοι τούς τε κύνας διεσπάραξαν, καὶ τὰ πρόβατα ῥᾷςα διέφθειραν.

238. ΛΥΚΟΙ, ΠΡΟΒΑΤΑ ΚΑΙ ΚΡΙΟΣ.

Λύκοι, πρέσβεις ἔςειλαν τοῖς προβάτοις, εἰρήνην ποιῆσαι μετ' αὐτῶν διηνεκῆ, εἰ τοὺς κύνας λάβωσι καὶ διαφθείρωσι. Τὰ μωρὰ δὲ πρόβατα συνέθεντο τοῦτο ποιῆσαι. Ἀλλά τις γέρων κριὸς εἶπε, Πῶς ὑμῖν πιςεύσω καὶ συνοικήσω, ὅπου, καὶ τῶν κυνῶν φυλαττόντων με, ἀκινδύνως νέμεσθαι οὐ δυνατόν ἐςι (1);

Ὅτι οὐ δεῖ τινα ἀσφαλείας τῆς ἑαυτοῦ γυμνωθῆναι, τοῖς ἀκαταλλάκτοις ἐχθροῖς δι' ὅρκον πεισθέντα.

(1) Τούτῳ προσήκειν εἴκασάν τινες καὶ τὸ παρὰ τῷ Σουΐδᾳ (λέξ.

239. ΛΥΧΝΟΣ.

Μεθύων λύχνος ἐν ἐλαίῳ, καὶ φέγγων, ἐκαυχᾶτο, ὡς ὑπὲρ ἥλιον πλέον λάμπει. Ἀνέμου δὲ πνοῇ συῤῥεύσαντος εὐθὺς ἐσϐέσθη. Ἐκ δευτέρου δὲ ἅπτων τις, εἶπεν αὐτῷ· Φαῖνε λύχνε, καὶ σίγα· τῶν ἀςέρων τὸ φέγγος οὔποτε ἐκλείπει.

Ὅτι οὐ δεῖ τινα ἐν τοῖς λαμπροῖς καὶ τῇ δόξῃ τοῦ βίου τυφοῦσθαι· ὅσα γὰρ ἂν κτήσηταί τις, ξένα τυγχάνει.

240. ΜΕΛΙΣΣΑΙ ΚΑΙ ΖΕΥΣ.

Μέλισσαι ἀνθρώποις τοῦ ἰδίου μέλιτος ἐπεὶ παρεῖχον, ἧκον πρὸς τὸν Δία, καὶ τούτου ἐδέοντο, ὅπως αὐταῖς ἰσχὺν παρέχοι παιούσαις τοῖς κέντροις ἀναιρεῖν. Καὶ ὁ Ζεὺς, ἀγανακτήσας κατ᾽ αὐτῶν διὰ τὴν βασκανίαν, παρεσκεύασεν αὐτὰς, ἡνίκα ἂν τύπτωσί τινα, τὸ κέντρον ἀποϐάλλειν, μετὰ δὲ τοῦτο καὶ σωτηρίας ςερίσκεσθαι.

Οὗτος ὁ λόγος ἂν ἁρμόσειε πρὸς ἄνδρας βασκάνους, οἳ καὶ αὐτοὶ βλάπτεσθαι ὑπομένουσι.

ΑΛΛΩΣ (1).

Ὑμηττία μέλισσα, κηρίων μήτηρ, ἀνῆλθεν εἰς θεῶν οἴκους, φέρουσα τῷ Διὶ μέλι μήπω καπνισθέν. Ὁ Ζεὺς δὲ τῷ δώρῳ ἐτέρφθη, καὶ ὑπέσχετο δοῦναι γέρας ὃ ἂν αἰτήσηται. Ἡ δὲ εἶπε,

---

βληχώδης), ὡς Βαϐρίου δῆθεν ὄν,

Μωρὸς δὲ ποιμὴν, καὶ τὰ πάντα βληχώδης,
Πέμπειν ἔμελλεν. . . . .

(1) Ἐκ τῆς τοῦ Τυρουΐττου συλλογῆς.

Δός μοι κέντρον, ἵνα, εἴτις ἀνθρώπων τὸ ἐμὸν ἔργον πλησιάσοι ἆραι, ἀναιρῶ τοῦτον. Ἀπηρέσθη ὁ Ζεὺς τῇ αἰτήσει· ἠγάπα γὰρ τοὺς ἀνθρώπους. Ὅμως καὶ μὴ θέλων ἔδωκεν· εἶπε γὰρ δώσειν. Τοιοῦτον δ' ἔδωκεν, ὡς αὐτὴν ἀποθνήσκειν ἅμα τῷ πλῆξαι· ζωὴ δὲ αὐτῆς ἐςὶ πετομένης τὸ κέντρον.

241. ΜΗΝΑΓΥΡΤΑΙ.

Μηναγύρται ὄνον ἔχοντες, τούτῳ εἰώθεσαν τὰ σκεύη ἐπιτιθέντες ὁδοιπορεῖν. Καὶ δήποτε, ἀποθανόντος αὐτοῦ ὑπὸ κόπου, ἐκδείραντες αὐτὸν, ἐκ τοῦ δέρματος τύμπανα κατεσκεύασαν, καὶ τούτοις ἐχρῶντο. Ἑτέρων δὲ αὐτοῖς μηναγυρτῶν ἀπαντησάντων, καὶ πυνθανομένων αὐτῶν, ποῦ ἂν εἴη ὁ ὄνος, ἔφασαν, τεθνηκέναι μὲν αὐτὸν, πληγὰς δὲ τοσαύτας λαμβάνειν, ὅσας οὐδὲ ζῶν ὑπέμεινεν (1).

Οὕτω καὶ τῶν οἰκετῶν ἔνιοι, εἰ καὶ τῆς δουλείας ἀφεθῶσι, τῶν δουλικῶν οὐκ ἀπαλλάττονται.

---

(1) Ἀποσπασμάτιον Βαβρίου (παρὰ τῷ Τζέτζῃ Χιλιαδ. ιγ', 264, καὶ παρὰ Νατάλ. Κομ. Μυθολογ. Θ, ε', σελ. 955)·

Γάλλοις ἀγύρταις εἰς τὸ κοινὸν ἐπράθη
Ὄνος τις, οὐκ εὔμοιρος, ἀλλὰ δυσδαίμων.
Ὅςις φέροι πτωχοῖσι καὶ πανούργοισι
Πείνης ἄκος δίψης τε, καὶ κακὴν τέχνην.
Οὗτοι δὲ κύκλῳ πᾶσαν ἐξ ἔθους κώμην
Περιιόντες ἔλεγον· « Τίς γὰρ ἀγροίκων
» Οὐκ οἶδεν Ἄττιν λευκὸν, ὡς ἐπηρώθη;
» Τίς οὐκ ἀπαρχὰς ὀσπρίων τε καὶ σίτων
» Ἁγνῷ φέρων δίδωσι τυμπάνῳ Ῥείης; »

242. ΜΥΕΣ ΚΑΙ ΓΑΛΑΙ.

Μυσὶ καὶ γαλαῖς πόλεμος ἦν. Ἀεὶ δὲ οἱ μύες ἡττώμενοι, ἐπειδὴ συνῆλθον εἰς ταυτὸν, ὑπέλαβον ὅτι δι' ἀναρχίαν τοῦτο πάσχουσιν. Ὅθεν ἐπιλεξάμενοι ςρατηγοὺς ἐχειροτόνησαν. Οἱ δὲ, βουλόμενοι ἐπισημότεροι τοῖς ἄλλοις εἶναι, κέρατα κατασκευάσαντες ἑαυτοῖς συνῆψαν. Ἐνςάσης δὲ τῆς μάχης, συνέβη πάντας τοὺς μύας ἡττηθῆναι. Οἱ μὲν [οὖν] ἄλλοι πάντες ῥᾳδίως εἰσέδυον (1). Οἱ δὲ ςρατηγοὶ, μὴ δυνάμενοι εἰσελθεῖν διὰ τὰ κέρατα, ἀναλαμβανόμενοι κατησθίοντο.

Οὕτως πολλοῖς ἡ κενοδοξία κακῶν αἰτία γίνεται.

ΑΛΛΩΣ.

Γαλαῖ καὶ μύες πρὸς ἀλλήλους ἄσπονδον εἶχον μάχην. Ἐνίκων δὲ ἀεὶ αἱ γαλαῖ. Οἱ δὲ μύες βουλευσάμενοι, ὅτι διὰ τὸ μὴ ἔχειν ςρατηγοὺς ἡττῶνται, τοὺς μεγάλους μύας ςρατηγοὺς προχειρισάμενοι, καὶ καθοπλίσαντες τοῖς μείζοσι ξύλοις τῶν ἀχύρων, ἀντὶ δοράτων, συγκροτοῦσι τὸν πόλεμον, καὶ πάλιν ἡττῶνται. Καὶ οἱ μὲν ἄνοπλοι μύες, ὑπὸ τὰς τρυμαλιὰς ὑπελθόντες, ἐσώθησαν· οἱ δὲ καθωπλισμένοι, μὴ δυνάμενοι τὰς ὀπὰς εἰσελθεῖν, διεφθάρησαν ὑπὸ τῶν γαλῶν.

Ὅτι πρὸς τὸ ζῆν ἀκινδύνως ἡ εὐτέλεια ὑπὲρ τὴν δόξαν καὶ τὴν λαμπρότητα τοῦ βίου κρείττων.

---

(1) Τούτοις προσήκει τὸ παρὰ τῷ Σουίδᾳ (λέξ. Τρώγλη), Ἄλλοι μὲν οὖν σωθέντες ἦσαν ἐν τρώγλαις.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΑΛΛΩΣ (1).

ΓΑΛΑΙ ΚΑΙ ΜΥΕΣ.

Γαλαῖς καὶ μυσί ποτε μάχη συνεκροτεῖτο. Ἡττώμενοι δὲ κατὰ κράτος οἱ μύες, καὶ γνόντες ἐξ ἀτονίας πάντως καὶ δειλίας ἡττᾶσθαι, σατράπας ἑαυτοῖς καὶ τῆς μάχης ἀρχηγοὺς κεχειροτονήκασιν. Οἱ δὲ σατράπαι, ἐμφανέστεροι θελήσαντες καὶ θαρσαλεώτεροι τῶν ἄλλων μυῶν καθίστασθαι, κέρατα ταῖς ἑαυτῶν κορυφαῖς περιέθεντο. Εἶτα πάλιν αἱ γαλαῖ τοῖς μυσὶ προσβαλοῦσαι εἰς φυγὴν πάντας τρέπουσι. Καὶ οἱ μὲν ἄλλοι μύες, φυγάδες γενόμενοι, πρὸς τὰς ἑαυτῶν καταδύσεις εὐθὺς ῥᾳδίως εἰσῄεσαν. Οἱ δὲ τούτων προεξάρχοντες, μέχρι τῶν ὀπῶν καὶ οὗτοι ἐν τῷ φεύγειν φθάσαντες, τῆς ἐν αὐταῖς εἰσελεύσεως ὑπὸ τῶν κεράτων ἐκωλύοντο· καὶ τούτους αἱ γαλαῖ καταλαβοῦσαι ὀλέθρῳ παρεδώκασιν.

Ὁ μῦθος δηλοῖ, ὡς οἱ τοῖς ὅπλοις ἑαυτῶν τεθαῤῥηκότες, καὶ μὴ τὴν θείαν συμμαχίαν ἐπικαλεσάμενοι, ἀπ' αὐτῶν δὴ καὶ τὸν κίνδυνον ἐπισπῶνται.

243. ΜΥΙΑ.

Μυῖα, ἐμπεσοῦσα εἰς χύτραν κρέατος, ἐπειδὴ ἀποπνίγεσθαι ἤμελλεν, ἔφη πρὸς ἑαυτήν· Ἀλλ' ἔγωγε καὶ βέβρωκα, καὶ πέπωκα, καὶ λέλουμαι· κἂν ἀποθάνω οὐδέν μέλει μοι.

Ὁ λόγος δηλοῖ, ὅτι ῥᾳδίως φέρουσι τὸν θάνατον οἱ ἄνθρωποι, ὅταν ἀβασανίστως ἀποθάνωσιν.

---

(1) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. νά.

244.

244. ΜΥΡΜΗΞ ΚΑΙ ΚΑΝΘΑΡΟΣ.

Ὥρᾳ θέρους μύρμηξ, περιὼν κατά τινα ἄρουραν, πυροὺς καὶ κριθὰς συνέλεγεν, ἀποθησαυριζόμενος ἑαυτῷ τροφὴν εἰς τὸν χειμῶνα. Κάνθαρος δὲ τοῦτον θεασάμενος, ἐταλάνιζεν ὡς ἐπιπονώτατον, εἴγε παρ' ὅλον τὸν καιρὸν μοχθεῖ παρὰ πάντα τὰ ζῶα. Ὁ δὲ μύρμηξ τότε μὲν ἡσυχάσας ὑπήνεγκε. Χειμῶνος δὲ ἐπιγενομένου, καὶ τῆς κόπρου ὑπὸ τῶν ὑδάτων κατακλυσθείσης, ὁ κάνθαρος λιμώττων ἧκε πρὸς τὸν μύρμηκα, τροφῆς μεταλαβεῖν δεόμενος. Ὁ δὲ ἔφη πρὸς αὐτὸν, Ὦ κάνθαρε, ἀλλ' εἰ τότε ἐπόνεις, ὅτε με μοχθοῦντα ὠνείδιζες, οὐκ ἂν νῦν τροφῆς ἐπεδέου.

Ὁ μῦθος διδάσκει μὴ ἀμελεῖν ἡμᾶς ἐπὶ τῇ τῶν ἀναγκαίων φροντίδι, ἀλλὰ καιρῷ εὐθέτῳ τὰ πρὸς σωτηρίαν μεριμνᾷν.

245. ΜΥΣ ΚΑΙ ΒΑΤΡΑΧΟΣ.

Χερσαῖος μῦς κακῇ μοίρᾳ βατράχῳ ἐφιλιώθη. Ὁ δὲ βάτραχος, κακῶς βουλευσάμενος, τὸν πόδα τοῦ μυὸς τῷ ἑαυτοῦ ποδὶ συνέδησε. Καὶ πρῶτον μὲν ἐπὶ τῆς χώρας ἦλθον σῖτον δειπνήσοντες. Ἔπειτα τὸ χεῖλος τῆς λίμνης πλησιάσαντες, ὁ μὲν βάτραχος τὸν μῦν εἰς τὸν βυθὸν κατήνεγκεν, αὐτὸς βρυάζων τῷ ὕδατι, καὶ τὸ, Βρεκεκεκὲξ, κοὰξ, κοὰξ, ἀνακράζων. Ὁ δὲ ἄθλιος μῦς, τῷ ὕδατι φυσηθεὶς, ἐτεθνήκει. Ἐπέπλει δὲ τῷ ποδὶ τοῦ βατράχου συνδεδεμένος. Ἰκτῖνος δὲ, τοῦτον ἰδὼν, τοῖς ὄνυξιν ἥρπασε. Βάτραχος δὲ δεσμώτης ἐπηκολούθει, δεῖπνον καὶ αὐτὸς ἰκτίνῳ γενησόμενος.

Ὅτι, κἂν νεκρὸς ᾖ τις, ἰσχύει πρὸς ἄμυναν. Ἡ γὰρ θεία δίκη ἐφορᾷ πάντα, καὶ τὸ ἴσον ἀποδιδοῦσα ζυγοστατεῖ.

ΑΛΛΟΣ.

Ὅτε ἦν ὁμόφωνα τὰ ζῶα, μῦς, βατράχῳ φιλιωθεὶς, εἰς δεῖπνον αὐτὸν ἐκάλεσε· καὶ ἀπαγαγὼν εἰς ταμεῖον πλουσίου, ἔνθα πλεῖςα τῶν ἐδωδίμων ἦν, Εὐωχοῦ, φησὶ, φίλε βάτραχε. Μετὰ δὲ τὴν ἑςίασιν, καὶ ὁ βάτραχος τὸν μῦν ἐπὶ τὴν οἰκείαν ἐκάλεσε δίαιταν. Ἀλλὰ, μὴ ἀποκάμῃς, φησὶ, νηχόμενος, μηρίνθῳ λεπτῇ τὸν σὸν πόδα τῷ ἐμαυτοῦ προσαρτήσω. Καὶ τοῦτο πράξας ἥλατο εἰς τὴν λίμνην. Αὐτοῦ δὲ καταδύνοντος εἰς βάθος, ὁ μῦς ἀπεπνίγετο, καὶ θνήσκων εἶπεν· Ἐγὼ μὲν ὑπὸ σοῦ θνήσκω, ἐκδικηθήσομαι δὲ ὑπὸ μείζονος. Ἐπιπλέοντος οὖν τοῦ μυὸς τῇ λίμνῃ νεκροῦ, καταπτὰς ἀετὸς τοῦτον ἀφήρπασε, σὺν αὐτῷ δὲ προσηρτημένον ὁμοῦ καὶ τὸν βάτραχον. Καὶ οὕτως ἄμφω κατεθοινήσατο.

246. ΝΑΥΑΓΟΣ.

Ἀνὴρ πλούσιος Ἀθηναῖος μεθ' ἑτέρων τινῶν ἔπλει. Καὶ δὴ χειμῶνος σφοδροῦ γενομένου, καὶ τῆς νηὸς περιτραπείσης, οἱ μὲν λοιποὶ πάντες διενήχοντο· ὁ δὲ Ἀθηναῖος, παρ' ἕκαςα τὴν Ἀθηνᾶν ἐπικαλούμενος, μυρία ἐπηγγέλλετο, ἐὰν περισωθῇ. Εἷς δέ τις τῶν συννεναυαγηκότων, παρανηχόμενος, ἔφη πρὸς αὐτὸν, Σὺν Ἀθηνᾷ καὶ χεῖρα κίνει.

Τοὺς εἰς συμφορὰς ἐμπίπτοντας χρὴ καὶ αὐτοὺς ὑπὲρ ἑαυτῶν κοπιᾷν· καὶ εἶθ' οὕτως τοῦ θεοῦ περὶ βοηθείας δέεσθαι.

247. ΝΑΥΑΓΟΣ ΚΑΙ ΘΑΛΑΣΣΑ.

Ναυαγὸς, ἐκβρασθεὶς εἴς τινα αἰγιαλὸν, διὰ τὸν κόπον ἐκοιμᾶτο. Μετὰ μικρὸν δὲ ἐξαναςὰς ἐμέμφετο τῆς θαλάσσης, αὐτὴν

ἐπαιτιάζων, ὅτι γε δελεάζουσα τοὺς ἀνθρώπους τῇ πρᾳότητι τῆς ὄψεως, *καὶ* ἡνίκα ἂν αὐτοὺς προσδέχηται, ὑπογαστρισαμένη, διαφθείρει. Ἡ δὲ, ὁμοιωθεῖσα γυναικὶ, εἶπε πρὸς αὐτόν· Ἀλλ' ὦ οὗτος, μὴ ἐμὲ μέμφου, ἀλλὰ τοὺς ἀνέμους. Ἐγὼ μὲν γὰρ ἐκ φύσεως τοιαύτη εἰμὶ, ὁποίαν με νῦν ὁρᾷς· οἱ δὲ, αἰφνίδιόν μοι ἐμπίπτοντες, κυματίζουσι καὶ ἐξαγριαίνουσι.

Δεῖ οὖν καὶ ἡμᾶς τῶν ἀδικημάτων οὐδὲν τοὺς δρῶντας αἰτιᾶσθαι, ὅταν ἑτέροις ὑποτεταγμένοι ὦσιν, ἀλλὰ τοὺς ἐπιστατοῦντας.

248. ΝΕΟΣ ΚΑΙ ΧΕΛΙΔΩΝ.

Νέος ἄσωτος, καταφαγὼν τὰ πατρῷα, ἱματίου δὲ μόνου περιλειφθέντος, ὡς ἐθεάσατο χελιδόνα παρὰ καιρὸν ὀφθεῖσαν, οἰόμενος ἤδη θέρος εἶναι, ὡς μηκέτι δεόμενος ἱματίου, καὶ τοῦτο ἐπώλησεν. Ὕστερον δὲ, χειμῶνος ἐπιλαβομένου, καὶ σφοδροῦ γενομένου τοῦ ἀέρος, ἐπειδὴ ἴδε τὴν χελιδόνα νεκρὰν κειμένην, ἔφη πρὸς αὐτὴν, Ὦ αὕτη, σὺ κἀμὲ ἀπώλεσας.

Ὁ λόγος δηλοῖ, ὅτι πᾶν τὸ παρὰ καιρὸν πραττόμενον ἐπικίνδυνόν ἐστιν.

249. ΟΔΟΙΠΟΡΟΙ ΚΑΙ ΑΡΚΤΟΣ.

Δύο φίλοι τὴν αὐτὴν ὁδὸν ἐβάδιζον. Ἄρκτου δὲ αὐτοῖς ἐπιφανείσης, ὁ μὲν εἷς φθάσας ἀνέβη ἐπί τι δένδρον, καὶ ἐνταῦθα ἐκρύπτετο· ὁ δὲ ἕτερος, μέλλων περικατάληπτος γίνεσθαι, πεσὼν ἐπὶ τοῦ ἐδάφους, ἑαυτὸν νεκρὸν προσεποιεῖτο. Τῆς δὲ ἄρκτου προσενεγκούσης αὐτῷ τὸ ῥύγχος, καὶ περιοσφραινομένης, τὰς ἀναπνοὰς συνεῖχε. Φασὶ γὰρ νεκροῦ μὴ ἅπτεσθαι τὸ ζῶον. Ἀπαλλαγείσης δὲ, ὁ ἀπὸ τοῦ δένδρου καταβὰς ἐπυνθάνετο τοῦ ἑτέρου, τί ἡ ἄρκτος πρὸς τὸ οὖς εἰρήκει. Ὁ δὲ εἶπε, Τοῦ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

λοιποῦ τοιούτοις μὴ συνοδοιπορεῖν φίλοις, οἳ ἐν κινδύνοις οὐ παραμένουσιν.

Ὁ λόγος δηλοῖ, ὅτι τοὺς γνησίους τῶν φίλων αἱ συμφοραὶ δοκιμάζουσι.

ΑΛΛΩΣ.

Δύο φίλοι τὴν αὐτὴν ὁδὸν ἐβάδιζον. Καὶ δὴ ἄρκτος αὐτοῖς συναντήσασα, ὁ μὲν εἷς φοβηθεὶς ἐπὶ δένδρον ἀναβὰς ἐκρύβη· ὁ δὲ ἕτερος, περιγενέσθαι αὐτῆς μόνος μὴ δυνάμενος, ὡς εἶδεν αὐτὸν μέλλοντα κυριευθῆναι ὑπὸ τῆς ἄρκτου, πεσὼν ἐπὶ τὴν γῆν προσεποιεῖτο τεθνᾶναι. Ἐλθούσης δὲ τῆς ἄρκτου ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, ὠσφραίνετο τὰς ἀκοὰς αὐτοῦ καὶ τὰς φρένας. Ὁ δὲ [τὰς] ἀναπνοὰς αὐτοῦ κατέσχεν εὐτόνως. Ἡ δὲ ἄρκτος, ὑπολαβοῦσα νεκρὸν αὐτὸν εἶναι, ἀνεχώρησε. Φασὶ γὰρ νεκροῦ μὴ ἅπτεσθαι τὴν ἄρκτον. Ὁ δὲ ἕτερος, καταβὰς ἀπὸ τοῦ δένδρου, ἐπυνθάνετο τί *ἂν* πρὸς τὸ οὖς αὐτοῦ ἐλάλει ἡ ἄρκτος. Ὁ δὲ, εἶπεν, Ἔφη πρός με ἡ ἄρκτος, Ἀπὸ τοῦ νῦν τοιούτοις φίλοις μὴ συνοδεύσῃς.

Ὁ μῦθος δηλοῖ, ὅτι ἀπέχεσθαι χρὴ φίλων, οἵτινες ἐν καιρῷ περιστάσεως οὐ παραμένουσι βοηθεῖν.

250. ΟΔΟΙΠΟΡΟΙ ΚΑΙ ΚΟΡΑΞ.

Πορευομένοις τισὶν ἐπὶ πρᾶξίν τινα κόραξ ὑπήντησε, τῶν ὀφθαλμῶν τὸν ἕτερον πεπηρωμένος. Ἐπιστραφέντων δὲ αὐτῶν, καὶ τινὸς ὑποστρέψαι παραινοῦντος, τοῦτο [γὰρ] σημαίνειν τὸν οἰωνὸν, ἕτερος ὑποτυχὼν εἶπε· Καὶ πῶς οὗτος ἡμῖν δύναται τὰ μέλλοντα μαντεύεσθαι, ὃς οὐδὲ [τὴν] ἰδίαν πήρωσιν προείδετο ἵνα φυλάξηται.

Οὕτω καὶ οἱ ἐν τοῖς οἰκείοις πράγμασι τὸ ἄβουλον κεκτημένοι, καὶ εἰς τὰς τῶν πέλας συμβουλίας ἀδόκιμοι.

251. ΟΔΟΙΠΟΡΟΙ ΚΑΙ ΠΛΑΤΑΝΟΣ.

Οδοιπόροι, θέρους ὥρᾳ περὶ μεσημβρίαν ὑπὸ καύματος τρυχόμενοι, ὡς ἐθεάσαντο πλάτανον, ὑπὸ ταύτην καταντήσαντες, καὶ ἐν τῇ σκιᾷ κατα*να*κλιθέντες, ἀνεπαύοντο. Ἀναβλέψαντες δὲ εἰς τὴν πλάτανον ἔλεγον πρὸς ἀλλήλους, ὡς ἀνωφελές ἐςι καὶ ἄκαρπον τοῦτο ἀνθρώποις τὸ δένδρον. Ἡ δὲ ὑποτυχοῦσα ἔφη πρὸς αὐτούς, Ὦ ἀχάριςοι, ὅτι, τῆς ἐξ ἐμοῦ εὐεργεσίας ἀπολαύοντες, ἀχρείαν με καὶ ἄκαρπον ἀποκαλεῖτε (1).

Οὕτω πολλοὶ ἀτυχεῖς εἰσι, καὶ εὐεργετοῦντες τοὺς πέλας ἐξ αὐτῶν μᾶλλον ἀχαριςοῦνται.

252. ΟΔΟΙΠΟΡΟΣ ΚΑΙ ΤΥΧΗ.

Οδοιπόρος, πολλὴν ὁδὸν διανύσας, ἐπειδὴ κόπῳ συνείχετο, πεσὼν παρά τι φρέαρ ἐκοιμᾶτο. Μέλλοντος δὲ αὐτοῦ ὅσον οὔπω καταπίπτειν, ἡ τύχη, ἐπιςᾶσα, καὶ διεγείρασα αὐτόν, εἶπεν, Ὦ οὗτος, εἴγε ἐπεπτώκεις, οὐκ ἂν τῆς ἑαυτοῦ ἀβουλίας, ἀλλ' ἐμὲ ᾐτιῶ.

Οὕτω πολλοὶ τῶν ἀνθρώπων, δι' αὑτοὺς δυςυχήσαντες, τοὺς θεοὺς αἰτιῶνται.

ΑΛΛΩΣ.

Ἐγγὺς φρέατος παῖς τις ἐκοιμᾶτο. Ἐπιςᾶσα δὲ αὐτῷ ἡ

(1) Τοῦτον αἰνίττεται τὸν μῦθον παρὰ Πλουτάρχῳ (Θεμιςοκλ. § 18) Θεμιςοκλῆς, λέγων πρὸς τοὺς Ἀθηναίους, « Οὐ τιμᾶν αὐτὸν, » οὐδὲ θαυμάζειν, ἀλλ' ὥσπερ πλατάνῳ χειμαζομένους μὲν ὑποτρέ» χειν καὶ κινδυνεύοντας, εὐδίας δὲ περὶ αὐτοὺς γενομένης, τίλλειν » καὶ κολούειν ». Ἔπιθι καὶ τὸν Αἰλιανὸν (Ποικ. ἱςορ. Θ, ιή).

τύχη ἐβόα, Ἀνάςα καὶ ἄπελθε ἐντεῦθεν, μήπως, κάτωθεν τοῦ φρέατος πεσὼν, πάντες ἐμὲ καταμέμψωνται.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλάκις πράττοντες κακῶς καὶ σφαλλόμενοι περιπίπτομεν κινδύνοις, καὶ μεμφόμεθα τὴν τύχην.

253. ΟΝΟΝ ΑΓΟΡΑΖΩΝ.

Ὄνον τὶς ἀγοράζειν μέλλων, ἐπὶ δοκιμασίᾳ καὶ πείρᾳ αὐτὸν ἔλαβε· καὶ εἰσαγαγὼν αὐτὸν, ἐπὶ τῆς φάτνης μετὰ τῶν ἰδίων αὐτοῦ ὄνων τοῦτον ἔςησεν. Ὁ δὲ, καταλιπὼν τοὺς ἄλλους, ἐπὶ τῷ ἀργοτάτῳ καὶ ἀδδηφάγῳ ἔςη· καὶ ὡς οὐδὲν ἐποίει, δήσας *οὖν* καὶ ἀπαγαγὼν, τῷ ἰδίῳ δεσπότῃ τοῦτον παρέδωκε. Τοῦ δὲ, ἐρωτῶντος, εἰ οὕτω ταχεῖαν αὐτοῦ τὴν δοκιμασίαν ἐποιήσατο, ὑποτυχὼν εἶπεν· Ἀλλ' ἔγωγε οὐδὲ ἐπιδέομαι πείρας· οἶδα γὰρ ὅτι τοιοῦτος, ὁποῖον ἐξ ἁπάντων τὸν συνήθη ἐπελέξατο.

Ὅτι τοιοῦτος ἕκαςος ὑπολαμβάνεται εἶναι, ὁποίοις ἑταίροις συναναςρέφεται.

254. ΟΝΟΣ.

Ὄνος, ἅλατος γέμων, ποταμὸν διέβαινεν· ὀλισθὼν δὲ, ὡς κατέπεσεν εἰς τὸ ὕδωρ, ἐκτακέντος τοῦ ἅλατος, κουφότερος ἐξανέςη. Ἡσθεὶς δὲ ἐπὶ τούτῳ, ἐπειδὴ ὕςερόν ποτε σπόγγους ἦν πεφορτισμένος, καὶ κατά τινα ποταμὸν ἐγένετο, ᾠήθη δὲ ὅτι, ἐὰν πάλιν πέσῃ, ἐλαφρότερος διεγερθήσεται, καὶ δὴ ἑκὼν ὠλίσθησε. Συνέβη δὲ αὐτῷ, τῶν σπόγγων ἀνασπασάντων τὸ ὕδωρ, μὴ δυναμένῳ ἐξανίςασθαι, ἐνταῦθα ἀποπνιγῆναι.

Οὕτω καὶ τῶν ἀνθρώπων ἔνιοι, διὰ τῆς ἰδίας ἐπινοίας λανθάνουσιν ἐν συμφοραῖς γινόμενοι.

ΑΛΛΩΣ.

Τῶν ἀλγηγῶν ἡμιόνων εἷς, ἐμβαλὼν εἰς ποταμὸν, ὤλισθεν αὐτομάτως· καὶ τῶν ἁλῶν διατακέντων, ἀναςὰς ἐλαφρὸς, ἤσθετο τὴν αἰτίαν, καὶ κατεμνημόνευσεν, ὥςε διαβαίνων ἀεὶ τὸν ποταμὸν, ἐπίτηδες ὑφιέναι καὶ βαπτίζειν τὰ ἀγγεῖα, συγκαθίζων καὶ ἀπονεύων εἰς ἑκάτερον μέρος. Ἀκούσας οὖν ὁ Θαλῆς, ἐκέλευσεν, ἀντὶ τῶν ἁλῶν, ἐρίων τὰ ἀγγεῖα καὶ σπόγγων ἐμπλήσαντας καὶ ἀναθέντας, ἐλαύνειν τὸν ἡμίονον. Ποιήσας οὖν τὸ εἰωθὸς, καὶ ἀναπλήσας ὕδατος τὰ φορτία, συνῆκεν ἀλυσιτελῆ σοφιζόμενος ἑαυτῷ. Καὶ τὸ λοιπὸν οὕτω προσέχων, καὶ φυλαττόμενος, διέβαινε τὸν ποταμὸν, ὥςε μηδὲ ἄκοντος αὐτοῦ τῶν φορτίων παραψαῦσαι τὸ ὑγρόν.

Ὅτι πολλάκις ἐν ᾧ τις εὐτύχησεν, ἐν τούτῳ καὶ πίπτει.

ΑΛΛΩΣ.

Περῶν ποταμὸν φόρτον ἦγ' ἁλὸς ὄνος·
Ἐν ᾧ τε καὶ πέπτωκε κουφισθεὶς βάρος.
Σπόγγων δ' ἔπειτα πλῆθος οὗτος ὡς φέρεν·
Πεσὼν ἑκοντὶ, δυςυχῶς ἀπεπνίγη.

Ὅτι πολλάκις προσδοκία κέρδους εἰς ζημίαν καταντᾷ.

255. ΟΝΟΣ ΚΑΙ ΤΕΤΤΙΓΕΣ.

Ὄνος, ἀκούσας τεττίγων ᾀδόντων, καὶ ζηλώσας αὐτῶν τὴν εὐφωνίαν, ἐπυνθάνετο, τί σιτούμενοι τοιαύτην φωνὴν ἀφιᾶσι. Τῶν δὲ εἰπόντων, δρόσον. Ὁ ὄνος, προσπαραμένων τῇ δρόσῳ, λιμῷ διεφθάρη.

Οὕτως οἱ τῶν παρὰ φύσιν ἐπιθυμοῦντες, πρὸς τῷ μὴ ἐπιτυχεῖν καὶ τὰ μέγιςα δυςυχοῦσι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΑΛΛΩΣ (1).

ΟΝΟΣ ΚΑΙ ΤΕΤΤΙΞ.

Ὄνος, ἀκούσας φωνῆς τέττιγος, ἡδέως αὐτῇ ἐπετέρπετο, καὶ τὸν τέττιγα ἐπηρώτα λέγων, τί ἄρα τρεφόμενος οὕτω γλυκεῖαν ἔχει τὴν φωνήν. Ὁ δὲ τέττιξ τῷ ὄνῳ ἀντέφησεν, Ἡ ἐμὴ τροφὴ ἀὴρ ἐςὶ καὶ δρόσος. Ὁ δὲ ὄνος, τούτου ἀκούσας τοῦ ῥήματος, ἐνόμισε μέθοδον εὑρηκέναι, δι᾽ ἧς ὁμοίαν τῷ τέττιγι σχοίη φωνήν· καὶ τὸ ςόμα εὐθὺς ἀνοίξας πρὸς τὸν ἀέρα κεχήνωτο, ὡς δεξόμενος δῆθεν δρόσον εἰς διατροφήν, ἕως οὗ τῷ λιμῷ τέλεον διεφθάρη.

Οὕτως οὐ δεῖ τινα τὰ φυσικὰ τοῖς παρὰ φύσιν ἐξομοιοῦν, καὶ τοῖς ἀδυνάτοις ἀφρόνως ἐπιχειρεῖν.

256. ΟΝΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.

Ὄνος ἀκανθώδεις παλιούρους ἤσθιε. Τοῦτον ἰδοῦσα ἡ ἀλώπηξ εἶπε· Πῶς οὕτω τῇ ἁπαλῇ γλώσσῃ τὸ σκληρὸν καὶ ἀκανθῶδες προσφάγιον ἐσθίεις;

Ὅτι οὐ δεῖ φλυάρων ἀνδρῶν κατηγορίας ἀκούειν· εἰς κίνδυνον γὰρ ἄγουσι τὸν ἀκούοντα.

257. ΟΝΟΣ ΒΑΣΤΑΖΩΝ ΕΙΔΩΛΟΝ.

Ὄνῳ τὶς ἐπιθεὶς ξόανον ἦγε. Πολλοὶ δὲ προσεκύνουν τῶν συναντώντων. Ὁ δὲ ὄνος τυφωθεὶς, νομίζων αὐτὸν προσκυνεῖν τοὺς ἀγροίκους, σκιρτῶν, ἤμελλε τὸν θεὸν ῥίψαι. Ἀλλὰ τοῦτον ξύλῳ παίων ὁ δεσπότης, εἶπεν· Ὄνος εἶ θεὸν φέρων, ἀλλ᾽ οὐ θεοῖς ὑπάρχεις ὁμότιμος (2).

Κτηνώδεις ἄνδρας, τετυφωμένους ἐπ᾽ ἀλλοτρίοις, ὁ λόγος ἐλέγχει.

---

(1) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. ά.

(2) Ἀποσπασμάτιον Βαβρίου ἐκ τοῦ Σουΐδα (λέξ. Κωμῆται)·
Ὄνῳ τὶς ἐπιθεὶς ξόανον εἶχε (γρ. ἦγε) κωμήτης.

ΑΛΛΩΣ.

Ὤμοις ὄνος παρῆγεν ἀργυροῦν βρέτας,
Ὅπερ συναντῶν πᾶς τις αὖ ἐπροσκύνει·
Τύφῳ δ' ἐπαρθεὶς, μὴ θέλων μένειν ὄνος,
Ἤκουσεν, Οὐ θεὸς σὺ, τὸν θεὸν δ' ἄγεις.

Ὅτι τοὺς ἐν ἀξιώμασι τιμωμένους δεῖ γινώσκειν, ὅτι ἄνθρωποί εἰσιν.

258. ΟΝΟΣ ΚΑΙ ΛΕΟΝΤΗ.

Ὄνος, δορὰν λέοντος ἐπενδυθεὶς, λέων ἐνομίζετο πᾶσι. Καὶ φυγὴ μὲν ἦν ἀνθρώπων, φυγὴ δὲ ποιμνίων. Ὡς δὲ ἀνέμου πνεύσαντος ἡ δορὰ περιῃρέθη, καὶ γυμνὸς ὁ ὄνος ἦν, τότε πάντες ἐπιδραμόντες ξύλοις καὶ ῥοπάλοις αὐτὸν ἔπαιον.

Ὅτι πένης καὶ ἰδιώτης ὢν, μὴ μιμοῦ τὰ τῶν πλουσίων, μήποτε καταγελασθῇς καὶ κινδυνεύσῃς· τὸ γὰρ ξένον ἀνοίκειον.

ΑΛΛΩΣ.

Ὄνος ἐπεθύμει λέων εἶναι δοκεῖν. Καὶ μεταθεῖναι τὴν φύσιν οὐκ ἔχων, ἐπὶ τοῦ σχήματος ἀνεπλήρου τὸν πόθον, καὶ λεοντῆν περικείμενος, οἷα λέων τοὺς τῶν γεωργῶν ἐλυμαίνετο πόνους. Καὶ πνεύσας βιαιότερον ἄνεμος, γυμνοῖ μὲν αὐτὸν τοῦ προκαλύμματος· φανέντα δὲ ὄνον ῥοπάλοις ἀνῄρουν ὧν τοὺς πόνους κατήσθιεν.

Κόσμος ἐπείσακτος τοῖς χρωμένοις γίνεται κίνδυνος.

ΑΛΛΩΣ.

Ὄνος τὶς ἠμπέσχετο λεοντῆν. Ταύτῃ τοι ξυνελθόντα παιδάρια, ξαίνει τε αὐτὸν τοῖς ῥοπάλοις, καὶ ἀφαιρεῖται τῆς δορᾶς τε καὶ τοῦ φρονήματος.

ΑΛΛΩΣ (1).

Ὄνος τις ἐν Κύμῃ, λεοντῆν περιβαλόμενος, ἠξίου λέων αὐτὸς εἶναι, πρὸς ἀγνοοῦντας τοὺς Κυμαίους ὀγκώμενος μάλα τραχὺ καὶ καταπληκτικόν· ἄχρι δή τις αὐτὸν ξένος, καὶ λέοντα ἰδὼν πολλάκις καὶ ὄνον, ἤλεγξε, καὶ ἀπεδίωξε παίων τοῖς ξύλοις.

ΑΛΛΩΣ.

Φέρων λέοντος δέρμα τοῖς ὤμοις ὄνος,
Ηὔχει λέων εἶναί τις, αἰπόλους τρέπων.
Ἐπεὶ δὲ γυμνὸς τῆς λεοντῆς εὑρέθη,
Τοῦτον μυλὼν ἔμνησε τῆς ἀταξίας.

Ὁ μῦθος δηλοῖ, ὅτι αἱ παρ' ἀξίαν τιμαὶ τάχιστα λύονται.

ΑΛΛΩΣ

Ἐν Κύμῃ ὄνος γεγονὼς μέγας ὑπὲρ τοὺς ὄνους,
Λέοντος δέρας ἐνδυθείς, φόβον ἐποίει μέγαν.
Ὡς δ' ἡ φωνὴ τὸν δείλαιον ἔδειξε πᾶσιν ὄνον,
Ἄγεται συγκοπτόμενος ῥοπάλοις τε καὶ ξύλοις.

259. ΟΝΟΣ ΚΑΙ ΛΥΚΟΣ.

Ονος, πατήσας σκόλοπα, χωλὸς εἱστήκει. Λύκον δὲ ἰδών, ἔφη αὐτῷ, Ὦ λύκε, ἰδοὺ ἐκ [τοῦ] πόνου ἀποθνήσκω· καὶ δεῖ με σοῦ γενέσθαι δεῖπνον, ἢ γυπῶν, ἢ κοράκων. Χάριν δὲ μίαν αἰτῶ σε, ἐξελεῖν πρῶτον τὸν σκόλοπα ἐκ [τοῦ] ποδός μου, ὅπως μὴ μετὰ πόνου τεθνήξωμαι. Ὁ δὲ λύκος, ἄκροις ὀδοῦσι δακὼν τὸν σκό–

(1) Ἐκ τοῦ Λουκιανοῦ (Ἀλ. ἢ Ἀναβ. § 32), ὃς καὶ ἀλλαχοῦ (Ψευδολογισ. § 3, καὶ Δραπέτ. § 13) μνημονεύει τοῦ μύθου.

λοπα ἐξεῖλεν. Ὁ ὄνος δὲ, λυθεὶς τοῦ πόνου, ἐπὶ τὸν λύκον χάσκοντα λακτίσας, φεύγει (1), ῥίνας καὶ μέτωπον καὶ ὀδόντας συνθλάσας. Ὁ δὲ λύκος ἔφη, Οἴμοι, δίκαια πάσχω, ὅτι μάγειρος εἶναι μαθὼν, τὸ πρῶτον νῦν ἱππίατρος ἠθέλησα γενέσθαι.

Ὅτι τινὲς, διπλοῖς κινδύνοις περιπεσόντες, καὶ τοῖς ἐχθροῖς, ὠφελεῖν πειρωμένοις, δολίως ἀνταμοιβὴν κακὴν παρέσχον.

ΑΛΛΩΣ.

Ὄνος ἐζήτει τὸν ἰασόμενον, ἐμπαρέντος αὐτοῦ τῷ ποδὶ σκόλοπος. Κατοκνούντων δὲ τῶν πολλῶν, μόνος ὁ λύκος ὑπισχνεῖτο τὴν ἴασιν· καὶ τοῖς ὀδοῦσιν ἐξαιρεῖται τοῦ πάθους. Ὁ δὲ τῷ σωθέντι ποδὶ τὸν ἰασάμενον ἔπληττεν.

Οὕτως οἱ πονηροὶ χάριτι ἀμοιβὰς ἀντεισφέρονται βλάβας.

ΑΛΛΩΣ.

Ὀδοῦσιν ἧλον εἷλεν ἐξ ὄνου λύκος.
Αἰτῶν δὲ μισθὸν, πλήττεται λὰξ τὴν γένυν.
Λύκος δέ φησι, Πῶς μάγειρος ὢν πάλαι,
Ἰατρικῆς μετῆλθον ἔργ' ἀναξίως.

Πρὸς τοὺς τὴν ἰδίαν τέχνην καταλιμπάνοντας, καὶ ἑτέραν μετερχομένους ἐπὶ βλάβῃ.

---

(1) Ἀποσπασμάτιον ἀνωνύμου παρὰ τῷ Σουΐδᾳ (λεξ. Σκῶλον),

Ἔκ μοι σκῶλον ἔρυσον, ὅ μοι κακὸν ἔμπεσεν ὁπλῇ.

Καὶ ἕτερον τοῦ Βαβρίου παρὰ τῷ αὐτῷ (λέξ. Κνηκίας),

Ὁ δ', ἐκλυθεὶς πόνων τε κάνίας πάσης,
Τὸν κνηκίαν χάσκοντα λακτίσας φεύγει.

260. ΟΥΡΑ ΚΑΙ ΜΕΛΗ ΟΦΕΩΣ.

Οὐρά ποτε ὄφεως ἠξίου πρώτη προάγειν καὶ βαδίζειν. Τὰ δὲ λοιπὰ μέλη ἔλεγον, Πῶς χωρὶς ὀμμάτων καὶ ῥινὸς ἡμᾶς ἄξεις, ὡς καὶ τὰ λοιπὰ ζῶα; Ταύτην δὲ οὐκ ἔπειθον, ἕως τὸ φρονοῦν ἐνικήθη. Ἡ οὐρὰ δὲ ἦρχε καὶ ἦγε, σύρουσα τυφλὴ πᾶν τὸ σῶμα, ἕως εἰς βάραθρον πετρῶν ἐνεχθεῖσα, τὴν ῥάχιν καὶ πᾶν τὸ σῶμα ἔπληγε. Σαίνουσα δὲ, ἱκέτευε τὴν κεφαλὴν, λέγουσα· Σῶσον ἡμᾶς, εἰ θέλεις, δέσποινα· τῆς κακῆς γὰρ ἔριδος ἐπειράθην.

Ἄνδρας δολίους, καὶ κακοὺς, καὶ τοῖς δεσπόταις ἐπανιςαμένους, ὁ λόγος ἐλέγχει.

ΑΛΛΩΣ.

Οὐρά ποτε *τοῦ* δράκοντος, τῇ κεφαλῇ ςασιάζουσα, ἠξίου ἡγεῖσθαι παρὰ μέρος, καὶ μὴ διὰ παντὸς ἀκολουθεῖν ἐκείνῃ. Λαβοῦσα δὲ τὴν ἡγεμονίαν, αὐτή τε κακῶς ἀπαλλάττει, ἀνοίᾳ πορευομένη· καὶ τὴν κεφαλὴν καταξαίνει, τυφλοῖς καὶ κωφοῖς μέρεσιν ἀναγκαζομένην παρὰ φύσιν ἕπεσθαι.

Τοῦτο πολλοὺς τῶν πρὸς χάριν ἅπαντα πολιτευομένων ὁρῶμεν πεπονθότας.

261. ΟΦΙΣ, ΓΑΛΗ ΚΑΙ ΜΥΕΣ.

Ὄφις καὶ γαλῆ ἔν τινι οἰκίᾳ ἐμάχοντο. Οἱ δὲ ἐκεῖσε μύες, ἀεὶ καταναλισκόμενοι ὑπὸ ἀμφοτέρων, ὡς ἐθεάσαντο αὐτοὺς μαχομένους, ἐξῆλθον βαδίζοντες. Ἰδόντες δὲ τοὺς μύας, τότε ἀφέντες τὴν πρὸς ἀλλήλους μάχην, ἐπ' ἐκείνους ἐτράπησαν.

Οὕτω καὶ οἱ ἐν ταῖς τῶν δημαγωγῶν ςάσεσιν αὑτοὺς παρεισβάλλοντες, λανθάνουσιν αὐτοὶ ἑκατέρων παρανάλωμα γινόμενοι.

262. ΠΑΙΔΙΟΝ ΕΣΘΙΟΝ ΣΠΛΑΓΧΝΑ.

Βοῦν τινες ἐπ' ἀγρῷ θύσαντες, τοὺς συγγενεῖς ἐκάλεσαν. Ἐν δὲ τούτοις ἦν καὶ γυνὴ πενιχρὰ, μεθ' ἧς καὶ ὁ παῖς. Τὸ δὲ παιδίον, τῶν κρεῶν πλήσας τὴν γασέρα, καὶ ὀδυνώμενος, ἔλεγεν, Ὦ μῆτερ, τὰ σπλάγχνα. Ἡ δὲ εἶπεν, Οὐχὶ τὰ σὰ, τέκνον, ἃ δὲ κατέφαγες (1).

Ὁ λόγος πρὸς ἄνδρα χρεωφειλέτην, ὅςις, ἑτοίμως τὰ ἀλλότρια λαμβάνων, ὅταν ἀπαιτηθῇ, οὕτως ἄχθεται, ὡς οἴκοθεν προϊέμενος.

ΑΛΛΩΣ.

Βοτῆρες ἐν ἀγρῷ ἔθυον αἶγα. Συνῆν δ' αὐτοῖς καὶ γυνὴ πενιχρὰ, μετὰ τοῦ ἑαυτῆς παιδός. Τῆς δ' εὐωχίας προϊούσης, καὶ ἐξογκωθείσης τῆς γαςρὸς τοῦ παιδὸς ἀπὸ τῶν κρεῶν, ὀδυνώμενος ἔλεγεν, Ὦ μῆτερ, τὰ σπλάχνα μου. Ἡ δὲ μήτηρ αὐτοῦ εἶπεν, Οὐχὶ τὰ σὰ, τέκνον, ἀλλ' ἃ κατέφαγες.

Ὁ μῦθος πρὸς ἄνδρα χρεωφειλέτην, ὅςις, τὰ ἀλλότρια ἑτοίμως ἀπολαμβάνων, ὅταν ταῦτα ἀπαιτηθῇ, οὕτως ἄχθεται, ὡς οἴκοθεν αὐτὰ προδιδούς.

ΑΛΛΩΣ.

Βοὸς φαγὼν παῖς εἰς ἑορτὴν ἔγκατα,
Ἤμει, κεκληγὼς, Σπλάγχνα, μῆτερ, ἐκχέω.

---

(1) Ἑτεροίως ἐχρήσατο Πλούταρχος (Περὶ τοῦ μὴ δεῖν δανείζεσθ. § 8) τῷ μύθῳ. « Καὶ τὸν τῶν γυπῶν λόγον ἄκουσον· ἐμοῦντος τοῦ » ἑτέρου, καὶ λέγοντος τὰ σπλάγχνα ἐκβάλλειν, ἕτερος παρὼν, Καὶ τί » δεινόν; εἶπεν· οὐ γὰρ σεαυτοῦ σπλάγχνα ἐκβάλλεις, ἀλλὰ τοῦ νε» κροῦ, ὃν ἄρτι ἐσπαράττομεν ».

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ἡ δ' αὖ γελῶσα, Μὴ φοβοῦ, τέκνον, ἔφη.
Τῶν σῶν γὰρ οὐδέν· ἀλλ' ἐμεῖς ἀλλοτρίων.

Ὅτι δεῖ τἀλλότρια ἐκτιννύειν, καὶ μὴ γογγύζειν.

263. ΠΑΙΣ ΑΚΡΙΔΑΣ ΘΗΡΕΥΩΝ ΚΑΙ ΣΚΟΡΠΙΟΣ.

Παῖς πρὸ τοῦ τείχους ἀκρίδας ἐθήρευε. Πολλὰς δὲ συλλαβὼν, ὡς ἐθεάσατο σκορπίον, νομίσας ἀκρίδα εἶναι, κοιλάνας τὴν χεῖρα, οἷός τε ἦν καταφέρειν αὐτοῦ. Καὶ ὃς, τὸ κέντρον ἐπάρας, εἶπεν· Εἴθε γὰρ τοῦτο ποιήσειας, ἵνα καὶ ἃς συνείληφας ἀκρίδας ἀποβάλῃς.

Ὅτι καλὸν καὶ τὰ ἐναντία γινώσκειν, καὶ τὸ μὲν καλὸν τιμᾷν, τὸ δὲ κακὸν ἐκφεύγειν.

ΑΛΛΩΣ.

Παῖς τις θηρεύων ἀκρίδας, περιέτυχε σκορπίῳ. Ὁ δὲ, τὸ τοῦ παιδὸς ἁπλοῦν θεασάμενος, τὸ κέντρον ὀξύνας, εἶπεν· Ἄπελθε παῖ, καὶ σώζου, μὴ, κἀμὲ θηρεύων, πάντας, οὓς ἔχεις, ἀπολέσῃς.

ΑΛΛΩΣ.

Ὡς ἀκρίδας θήρευε παῖς τις, σκορπίῳ
Προὔτεινε χεῖρας. Ὃς δὲ, Μὴ ψαύσῃς, ἔφη·
Ὡς, εἴγε μου ψαύσειας, ἐκ κόλπων ϛένων,
Καὶ τὰς ἀληθεῖς ἐκκενώσεις ἀκρίδας.

Ὅτι δεῖ κακοῖς ἀνθρώποις μὴ συμμίγνυσθαι.

264. ΠΑΙΣ ΚΑΙ ΠΑΤΗΡ.

Υἱόν τις γέρων δειλὸς μονογενῆ ἔχων γενναῖον, κυνηγεῖν ἐφιέμενον, ἴδε τοῦτον καθ' ὕπνους ὑπὸ λέοντος ἀναλωθέντα.

Φοβηθεὶς δὲ, μήπως ὁ ὄνειρος ἀληθεύσῃ, οἴκημα κάλλιστον καὶ μετέωρον κατεσκεύασε· κἀκεῖσε τὸν υἱὸν εἰσαγαγὼν ἐφύλαττεν. Ἐζωγράφησε δὲ ἐν τῷ οἰκήματι, πρὸς τέρψιν (1) τοῦ υἱοῦ, παντοῖα ζῶα, ἐν οἷς ἦν καὶ λέων. Ὁ δὲ, ταῦτα ὁρῶν, πλείονα λύπην εἶχε. Καὶ δήποτε, πλησίον τοῦ λέοντος στὰς, εἶπεν, Ὦ κάκιστον θηρίον, διὰ σὲ, καὶ τὸν ψευδῆ ὄνειρον τοῦ ἐμοῦ πατρὸς, τῇδε τῇ οἰκίᾳ κατεκλείσθην, ὡς ἐν φρουρᾷ. Τί σοι ποιήσω; Καὶ εἰπὼν, ἐπέβαλε τῷ τοίχῳ τὴν χεῖρα, ἐκτυφλῶσαι τὸν λέοντα. Σκόλοψ δὲ τῷ δακτύλῳ αὐτοῦ ἐμπαρεὶς, ὄγκωμα καὶ φλεγμονὴν μέχρι βουβῶνος εἰργάσατο. Πυρετὸς δὲ ἐπιγενόμενος αὐτῷ, θᾶττον τοῦ βίου μετέστησεν. Ὁ δὲ λέων καὶ οὕτως ἀνῄρηκε τὸν παῖδα, μηδὲν τῷ τοῦ πατρὸς ὠφεληθέντα σοφίσματι.

Ὁ μῦθος δηλοῖ, ὅτι οὐδεὶς δύναται τὸ μέλλον ἐκφυγεῖν.

265. ΠΑΤΗΡ ΚΑΙ ΘΥΓΑΤΕΡΕΣ.

Ἔχων τὶς δύο θυγατέρας, τὴν μὲν κηπωρῷ ἐξέδωκε πρὸς γάμον, τὴν δὲ ἑτέραν κεραμεῖ. Χρόνου δὲ προελθόντος, ἧκε πρὸς τὴν τοῦ κηπωροῦ, καὶ ταύτην ἠρώτα πῶς ἔχοι, καὶ ἐν τίνι αὐτοῖς εἴη τὰ πράγματα. Τῆς δὲ, εἰπούσης, πάντα μὲν αὐτοῖς παρεῖναι, ἓν δὲ τοῦτο εὔχεσθαι τοῖς θεοῖς, ὅπως χειμὼν γένηται καὶ ὄμβρος, ἵνα τὰ λάχανα ἀρδεύσῃ· μετ' οὐ πολὺ πρὸς

---

(1) Εἰς τοῦτον ἀναφέρουσι τὸν μῦθον τὰ παρὰ τῷ Σουΐδᾳ (λέξ. Βουκόλημα),

Χ' ὅπως ἔχῃ τι βουκόλημα τῆς λύπης,
Ἐνέθηκε τοίχοις ποικίλας γραφὰς ζώων.

Ὁ δὲ πλάσας τὸν μῦθον ἔοικεν ἐκ τῶν Ἡροδότῳ (Α, § 34-45) ἱστορημένων περὶ τοῦ Κροίσου παιδὸς τὰς ἀφορμὰς εἰληφέναι.

τὴν τοῦ κεραμέως [ἧκε]· καὶ οὕτως ἐπυνθάνετο πῶς ἔχοι. Τῆς δὲ, τὰ μὲν ἄλλα μὴ ἐνδεῖσθαι, τοῦτο δὲ μόνον εὔχεσθαι, ὅπως αἰθρία τε λαμπρὰ ἐπιμείνῃ, καὶ λαμπρὸς ἥλιος, ἵνα ξηρανθῇ ὁ κέραμος· ὁ δὲ εἶπε πρὸς αὐτήν· Ἐὰν οὖν σὺ μὲν εὐδίαν ἐπιζητῇς, ἡ δὲ ἀδελφή σου χειμῶνα, ποίᾳ ὑμῶν εὔξωμαι;

Ὅτι οἱ ἀνομοίοις πράγμασιν ἐπιχειροῦντες, εἰκότως περὶ ἑκάτερα πταίουσι.

ΑΛΛΩΣ.

Γυνή τις, θυγατέρων οὖσα δυοῖν μήτηρ, ἀνδράσι συνῆψε ταύτας, τὴν μὲν κηπωρῷ, θατέραν δὲ κεραμεῖ. Ἐλθοῦσα τοίνυν ποτὲ πρὸς τὴν τῷ κηπωρῷ γεγαμημένην, τά τε ἄλλα ὡμίλει, καὶ πῶς *ἂν* ἔχοι διηρώτα. Ἡ δὲ, Τὰ μὲν ἄλλα, μῆτερ, ἔφη, καλῶς· εὔχου δὲ *τὴν* ὄμβρων φορὰν, ὡς τοῖς λαχάνοις αὔξησις ἡ κατὰ νόμους προσγένοιτο. Ἐκεῖθεν δ' ἐξελθοῦσα, καὶ πρὸς τὴν συνοικοῦσαν τῷ κεραμεῖ ἀφικνεῖται. Τοῖς δ' αὐτοῖς χρησαμένη καὶ πρὸς ἐκείνην, ἤκουσεν, ὡς Τὰ μὲν ἄλλα καλῶς ἡμῖν, ὦ μῆτερ, ἔχει, εὔχου δ' αἰθρίαν ἡμῖν καὶ ἡλίους γίνεσθαι θερμοτέρους τε καὶ καθαρωτέρους, ὡς ἂν θᾶττον οἱ κέραμοι ψύχοιντο. Καὶ ἡ μήτηρ πρὸς ταῦτα ἔφη, Σοὶ μὲν, αἰθρίαν, τῇ δὲ τῷ κηπωρῷ συνοικούσῃ παμπόλλους ὑετοὺς δοῖεν οἱ θεοί.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ μηδὲν ἐκ τῶν ἰδίων ἔχουσι χαρίζεσθαι, ῥαδίως τοῖς αἰτοῦσι τὰ τῶν ἄλλων ἐπαγγέλλονται.

266. ΠΑΙΣ ΨΕΥΣΤΗΣ.

Παιδίον, *τὰ* πρόβατα νέμον, ὡς λύκον ἐρχόμενον πρὸς διαφθορὰν ὁρῶν, ἐπικαλούμενον τοὺς ἀγρότας, ἔλεγε· Βοηθεῖτε ὧδε· ἔρχεται λύκος. Οἱ δὲ ἀγρόται τρέχοντες τοῦτον εὕρισκον μὴ ἀληθεύειν. Τοῦτο δὲ ποιήσαντος πολλάκις, εὕρισκον ψευδόμενον.

δόμενον. Μετὰ δὲ ταῦτα τοῦ λύκου προσελθόντος, καὶ τοῦ παιδὸς βοῶντος, Δεῦτε, λύκος, οὐκέτι τις ἐπίςευε προσδραμεῖν αὐτῷ καὶ βοηθῆσαι. Ὁ δὲ λύκος, εὑρηκὼς ἄδειαν, τὴν ποίμνην πᾶσαν διέφθειρεν εὐκόλως.

Ὅτι τοσοῦτον ὄφελος τῷ ψεύςῃ, ὅτι καὶ ἀληθῆ λέγων πολλάκις οὐ πιςεύεται.

267. ΠΙΘΗΚΟΙ.

Τοὺς πιθήκους φασὶ δύο τίκτειν· καὶ τὸν μὲν ἕτερον ςέργειν καὶ μετ' ἐπιμελείας τρέφειν, τὸν δὲ ἕτερον μισεῖν. Συμβαίνει δὲ κατά τινα τύχην, τὸν μὲν ἐπιμελούμενον καὶ ἀγκαλιζόμενον παρὰ τῆς μητρὸς ἀποπνίγεσθαι, τὸν δὲ ὀλιγωρούμενον ἐκτελεῖσθαι.

Ὁ λόγος δηλοῖ, ὅτι πάσης προνοίας ἡ τύχη δυνατωτέρα.

ΑΛΛΩΣ.

Δύο γεννᾷ τέκνα μιμώ· καὶ τὸ μὲν ἓν ἀγαπᾷ, τὸ δὲ ἕτερον μισεῖ. Καὶ ὃ μὲν ςέργει, ἀεὶ ἐν τοῖς κόλποις περιφέρουσα, καὶ τιθεῖσα ἔνθεν κἀκεῖθεν, καὶ τοῦτο καταφιλοῦσα, ἀποπνίγει· ὃ δὲ μισεῖ καὶ διώκει, τοῦτο ἐν ταῖς ἐρημίαις ἀπελθὸν ζῇ καθ' αὐτό.

Ὅτι τισὶν ἐχθραίνειν μᾶλλόν ἐςι καλὸν ἢ φιλεῖν.

268. ΠΛΕΟΝΤΕΣ.

Ἐμβάντες τινὲς εἰς σκάφος ἔπλεον. Γενομένων δὲ αὐτῶν πελαγίων, συνέβη χειμῶνα ἐξαίσιον γενέσθαι, καὶ τὴν ναῦν μικροῦ καταδύεσθαι. Τῶν δὲ πλεόντων ἕτερος περιῤῥηξάμενος, τοὺς πατρῴους θεοὺς ἐπεκαλεῖτο μετὰ οἰμωγῆς καὶ ςεναγμῶν, χαριςήρια ἀποδώσειν ἐπαγγελλόμενος, ἐὰν περισωθῶσι. Παυ-

σαμένου δὲ τοῦ χειμῶνος, καὶ πάλιν γαλήνης γενομένης, εἰς εὐωχίαν τραπέντες ὠρχοῦντό τε καὶ ἐσκίρτων, ἅτε δὴ ἐξ ἀπροσδοκήτου διαπεφευγότες κινδύνου. Καὶ στεῤῥὸς ὁ κυβερνήτης ὑπάρχων ἔφη πρὸς αὐτούς· Ἀλλ' ὦ φίλοι, οὕτως καὶ ἡμᾶς γεγηθέναι δεῖ, ὡς πάλιν, ἐὰν τύχῃ, χειμῶνος ἐσομένου.

Μὴ σφόδρα κατεπαίρεσθαι ταῖς εὐτυχίαις ὁ μῦθος διδάσκει, τῆς τύχης τὸ εὐμετάβλητον ἐννοουμένους.

269. ΠΛΟΥΣΙΟΣ ΚΑΙ ΒΥΡΣΕΥΣ.

Πλουσιος βυρσεῖ παραπλησιάζων τις, καὶ μὴ δυνάμενος τὴν δυσωδίαν φέρειν, ἐπέκειτο αὐτῷ, ἵνα μεταβῇ. Ὁ δὲ ἀνεβάλλετο, λέγων μετ' ὀλίγον χρόνον μεταβήσεσθαι. Τούτου δὲ συνεχῶς γινομένου, συνέβη, χρόνου διελθόντος, ἐν συνηθείᾳ γενομένῳ τὴν δυσωδίαν μηκέτι ἐνοχλεῖν.

Ὁ λόγος δηλοῖ, ὅτι ἡ συνήθεια τῶν πραγμάτων τὰ δυστυχῆ καταπραΰνει.

ΑΛΛΩΣ.

Ἐν τόπῳ τινὶ πλησίον ἀνδρὸς πλουσίου βυρσοδέψης ἔμελλεν οἰκῆσαι. Ὁ δὲ τοῦτον ἐδίωκε διὰ τὴν δυσοσμιάν. Τοῦ δὲ, λέγοντος, Πρὸς ὀλίγον ἀνιαθήσῃ, μέχρις οὗ συνεθίσῃς, καὶ ἔκτοτε οὐκέτι ὀσφρανθήσῃ, ἔφη, Οὐ διὰ τὴν σὴν τέχνην ἡμεῖς τὴν αἴσθησιν ἡμῶν ἀποβαλοῦμεν.

Ὅτι οὐ δεῖ κοινωνεῖν ταῖς ματαίαις συμβουλίαις, μάλιστα ταῖς πρὸς βλάβην τῆς φύσεως οὔσαις.

270. ΠΟΙΜΗΝ ΚΑΙ ΛΥΚΟΣ (1).

Ἔδοξέ ποτε τῷ λύκῳ τὴν φύσιν τῷ σχήματι μεταλλάξασθαι, ὡς ἂν οὕτως ἀφθονίαν ἔχῃ τροφῆς· καὶ δορὰν οἷος περιβέβλη-

(1) Ἐκ Νικηφόρου τοῦ Βασιλάκη.

μένος μετὰ τῆς ποίμνης ἐνέμετο, τὸν ποιμένα φενακίσας τῷ μηχανήματι. Νυκτὸς δὲ γενομένης, συναπεκλείσθη καὶ ὁ θὴρ παρὰ τοῦ ποιμένος τῇ μάνδρᾳ, καὶ φραγμὸς τῇ εἰσόδῳ περιετέθη, καὶ ἀτεχνῶς ὁ περίβολος κατησφάλιςο. Ὡς δὲ ὁ ποιμὴν ἠράσθη τροφῆς, μαχαίρᾳ τὸν λύκον ἀπέκτεινεν.

Οὕτως ἄρα ὁ τὸν ἐπείσακτον κόσμον ὑποκριθεὶς, τῆς ζωῆς πολλάκις ἐςέρηται, καὶ τὴν σκηνὴν εὗρε παραιτίαν μεγάλου συμπτώματος.

271. ΠΟΙΜΗΝ ΚΑΙ ΚΥΩΝ.

Μάνδρας εἴσω πρόβατα ποιμὴν εἰσάγων, λύκον ἤμελλε λεληθότως συγκλεῖσαι, εἰ μὴ κύων ἰδὼν τοῦτον εἶπε πρὸς τὸν ποιμένα. Πῶς, τὰ πρόβατα σῶσαι θέλων, τόνδε τὸν λύκον συνεισάγεις τῇ ποίμνῃ;

Ὅτι μεγίςην βλάβην καὶ θάνατον οἶδε προσφέρειν ἡ τῶν κακῶν συνουσία.

272. ΠΟΙΜΗΝ ΚΑΙ ΚΥΩΝ.

Ποιμὴν, ἔχων κύνα παμμεγέθη, τούτῳ εἰώθει τὰ ἔμβρυα *καὶ* τὰ ἀποθνήσκοντα τῶν προβάτων παραβάλλειν. Καὶ δήποτε, εἰσελθούσης τῆς ποίμνης, ὁ ποιμὴν, θεασάμενος τὸν κύνα προσιόντα τοῖς προβάτοις, [καὶ] σαίνοντα αὐτὰ, εἶπεν· Ἀλλ' ὦ οὗτος, ὃ θέλεις σὺ τούτοις ἐπὶ τῇ σῇ κεφαλῇ γένοιτο.

Πρὸς ἄνδρα λόγοις μὲν φίλον φαινόμενον, πονηρὰ δὲ κατὰ νοῦν βουλευόμενον.

ΑΛΛΩΣ.

ΠΟΙΜΗΝ ΚΑΙ ΣΚΥΛΑΞ.

Ποιμὴν σκύλακα εἰώθε τρέφειν ἐκ τῶν θνησκόντων προβάτων. Καὶ δήποτε ἐγγὺς ἀμνάδος νοσούσης ἱςάμενον εἶδε

τὸν κύνα κατηφῆ, καὶ δοκοῦντα δακρύειν· καὶ ὁμαλίζων αὐτὸν εἶπεν· Καλῶς ποιεῖς συμπαθῶν· πλὴν ἀλλὰ μὴ γένηται μηδὲ συμβῆ ὅπερ θέλεις.

Ὅτι τοιοῦτος πᾶς ἐςιν ὅς κληρονόμος ἐςίν.

273. ΠΟΙΜΗΝ ΚΑΙ ΛΥΚΙΔΕΙΣ.

Ποιμὴν, εὑρὼν λυκιδεῖς, τούτους μετὰ πολλῆς ἐπιμελείας ἀνέτρεφεν, οἰόμενος, ὅτι τελειωθέντες οὐ μόνον τὰ ἑαυτοῦ πρόβατα τηρήσουσιν, ἀλλὰ καὶ ἕτερα ἁρπάζοντες αὐτῷ οἴσουσιν. Οἱ δὲ, ὡς τάχιςα ηὐξήθησαν, ἀδείας τυχόντες, πρώτην αὐτοῦ τὴν ποίμνην διαφθείρειν ἤρξαντο. Ὁ δὲ, ἀναςενάξας εἶπεν· Ἀλλ' ἔγωγε δίκαια πέπονθα· τί γὰρ τούτους νηπίους ὄντας ἔσωζον, οὓς ἔδει καὶ ηὐξημένους ἀναιρεῖν;

274. ΠΡΟΜΗΘΕΥΣ ΚΑΙ ΑΝΘΡΩΠΟΙ.

Προμηθεὺς κατὰ πρόςαξιν τοῦ Διὸς ἀνθρώπους ἔπλασε καὶ θηρία. Ὁ δὲ Ζεὺς, θεασάμενος πολλῷ πλείονα τὰ ἄλογα ζῶα, ἐκέλευσεν αὐτὸν, τῶν θηρίων τινὰ διαφθείραντα, ἀνθρώπους μετατυπῶσαι. Τοῦ δὲ, τὸ προςαχθὲν ποιήσαντος, συνέβη τοὺς ἐκ τούτων πλασθέντας, τὴν μὲν μορφὴν ἀνθρώπων ἔχειν, τὰς δὲ ψυχὰς θηριώδεις.

Ἔλεγχον ὁ μῦθος ἔχει πρὸς ἄνδρας θηριώδεις καὶ ὀργίλους.

275. ΡΟΔΟΝ ΚΑΙ ΑΜΑΡΑΝΤΟΝ.

Ῥόδῳ παραφυὲν ἀμάραντον ἔφη πρὸς αὐτὸ, Οἷον ἄνθος εὐπρεπὲς εἶ, ποθητὸν καὶ θεοῖς καὶ ἀνθρώποις· μακαρίζω σε τοῦ κάλλους καὶ τῆς εὐωδίας. Τὸ δὲ εἶπεν, Ἐγὼ μὲν, ὦ ἀμά-

ραντον, πρὸς ὀλίγον καιρὸν ζῶ, καὶ, κἂν μηδεὶς κόψῃ με, τήκομαι, σὺ δὲ ἀνθεῖς ἀεὶ, καὶ ζῇς οὕτω νέον.

Ὅτι κρεῖσσον ὀλιγαρκούμενόν τινα διαμένειν, ἢ πρὸς ὀλίγον τρυφήσαντα μεταβολῆς δυςυχοῦς τυχεῖν, ἢ καὶ ἀποθανεῖν.

276. ΣΦΗΞ ΚΑΙ ΟΦΙΣ.

Σφὴξ, ἐπὶ κεφαλὴν ὄφεως καθίσασα, καὶ συνεχῶς τῷ κέντρῳ πλήττουσα ἐχείμαζεν. Ὁ δὲ, περιώδυνος γενόμενος, καὶ τὸν ἐχθρὸν οὐκ ἔχων ἀμύνεσθαι, ἐξελθὼν ἐν τῇ ὁδῷ, καὶ ἰδὼν ἅμαξαν ἐρχομένην, τὴν κεφαλὴν τῷ τρόχῳ ὑπέθηκε, φάσκων, Συναπόλωμαι τῷ ἐχθρῷ.

Πρὸς τοὺς συγκινδυνεύειν τοῖς ἐχθροῖς πειρωμένους.

277. ΤΑΥΡΟΣ ΚΑΙ ΤΡΑΓΟΣ.

Λέοντα φεύγων ταῦρος, εἰσῆλθεν εἰς σπήλαιον. Τράγος δὲ τοῦτον τοῖς κέρασιν ἐξώθει. Ὁ δὲ εἶπεν· Οὐ σὲ, ἀλλὰ τὸν λέοντα φοβοῦμαι. Ἐπεὶ, Παρελθέτω τὸ θηρίον, καὶ τότε γνώσῃ, τίς ἡ δύναμις ταύρου καὶ τράγου.

Ὅτι πολλάκις καὶ δυνατοὺς ἄνδρας αἱ συμφοραὶ ταπεινοῦσιν, [ὥςε] τὰς ἐξ εὐτελῶν καὶ δειλῶν ὑπομένειν αἰκίας.

ΑΛΛΩΣ.

Ἤλαυνε ταῦρον ἐξ ἑῆς κοίτης τράγος,
Ὃν θὴρ λέων δίωκεν. Εἶπε δὲ ςένων,
Εἴπερ με μὴ λέοντος ἐπτόει φόβος,
Ἔγνως ὅσον ταύρου τε καὶ τράγου σθένος.

Πρὸς τοὺς καταδεχομένους ὑβρίζεσθαι ὑπὸ μικρῶν, διὰ φόβον ἑτέρων μειζόνων.

278. ΤΕΤΤΙΞ ΚΑΙ ΑΛΩΠΗΞ.

Τέττιξ ἐπί τινος ὑψηλοῦ δένδρου ᾖδεν. Ἀλώπηξ δὲ, βουλομένη αὐτὸν καταφαγεῖν, τοιοῦτον ἐπενόησεν. Ἄντικρυς ςᾶσα ἐθαύμαζεν αὐτοῦ τὴν εὐφωνίαν, καὶ παρεκάλει καταβῆναι, λέγουσα, ὅτι ἐπεθύμει θεάσασθαι πηλίκον ζῶον τηλικαῦτα φθέγγεται. Κἀκεῖνος, ὑπονοήσας ἀπάτην, πρὸς τὴν ἀλώπεκα ἔφη· Ἀλλὰ πεπλάνησαι, ὦ αὕτη, εἰ ὑπέλαβές με καταβήσεσθαι. Ἐγὼ γὰρ ἀπ' ἐκείνου ἀλώπεκας φυλάττομαι, ἀφ' οὗ ἐν ἀφοδεύματι ἀλώπεκος πτερὰ τέττιγος ἐθεασάμην.

Ὅτι τοὺς φρονίμους τῶν ἀνθρώπων τῶν πέλας αἱ συμφοραὶ σωφρονίζουσιν.

279. ΤΟΞΟΤΗΣ ΚΑΙ ΛΕΩΝ.

Ἀνῆλθέ τις εἰς ὄρος τοξικῆς ἔμπειρος κυνηγῆσαι. Πάντα δὲ τὰ ζῶα τοῦτον θεασάμενα ἔφυγε. Λέων δὲ μόνος προεκαλεῖτο αὐτὸν εἰς μάχην. Ὁ δὲ, βέλος πέμψας, καὶ τὸν λέοντα βαλὼν, ἔφη· Δέξαι καὶ ἴδε τὸν ἐμὸν ἄγγελον, οἷός ἐςι, καὶ τότε κἀγὼ ἐπέρχομαί σοι. Ὁ δὲ λέων βληθεὶς ὥρμησε φεύγειν. Ἀλώπεκος δὲ τούτῳ θαῤῥεῖν καὶ μὴ φεύγειν λεγούσης, ὁ λέων ἔφη· Ὦ αὕτη, οὐδαμῶς με πλανήσεις· ὅπου γὰρ τοιοῦτον πικρὸν ἄγγελον ἔχει, ἐὰν αὐτὸς ἐπέλθῃ, οὐκ ἂν ὑποίσω.

Ὁ μῦθος δηλοῖ, μηδαμῶς πλησιάζειν τοὺς πόῤῥωθεν χαλεπὰ πράττοντας.

ΑΛΛΩΣ.

Μάχην λέων συνῆπτεν ἀνδρὶ τοξότῃ.
Βέλει τυπεὶς δὲ, θηρσὶν εἶπε τοιάδε·

Εἰ δὴ προπομποὺς εὐπορεῖ τοίους ὄγε,
Τίς αὐτὸς εἴη συςάδην ὡρμημένος;

Γνωσιμαχεῖν ἐκ πείρας διδασκόμεθα.

280. ΤΡΑΓΟΣ ΚΑΙ ΑΜΠΕΛΟΣ.

Τράγος ἐν τῇ ἐκβολῇ τῆς ἀμπέλου τὴν βλάςην ἔτρωγε. Τούτῳ δὲ προσεῖπεν ἡ ἄμπελος· Τί με βλάπτεις; μὴ οὐκ ἔςι χλόη; ὅμως ὅσον σοῦ θυομένου οἶνον χρήζουσιν, ἐγὼ παρέξω (1).

Ὅτι *καὶ* τοὺς ἀχαρίςους, καὶ βουλομένους τοὺς φίλους πλεονεκτεῖν, ἐλέγχει ὁ λόγος.

ΑΛΛΩΣ.

Τράγῳ προσεῖπεν ἄμπελος, Βλάπτεις σύ με,
Κείρων τὰ φύλλα· μὴ γὰρ οὐκ ἔςι χλόη;
Ὅσον γὰρ ἂν βλάψειας, εὑρήσω τάχα
Πρὸς θυσίαν σὴν εἰς θεοὺς οἶνον βλύσαι.

Ἀδικίας μὴ κατάρχεσθαι.

ΑΛΛΩΣ.

Ἄμπελος ἐκόμα βότρυσι. Παραπλήσιον δὲ ἦν τοῖς καρποῖς καὶ τὸ βλάςημα. Τράγος δέ τις, ὕβρει χρώμενος πλείονι, τῆς ἀμπέλου παρέτρωγε, καὶ διελυμαίνετο προσιὼν τοῖς βλαςήμασιν. Ἡ δὲ πρὸς αὐτὸν ἔφη· Μένει σε τῆς ὕβρεως δίκη· σὺ

---

(1) Εἰς τοῦτον ἀναφέρεται τὸν μῦθον τὸ κομψὸν τοῦτο δίςιχον,

Κὴν με φάγῃς ἐπὶ ῥίζαν, ὅμως ἔτι καρποφορήσω,
Οσον επισπεῖσαι σοι, τράγε, θυομένῳ.

μὲν γὰρ ἔσῃ μικρὸν ὕϛερον ἱερεῖον τοῖς θύμασιν, ἐγὼ δὲ παρ' ἐμαυτῆς ἐπισπείσω τὸν οἶνον.

Ἃ δρᾷ τις, καὶ πείσεται.

281. ΥΑΙΝΑ ΚΑΙ ΑΛΩΠΗΞ.

Τὰς ὑαίνας φασὶ, παρ' ἐνιαυτὸν ἀλλασσομένης αὐτῶν τῆς φύσεως, ποτὲ μὲν ἄρσενας, ποτὲ δὲ θηλείας γίνεσθαι. Καὶ δὴ ὕαινα, θεασαμένη ἀλώπεκα, ἐμέμφετο αὐτὴν, ὅτι φίλην θέλουσαν αὐτῇ γενέσθαι οὐ προσίεται. Κἀκείνη ὑποτυχοῦσα εἶπεν· Ἀλλ' ἐμὲ μὴ μέμφου, τὴν δὲ σὴν φύσιν, δι' ἣν ἀγνοῶ πότερον ὡς φίλῃ, ἢ ὡς φίλῳ σοι, χρήσομαι.

Πρὸς ἄνδρα ἀμφίβολον.

282. ΥΑΙΝΑΙ.

Τὰς ὑαίνας φασὶ παρ' ἐνιαυτὸν ἀλλάττειν τὴν φύσιν, καὶ ποτὲ μὲν ἄῤῥενας γίνεσθαι, ποτὲ δὲ θηλείας. Καὶ δή ποτε ἄρσην ὕαινα θηλείᾳ παρὰ φύσιν διετέθη. Ἡ δὲ ὑποτυχοῦσα ἔφη· Ἀλλ' ὦ οὗτος, μὴ ταῦτα πράττε, ὡς ἐγγὺς τὰ αὐτὰ πεισόμενος.

Πρὸς ἄρχοντας λογοθετοῦντας τοὺς ὑπ' αὐτοὺς, καὶ πάλιν ἐκ τοῦ συμβεβηκότος τούτους ὑπ' ἐκείνων λογοθετουμένους.

283. ΦΑΛΑΚΡΟΣ ΙΠΠΕΥΣ.

Φαλακρός τις, ξένας τρίχας τῇ ἑαυτοῦ περιθεὶς κεφαλῇ, ἵππευεν. Ἄνεμος δὲ φυσήσας ἀφεῖλε ταύτας. Γέλως δὲ πλατὺς τοὺς παρεϛῶτας εἶχε. Κἀκεῖνος εἶπε, τοῦ δρόμου παύσας· Τὰς

οὐκ ἐμὰς τρίχας τί ξένον φεύγειν με; αἳ καὶ τὸν ἔχοντα ταύτας, μεθ' οὗ καὶ ἐγεννήθησαν, κατέλιπον.

Ὅτι μηδεὶς λυπείσθω ἐπὶ συμφοραῖς ἐπελθούσαις αὐτῷ· ὃ γὰρ γεννηθεὶς οὐκ ἔσχεν ἐκ φύσεως, τοῦτο οὐδὲ παραμένει. Γυμνοὶ γὰρ ἤλθομεν οἱ πάντες, γυμνοὶ οὖν ἀπελευσόμεθα.

284. ΧΑΛΚΕΥΣ ΚΑΙ ΚΥΩΝ.

Ἦν τις χαλκεὺς, κυνάριον κεκτημένος. Ὁ δὲ χαλκεύων, ὁ κύων ἐκοιμᾶτο· πάλιν δ' ἐσθίων, ἐγρηγόρει. Ὁ χαλκεὺς, ὀςοῦν ῥίψας αὐτῷ, εἶπε· Ταλαίπωρον ὑπνῶδη· ὅταν τὸν ἄκμονα κρούω, ὑπνοῖς, ὅτε δὲ τοὺς ὀδόντας κινήσω, εὐθὺς ἐγείρῃ.

Ὁ μῦθος ἐλέγχει τοὺς ὑπνώδεις καὶ ἀργοὺς, τοὺς ἐξ ἀλλοτρίων πόνων τρέφεσθαι ἐφιεμένους.

ΑΛΛΩΣ.

Ἦν τις χαλκεὺς, κυνάριον κεκτημένος. Ὁ δὲ χαλκεύων, ὁ κύων ἐκοιμᾶτο, πάλιν δ' ἐσθίων, ἐγρηγόρει. Καὶ ὁ χαλκεὺς, ὀςοῦν ῥίψας αὐτῷ, εἶπεν, Ὦ ταλαίπωρον σὺ κυνάριον, τί σοι ποιήσω, ὄκνῳ κατεχομένῳ; Τὸν γὰρ ἄκμονα ἐμοῦ προσκεκρουκότος, ἐπανακλίνεις σαυτὸν ἐπὶ τῆς κλίνης, μὴ θέλοντός σου ἀναςῆναι καθόλου. Ὅταν δὲ πάλιν τοὺς ὀδόντας κινήσω, εὐθὺς ἐγείρῃ, καὶ τὴν κέρκον σου σείεις.

ΑΛΛΩΣ (1).

ΚΥΩΝ ΚΑΙ ΧΑΛΚΕΙΣ.

Ἦν τις κύων, χαλκέων τινῶν ἐν οἰκίᾳ διάγων· κἀκείνων μὲν ἐργαζομένων, οὗτος εἰς ὕπνον ἐτρέπετο, εἰς ἑςίασιν δὲ καθεζο-

(1) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. ις΄.

μένων, ἐγίνετο ἔξυπνος, καὶ τοῖς ἑαυτοῦ κυρίοις χαριέντως προσεπέλαζεν. Οἱ δὲ πρὸς αὐτὸν ἔλεγον, Πῶς τῷ μὲν ψόφῳ τῶν βαρυτάτων σφυρῶν οὐδόλως ἐξυπνίζῃ, τῷ δὲ βραχυτάτῳ κρότῳ τῶν μυλοδόντων ταχέως διεγείρῃ;

Ὁ μῦθος δηλοῖ, ὡς καὶ ἄνθρωποι ἀνήκοοι, ἐφ' οἷς δῆθεν ὠφελεῖσθαι καραδοκοῦσι, ταχέως καὶ ὑπακούουσιν· ἐν οἷς δ' ἀπαρέσκονται, ἀπειθεῖς πάντῃ καθίςανται καὶ ὀκνηροί τε καὶ ῥάθυμοι.

285. ΧΕΛΙΔΩΝ ΚΑΙ ΟΡΝΙΘΕΣ.

Χελιδὼν, ἐκκλησίαν τῶν ὀρνέων συναθροίσασα, παρῄνει, φάσκουσα, κράτιςον εἶναι τὸ μὴ προσκόπτειν ἀνθρώποις, ἀλλὰ φιλίαν συνθεμένους οἰκείως διακεῖσθαι πρὸς αὐτούς. Τῶν δὲ ὀρνέων τις τὰ ἐναντία τῇ χελιδόνι ἔλεγεν· Ἀλλ' ἢ τὸ σπέρμα τοῦ λίνου μᾶλλον κατεσθίοντες ἀναλίσκωμεν, καὶ ἀφανὲς ποιῶμεν, ἵνα μηκέτι ἔχωσι πλέκειν δίκτυα καθ' ἡμῶν. Ἡ μὲν οὖν χελιδὼν, ἀρίςην γνώμην ἔχουσα, ἀκίνδυνος ἐγένετο, ἐν ταῖς πόλεσι διατρίβουσα· καὶ ἐν ταῖς οἰκίαις τίκτουσα παρὰ ἀνθρώποις, οὐδὲν ὑπ' αὐτῶν πάσχει κακόν· τὰ δὲ λοιπὰ ὄρνεα, ὡς μᾶλλον ὑπομείναντα κατεσθίειν τὸ σπέρμα τοῦ λίνου, ὡς ὄντος κακῶν αἰτίου, συμβαίνει λιπαρὰ γίνεσθαι, καὶ μάλα δικαίως ὑπὸ ἀνθρώπων συλλαμβανόμενα δαπανᾶσθαι. Οὕτως τε ταύτην τὴν κακογνωμοσύνην ὑπομείναντα, μετενόησε μὴ μετὰ ἀνθρώπων μένειν, ἀλλ' ἐν ἀέρι πέτεσθαι.

Οὕτω καὶ τῶν ἀνθρώπων ὅσοι ἐν τοῖς βιωτικοῖς πράγμασι τῷ τῆς ἀγχινοίας βουλεύματι ἐχρήσαντο, ἀκίνδυνοι διεφυλάχθησαν.

286. ΧΕΛΙΔΩΝ ΚΑΙ ΔΡΑΚΩΝ.

Ξένη χελιδὼν, *ἡ* τοῖς ἀνθρώποις συνοικοῦσα, ἐν δικαστηρίῳ τὴν ἑαυτῆς ἔπηξε καλλιὰν ἐν τοίχῳ κἀκεῖ γίνεται *τῶν* ἑπτὰ νεοττῶν μήτηρ. Ὄφις δὲ, ἐκ τρώγλης συρεὶς, τοὺς αὐτῆς κατέφαγε νεοττούς. Ἡ δὲ χελιδὼν θρηνοῦσα ἐκεκράγει, Οἴμοι τῇ ξένῃ, ὅτι ἔνθα πάντες δικαιοῦνται, μόνη ἔγωγε ἠδίκημαι *ἀδίκως*.

ΑΛΛΩΣ.

Πῆξε χελιδὼν νεοσσιὰν κριτηρίου
Ὕπερθεν· ἥσπερ τὴν γονὴν βλάπτει δράκων.
Ἡ δ' αὖτ' ἔφησεν, Ὦ πολυστόνου τύχης·
Ὅπου γὰρ ἐκδίκησις, ἐβλάβην μόνη.

Πρὸς τοὺς παθόντας κακὸν ἀπὸ καλῶν ἀνθρώπων.

287. ΧΕΛΩΝΗ ΚΑΙ ΛΑΓΩΟΣ.

Χελώνη καὶ λαγωὸς περὶ ὀξύτητος ἤριζον· καὶ δὴ προθεσμίαν στήσαντες καὶ τόπον, ἀπηλλάγησαν. Ὁ μὲν οὖν λαγωὸς, *καὶ* διὰ τὴν φυσικὴν ὀξύτητα, ἀμελήσας τοῦ δρόμου, πεσὼν παρὰ τὴν ὁδὸν ἐκοιμᾶτο· ἡ δὲ χελώνη, συνειδυῖα ἑαυτὴν βραδυτάτην, οὐ διέλειπε τρέχουσα. Καὶ οὕτως κοιμώμενον τὸν λαγωὸν παραδραμοῦσα, εἰς τὸ βραβεῖον τῆς νίκης ἀφίκετο (1).

Ὅτι πολλάκις φύσιν ἀμελοῦσαν πόνος ἐνίκησεν.

---

(1) Τούτῳ προσήκει τῷ μύθῳ καὶ τὰ παρὰ Διογένει τῷ Λαερτίῳ (Β, 133) παροιμιώδη ταυτὶ ἰαμβεῖα ἐκ τῆς Ἀχαιοῦ Σατυρικῆς Ὀμφάλης,

Ἥλισκετ' ἄρα καὶ πρὸς ἀσθενῶν ταχὺς,
Καὶ πρὸς χελώνης αἰετὸς βραχεῖ χρόνῳ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΑΛΛΩΣ.

Ποδῶν χελώνης κατεγέλα λαγωὸς καὶ ἀργίας· Ἡ δὲ ἔφη· Ἐγώ σε τὸν ταχὺν ἐν τοῖς ποσὶ νικήσω. Ὁ δὲ, Λόγῳ μόνῳ, χελώνη, λέγεις τοῦτο· ἀλλ' ἔριζε καὶ γνώσῃ· τίς δὲ τὸν τόπον ὁριεῖ, καὶ βραβεύσει τὴν νίκην; Ἀλώπηξ δὲ, δικαία καὶ σοφωτάτη, ἔταξεν ὁδὸν τῶν δρόμων τὴν εὐθεῖαν. Ἡ δὲ χελώνη, μὴ ῥαθυμήσασα, ἤρξατο τῆς ὁδοῦ, πρὸς τὸ αὐτῆς ἀφορῶσα δυσκίνητον. Ὁ δὲ λαγωὸς, θαῤῥῶν τοῖς ποσὶν, ἐκοιμήθη· καὶ ἐλθὼν ἐπὶ τοῦ ὡρισμένου τόπου, εὗρε νικῶσαν τὴν βραδεῖαν χελώνην.

Ὅτι πολλοὶ, τῇ μὲν φύσει ἀργοὶ, τῇ δὲ συντομίᾳ τοὺς φύσει ταχεῖς, ῥαθύμους δὲ, νικῶσιν.

ΑΛΛΩΣ.

Σεμνὸς ἦν ἵππος ἐπὶ τῷ τάχει, καὶ ἀπέκναιε τὰ ἄλλα ζῶα, σφόδρα ἑαυτὸν ἐπαινῶν, μάλιϛα δὲ τὴν χελώνην. Λυπηρὸς δὲ ἦν προφέρων τὴν βραδυτῆτα. Ἡ δὲ ἤλγησε τοῖς ὀνείδεσι, καὶ ποιεῖται πρόκλησιν εἰς δρόμον. Τῷ δὲ ἵππῳ γέλως τε ἦν ἡ πρόκλησις, καὶ οὐκ ἠξίου διαμιλλᾶσθαι. Γέλωτος δὲ καὶ τοῖς ἄλλοις ζώοις ἐνέπεσεν εἰς τὸ παράλογον ὁρῶσι τῆς φύσεως. Ἐγκειμένης δὲ τῆς χελώνης, καὶ διισχυριζομένης, ὡς περιέϛαι, ἀναγκάζει τὰ ἄλλα ζῶα τὸν ἵππον μὴ ἀπαρνηθῆναι τὴν ἀγωνίαν. Ἀποδείκνυται δὲ τὸ ϛάδιον, καὶ ἡμέρα τῷ δρόμῳ. Καὶ τὸ ἐντεῦθεν, ὁ μὲν ἵππος ἐτρύφα παρὰ τῇ φάτνῃ· τῇ δὲ χελώνῃ μελέτη ἦν συνεχὴς, καὶ οὐδὲ νυκτὸς προϊούσης ἔληγεν. Ἧκε δὲ ἡ κυρία, καὶ μεϛὸν ἦν τὸ θέατρον, καμήλων, ὄνων, ὀρνέων, οἷς τε ἄνθρωποι χρῶνται. Καὶ μὴν ἐλάφους συνήγαγεν ἡ φήμη· καὶ ἐμειδία τὸ θέατρον, ὡς παραπαιούσης τῆς χελώνης. Ἐπεὶ δὲ ἤρθη τὸ σημεῖον, καὶ θεῖν ἐχρῆν, ὁ μὲν ἵππος πεπεδη-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

μένος, ὥσπερ καὶ πρώην, ἔμεινεν ἐν ἀργίᾳ τε καὶ κόρῳ· τῇ δὲ ἡ μελέτη τάχος ἐδεδώκει, καὶ νίκην.

Καὶ σὺ, ὦ παῖ, μὴ τῇ φύσει πιστεύσας κάθευδε, ἀλλ' οἴου καὶ πόνου δεῖν· εἰ δὲ μὴ, παραδραμεῖται ῥαδίως ἐκεῖνος, οὐκ εὖ πεφυκώς.

288. ΧΗΡΑ ΚΑΙ ΠΡΟΒΑΤΟΝ.

Εν τόπῳ τινὶ χήρα τις εἶχε πρόβατον. Τούτου δὲ τὸν πόκον λαβεῖν θέλουσα, ἔκειρεν ἀτέχνως, σὺν τῷ μαλλῷ καὶ τὴν σάρκα ψαλίζουσα. Τὸ δὲ πρόβατον ἀλγοῦν ἔλεγε, Τί με βλάπτεις; πόσην γὰρ ὁλκὴν τὸ ἐμὸν αἷμα προσθήσει; Καὶ εἰ μὲν κρεῶν, ὦ δέσποινα, χρήζεις, μάγειρος ἔστι, ὅς με συντόμως θύσει· εἰ δὲ ἐρίου καὶ πόκου, κουρεὺς ἔστω, ὃς καὶ πάλιν κερεῖ με καὶ σώσει.

Ὅτι οἱ ἀπειρίαν πράγματός τινος ἔχοντες, καὶ διὰ πλεονεξίαν τοῦτο μεταχειριζόμενοι, οὐ τοσοῦτον κέρδος, ὅσην βλάβην, καρποῦνται (1).

289. ΧΡΕΩΦΕΙΛΕΤΗΣ.

Αθήνησιν ἀνὴρ χρεωφειλέτης, ἀπαιτούμενος παρὰ τοῦ δανειστοῦ τὸ χρέος, τὸ μὲν πρῶτον παρεκάλει ἀναβολὴν αὐτῷ παρασχέσθαι, ἀπορεῖν φάσκων. Ὡς δὲ οὐκ ἔπειθε, προσαγαγὼν ἣν μόνον εἶχεν ὗν, παρόντος αὐτοῦ ἐπώλει. Ὠνητοῦ δὲ προσελθόντος, καὶ διερωτῶντος, εἰ τοκὰς ἡ ὗς· ἐκεῖνος ἔφη, μὴ μόνον αὐτὴν τίκτειν, ἀλλὰ καὶ παραδόξως· τοῖς μὲν γὰρ Μυστηρίοις θήλεα ἀποκύειν, τοῖς δὲ Παναθηναίοις ἄρσενα. Τοῦ

(1) Εἰς τοῦτον ἀνενεκτέον εἶναι τὸν μῦθον ὑπειλήφασί τινες τὸ παρὰ τῷ Σουΐδᾳ (λέξ. Ὦνος),

Τί σοι τὸ κέρδος; ἢ τίν' ὦνον εὑρήσεις;

δὲ, ἐκπλαγέντος πρὸς τὸν λόγον, ὁ δανειςὴς εἶπεν· Ἀλλὰ μὴ θαύμαζε· αὕτη γάρ σοι καὶ Διονυσίοις ἐρίφους τέξεται.

Ὁ λόγος δηλοῖ τοῦτο· οὐκ ὀκνοῦσιν οἱ πολλοὶ διὰ τὸ ἴδιον κέρδος εἰς τὰ ἀδύνατα καὶ ἀνύπαρκτα ψευδομαρτυρεῖν.

290. ΧΥΤΡΑΙ.

Χύτραν ὀςρακίνην καὶ χαλκῆν ποταμὸς κατέφερεν. Ἡ δὲ ὀςρακίνη τῇ χαλκῇ ἔλεγε· Μακρόθεν μου κολύμβα, καὶ μὴ πλησίον. Ἐὰν γάρ μοι σὺ προσψαύσῃς, καταχλῶμαι, κἄν τε ἐγὼ μὴ θέλω σοι προσψαῦσαι.

Ὅτι ἐπισφαλὴς ἐςι βίος πένητι δυνάςου ἄρχοντος πλησίον παροικοῦντος.

291. ΨΙΤΤΑΚΟΣ ΚΑΙ ΓΑΛΗ.

Ψιττακόν τις ἀγοράσας ἀφῆκεν ἐπὶ τῆς οἰκίας νέμεσθαι. Ὁ δὲ, τῇ ἡμερότητι χρησάμενος, ἀναπηδήσας ἐπὶ τῆς νεοττιᾶς ἐκάθισε, κἀκεῖθεν μέλος τερπνὸν ἐκεκράγει. Γαλῆ δὲ θεασαμένη ἐπυνθάνετο αὐτοῦ, τίς τε ἐςὶ, καὶ πόθεν ἦλθεν; Ὁ δὲ εἶπεν· Ὁ δεσπότης με ἄρτι ὠνήσατο. Ἰταμώτατε ζώων, ἔφη, πρόσφατος ὢν, τοιαῦτα βοᾷν κατατολμᾷς; Ἐμοὶ τῇ οἰκογενεῖ οὐκ ἐπιτρέπουσιν οἱ δεσπόται φθέγγεσθαι· ἀλλ', ἐάν ποτε τολμήσω, προσαγανακτοῦντες ἀπελαύνουσί με· καὶ σὺ ἀφόβως τολμᾷς παραπλησιάζεσθαι; Ὁ δὲ ἀποκριθεὶς εἶπεν, Οἰκοδέσποινα, ἀλλὰ σύ γε βάδιζε μακρὰν ἐντεῦθεν· οὐχ ὁμοίως γὰρ δυχεραίνουσιν οἱ δεσπόται ἐπὶ τῇ ἐμῇ φωνῇ, ὅσον ἐπὶ [τῇ] σῇ.

Πρὸς ἄνδρα πονηρὸν, ψόγου, κατὰ φθόνον, αἰτίαν τοῖς πέλας προσάγοντα.

292. ΨΥΛΛΑ ΚΑΙ ΑΝΘΡΩΠΟΣ.

Ψύλλα δέ ποτέ τινι πολλὰ ἠνώχλει. Καὶ δὴ συλλαϐὼν, Τίς [εἶ] σὺ, ἀνεϐόα, ὅςις πάντα μου τὰ μέλη κατεϐοσκήσω, εἰκῇ καὶ μάτην ἐμὲ καταναλίσκων; Ἡ δὲ ἐϐόα, Ὦ οὗτος, σῶζέ με, μὴ κτεῖνε· μέγα γὰρ κακὸν οὐ δύναμαι ποιεῖν. Ὁ δὲ γελάσας πρὸς αὐτὴν οὕτως ἔφη· Ἄρτι τεθνήξει χερσί μου ταῖς ἰδίαις· ἅπαν γὰρ κακὸν, εἴτε μικρὸν, εἴτε μέγα, οὐδ' ἴσως πρέπει καθόλου που φῦναι.

Ὅτι κακῷ οὐ πρέπει ἐλεηθῆναι, κἂν μέγας ᾖ, κἂν μικρός.

293. ΙΚΤΙΝΟΙ ΚΑΙ ΚΥΚΝΟΙ.

Ὅσην τοῖς κύκνοις ἡ φύσις ᾠδὴν, τοσαύτην ἰκτίνοις παρέσχε τὸ πρότερον. Ἵππων δὲ χρεμετιζόντων ἀκούσαντες εἰς ἔρωτα ἧκον τῆς ἐκείνων φωνῆς· καὶ μιμεῖσθαι πειρώμενοι συναποϐάλλουσιν ἃ εἶχον, οἷς μαθεῖν ἐπετήδευον. Χρεμετίζειν μὲν γὰρ οὐκ ἔμαθον, ᾄδειν δὲ ἐπελάθοντο.

Φέρει τῶν προσόντων τὴν ςέρησιν ἡ τοῦ μὴ προσήκοντος μίμησις.

ΑΛΛΩΣ.

Λέγεται τὸν ἰκτῖνα, φωνὴν ἔχοντα παραπλησίαν τοῖς ἄλλοις ὄρνισιν, ἐπιθέσθαι τῷ χρεμετίζειν, ὥσπερ οἱ γενναῖοι τῶν ἵππων. Εἶτα τῆς μὲν ἐπιλαθόμενον, τὸ δὲ μὴ δυνηθέντα ἑλεῖν ἱκανῶς, ἀμφοῖν ςέρεσθαι, καὶ φαυλότερον τῶν ἄλλων ὀρνίθων εἶναι τὴν φωνήν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

294. ΙΞΕΥΤΗΣ ΚΑΙ ΤΕΤΤΙΞ.

Ιξευτὴς τέττιγος ἀκούσας, μέγα τι θηράσειν ἐδόκει. Μετρεῖ τὴν θήραν ἐκ τῆς ᾠδῆς παρερχόμενος. Ὡς δὲ τὴν τέχνην κινήσας εἷλε τὸ θήραμα, ᾠδῆς μὲν πλέον οὐδὲν ἐκομίσατο· κατεγνώκει δὲ τὴν δόξαν, ὡς ψευδῆ τοῖς πολλοῖς κρίσιν ἐπάγουσαν (1).

Οὕτως [οἱ] φαῦλοι δοκοῦσι μᾶλλον, ἤπερ γεγόνασιν.

295. ΚΑΡΚΙΝΟΣ ΚΑΙ ΜΗΤΗΡ.

Η μήτηρ πρὸς τὸν καρκῖνον· Τί λοξὴν, ὦ παῖ, βαδίζεις ὁδὸν, ὀρθὴν ἰέναι προσῆκον; Ὁ δὲ πρὸς αὐτήν· Ἡγοῦ τῆς ὁδοῦ, ὦ μῆτερ, καὶ πρὸς αὐτὴν βαδίζειν πειράσομαι. Τῆς δὲ, βαδίζειν ἀπορούσης ὀρθῶς, κατήγορος ὁ παῖς τῆς παρανοίας ἐγένετο.

Ῥᾷον παραινεῖν, ἃ πονεῖν ὑπῆρξεν ἀδύνατον.

ΑΛΛΩΣ.

Ὀρθῶς βαδίζειν, εἶπε καρκῖνος, τέκνον·
Μὴ δή γε λοξὸς τὴν ὁδὸν παρατρέχῃς.
Πρόει γε, μᾶτερ, καὶ καθηγοῦ τοῦ τέκνου·
Κἀγὼ βλέπων ἕψομαι πρὸς τὰς σὰς τρίβους.

Ὃ παραινεῖ τις, ποιείτω.

---

(1) Ἐν τοῖς εἰς τὸν Πλούταρχον ἀναφερομένοις Ἀποφθέγμασιν ἱςόρηται, ὡς Λάκων τις, τίλας ἀηδόνα, καὶ βραχεῖαν πάνυ σάρκα εὑρὼν, εἶπε, « Φωνά τύ τις ἐσσὶ, καὶ οὐδὲν ἄλλο ».

296. ΤΑΥΡΟΙ ΤΡΕΙΣ ΚΑΙ ΛΕΩΝ.

Ταῦροι τρεῖς τὴν αὐτὴν δίαιταν ἐπεποίηντο. Λέων δέ τις αὐτοῖς παρηκολούθει, θηράσαι βουλόμενος. Καὶ συνόντας μὲν ἑλεῖν οὐκ ἠδύνατο, διαςάντας δὲ προῃρεῖτο χειρώσασθαι· καὶ συγκρούσας ἀλλήλοις, ἐν μέρει διαςήσας ἀπέκρινε, καὶ καθ' ἕκαςον προχειρότερον ἔφθειρεν, οὓς κοινῇ συνόντας ἠπόρει χειρώσασθαι.

Οὕτως ὁμόνοια τοῖς χρωμένοις σωτήριον.

ΑΛΛΩΣ.

Ἐνέμεντο μετ' ἀλλήλων τρεῖς ἀεὶ βόες. Λέων δὲ τούτους φαγεῖν θέλων, διὰ τὴν αὐτῶν ὁμόνοιαν οὐκ ἠδύνατο· ὑπούλοις δὲ λόγοις διαβαλὼν ἐχώρισεν ἀπ' ἀλλήλων, καὶ καθ' ἕνα ἕκαςον αὐτῶν, μεμονωμένους εὑρὼν, κατεθοινήσατο.

Ὅτι τοῖς μὲν ἐχθροῖς ἀπιςεῖν δεῖ, τοῖς δὲ φίλοις πιςεύειν.

ΑΛΛΩΣ.

Ὁμόφρονες νέμοντο τρεῖς ὁμοῦ βόες·
Οὓς οὐδὲ θὴρ ἔβλαπτε πολλάκις λέων.
Ἔχθρας δὲ μίσει καὶ μάχης διασχίσας,
Ἕκαςον ἐκβέβρωκε, γυμνὸν ὡς ἕνα.

Πρὸς τοὺς σχιζομένους ἐκ τῶν ἰδίων, καὶ διὰ τοῦτο κακῶς πάσχοντας.

ΑΛΛΩΣ.

ΤΑΥΡΟΙ ΔΥΟ ΚΑΙ ΛΕΩΝ.

Ταύρω δύο μιᾶς ἡγεῖσθον ἀγέλης, ξυννόμω τε ὄντε καὶ ὅτιμάλιςα φίλω. Ὁ λέων δὲ αὐτοῖν τὴν ξύςασιν ἐδεδίει· καὶ οὔτε

αὐτοὺς ἐθάρσει, οὔτε δι' αὐτοὺς τὴν ἀγέλην. Κακῶς οὖν ὑπὸ λιμοῦ διακείμενος, ἔρχεται ἐπὶ τὴν κερδὼ, καὶ ξυμμαχίαν ὁμολογοῦσι. Τῇ δὲ ἄρα τοσοῦτον κακουργίας καὶ δεινότητος περιῆν, ὥςε προσενεγκοῦσά τινα μηχανὴν διέςησέ τε αὐτὼ, καὶ ἐξέμηνε κατ' ἀλήλλοιν, καὶ παραδέδωκε τῷ λεόντι δίχα ἑκάτερον εὐτρεπῆ καὶ εὔκολον θήραν.

ΑΛΛΩΣ (1).

Λέων προσβαλὼν ταύροις δυσὶν, ἐπειρᾶτο τούτους καταθοινήσασθαι. Οἱ δὲ, τὰ ἑαυτῶν κέρατα ἐπίσης αὐτῷ ἀντιπαρατάξαντες, οὐκ εἴων τὸν λέοντα μέσον αὐτῶν παρελθεῖν. Ὁρῶν τοίνυν ἐκεῖνος, ὡς ἀδυνάτως ἔχει πρὸς αὐτοὺς, κατεσοφίσατο τοῦ ἑνὸς, καὶ πρὸς αὐτὸν ἔφησεν, ὡς Εἴγε τὸν σὸν ἑταῖρον προδώσεις μοι, ἀβλαβῆ σε διατηρήσω. Καὶ τούτῳ τῷ τρόπῳ ἀμφοτέρους τοὺς ταύρους ἀνῄρηκεν.

Ὁ μῦθος δηλοῖ, ὅτι καὶ πόλεις καὶ ἄνθρωποι, ἀλλήλοις ὁμονοοῦντες, οὐ συγχωροῦσιν αὐτῶν τοῖς ἐχθροῖς περιγίνεσθαι· τῆς δ' ὁμονοίας περιφρονοῦντες, εὐχερῶς ἄρδην τοῖς ἐναντίοις ἁλίσκονται.

297. ΕΛΑΦΟΣ ΚΑΙ ΜΗΤΗΡ.

Ελαφον ἡ μήτηρ ἐνουθέτει, ταῦτα λέγουσα· Κέρας, ὦ παῖ, παρὰ τῆς φύσεως εἴληφας, μεγέθει δὲ διενήνοχας σώματος· καὶ οὐκ οἶδ' ὅ, τι παθὼν ἀποδιδράσκεις ἐπιόντας τοὺς κύνας. Ταῦτα ἦν, καὶ κυνῶν δρόμος ἠκούετο πόῤῥωθεν. Ἡ δὲ μένειν τῷ παιδὶ παραινέσασα, αὐτὴ τῆς φυγῆς προκατήρξατο.

Παραινεῖν ἕτοιμον, ἃ ποιεῖν ἀπορώτερον.

(1) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. ιγ'.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

298. ΑΛΩΠΗΞ ΚΑΙ ΛΕΩΝ.

Αλώπηξ λέοντι συνῆν ἐν ὑπηρέτου προσχήματι· καὶ ἡ μὲν ἄγρας ἐμήνυεν, ὁ δὲ ἐμπίπτων ἐλάμβανεν. Ἑκατέρῳ τοίνυν πρὸς τὴν ἀξίαν διῃρεῖτο μερίς. Ζηλοτυπήσασα δὲ ἡ ἀλώπηξ τῶν πλεόνων τὸν λέοντα, θηρᾶν ἀντὶ τοῦ μηνύειν ᾑρεῖτο. Καὶ πειρωμένη ποίμνης τι λαβεῖν, κατέστη πρώτη τοῖς θηρῶσιν εἰς θήραμα.

Ἄρχεσθαι μᾶλλον ἀσφαλῶς ἄμεινον, ἢ κρατεῖν σφαλερῶς.

299. ΕΛΑΙΑ ΚΑΙ ΣΥΚΗ.

Ελαία κατεγέλα συκῆς, ὡς αὐτὴ μὲν ἀνθοῦσα, πρὸς ἅπασαν ὥραν, συκῆς δὲ τὸ ἄνθος συμμεταβαλλούσης ταῖς ὥραις. Αἷς καὶ καταῤῥυεῖσα χιὼν, τὴν μὲν ἐλαίαν κομῶσαν εὑροῦσα, τοῖς θαλοῖς ἐνιζάνουσα, σὺν τῷ κάλλει καθάπαξ ταύτην διέφθειρε· τὴν δὲ φύλλων εὑροῦσα γυμνὴν, οὐδὲν ἠδίκει, πρὸς γῆν ὑποῤῥέουσα.

Κάλλος μὴ σωφρονοῦν, τοῖς κεκτημένοις καθέστηκεν ὄνειδος.

ΑΛΛΩΣ (1).

ΣΥΚΗ ΚΑΙ ΕΛΑΙΑ.

Συκῆ τις, ὥρᾳ χειμῶνος τὰ ἑαυτῆς ἀποβαλοῦσα φύλλα, ὑπό τινος ἐλαίας πλησιαζούσης τὴν γύμνωσιν ὠνειδίζετο, λεγούσης, ὡς Ἐγὼ [μὲν] καὶ χειμῶνος καὶ θέρους τοῖς φύλλοις μου κεκαλλώπισμαι, καὶ ἀείφυλλος πέφυκα· σὺ δὲ μόνῳ τῷ

(1) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. λά.

θέρει πρὸς καιρὸν ἔχεις τὸ κάλλος. Οὕτω δὲ αὐτῆς καυχωμένης, κεραυνὸς ἄφνω θεόθεν κατηνέχθη, καὶ ταύτην κατέφλεξε· τῆς δὲ συκῆς τὸ παράπαν οὐ καθήψατο.

Οὕτως οἱ τῷ πλούτῳ καὶ τῇ τύχῃ ἐγκαυχώμενοι, ἐξαίσιον τὸ πτῶμα ὑφίϛανται.

300. ΒΑΤΡΑΧΟΣ ΙΑΤΡΟΣ.

Ο βάτραχος τῆς τῶν ἰατρῶν κατηλαζονεύετο τέχνης, πάντα μὲν εἰδέναι φάρμακα γῆς ὑπισχνούμενος, πᾶσι δὲ μόνος εἰς ὑγίειαν ἀρκέσειν. Καὶ παρεϛῶσα τοῖς λόγοις ἀλώπηξ, τὸ ψεῦδος ἀπὸ τοῦ χρώματος ἤλεγχε· Τί δῆτα, λέγουσα, νόσου μὲν τοὺς ἄλλους ἐλευθεροῖς, νόσου δὲ φέρεις ἐπὶ τῆς ὄψεως σύμβολον;

Ἀλαζονεία τὸν ἔλεγχον οἴκοθεν εὕρατο.

301. ΜΥΣ ΑΡΟΥΡΑΙΟΣ ΚΑΙ ΜΥΣ ΑΣΤΙΚΟΣ.

Μῦς ἀρουραῖος ἀϛικῷ γίνεται φίλος μυΐ, καὶ τὴν φιλίαν πιϛούμενος, πρῶτος εἰς ἀγρὸν τὸν ἀϛικὸν παρελάμβανε, καὶ ξενίαν αὐτῷ παρετίθει καὶ τράπεζαν, ἃ φέρειν οἶδε τοῖς ἐνοικοῦσιν ἀγρός. Ἀμειβόμενος δὲ τὴν ξενίαν ὁ ἀϛικὸς, εἰς ἄϛυ τὸν ἀρουραῖον ἐκόμιζε, καὶ εἰς ἀνδρὸς εὐπόρου παρελάμβανεν οἶκον. Ὡς δὲ τῶν ὄντων ἤδη προσάπτεσθαι ἤθελον, προσιών τις ἀνέκοπτε· καὶ τοσαυτάκις τῆς ἐν τοῖς ὄψοις ἀπηλαύνοντο πείρας, ὁσάκις ἐπειρῶντο μεταλαμβάνειν. Καὶ τελευταῖον ὁ ἀρουραῖος, Ἄπειμι, ἔφη, τὴν ἐν ἀγροῖς προτιμῶν μετριότητα τῆς ἐν ἄϛει τρυφῆς.

Οὕτως οἱ μέτρια κτώμενοι τῶν πλουτούντων εἰσὶν αἱρετώτεροι.

ΑΛΛΩΣ (1).

Μύες δύο, ὁ μὲν ἀρουραῖος, ὁ δὲ οἰκόσιτος, κοινὸν εἶχον τὸν βίον. Ὁ δὲ οἰκόσιτος ἦλθε πρῶτος δειπνήσων ἐπὶ τῆς ἀρούρας, ἔτι ἀνθούσης. Τρώγων δὲ σῖτον καὶ ῥίζας σὺν τοῖς βώλοις, εἶπε· Μύρμηκος ζῇς βίον, ταλαίπωρε. Ἐμοὶ δὲ πολλὰ ἔνεστιν ἀγαθά· τὸ κέρας οἰκῶ τῆς Ἀμαλθείας ὡς πρὸς σέ. Ἐὰν ἔλθῃς μετ' ἐμοῦ, ὡς θέλεις, ἀσωτεύσῃ. Ἀπῆγε πείσας τὸν μῦν ἐν τῷ οἴκῳ. Ἔδειξε δὲ αὐτῷ σῖτον καὶ ἄλευρα καὶ ὄσπρια καὶ σῦκα καὶ μέλι καὶ φοίνικας (2). Οὗτος δὲ ἐτέρφθη καὶ διεχύθη. Ὁ δὲ ἤγαγε καὶ τυρὸν ἐκ κανισκίου σύρων. Ἤνοιξέ τις τὴν θύραν. Οἱ δὲ ἔφυγον εἰς στενὴν τρώγλην. Ἐσύριζον δὲ ὑπ' ἀλλήλων στενούμενοι. Ὡς δὲ πάλιν ἦλθεν ἐκκύψαι καὶ μικρὰν ἰσχάδα (3) σύραι, ἕτερος ἦλθεν ἄλλο τι ἆραι· οἱ δὲ ἔνδον ἐκρύπτοντο. Ὁ δὲ ἀρουραῖος μῦς, καίπερ τοσαῦτα πεινῶν, εἶπε· Χαῖρε καὶ πλούτει καὶ τρύφα, ἔχων τὰ πάντα μετὰ κινδύνων. Ἐγὼ δὲ, βοτάνας καὶ ῥίζας τρώγων, ἀφόβως καὶ λιτῶς ζήσω (4).

---

(1) Ἐκ τῆς τοῦ Τυρουΐττου συλλογῆς. Εἰς τοῦτον ἀναφέρεται τὸν μῦθον τὸ παρὰ τῷ Σουΐδᾳ (λέξ. Ἑταιρεία) ἀνώνυμον ἀποσπασμάτιον τουτί·

Θέντο μετ' ἀλλήλοισιν ἑταιρείην μύε δοιὼ,
Οὐ καθομὰ ζώοντες. Ὁ μὲν κατὰ νειὸν ἐρήμην
Ἐτρέφετ'· ὃς δὲ δόμοισιν ἐν ἀφνειῶν τρέφετ' ἀνδρῶν.

(2) Σουΐδας (λέξ. Σωράκους) ἐκ τοῦ Βαβρίου τὰ ἑξῆς·

Ποῦ δ' [ἴσ. γρ. Οὗ γ'] ὀσπρίων ἦν σωρὸς, ἢ πίθος σύκων,
Στάμνοι τε μέλιτος, σώρακοί τε φοινίκων.

(3) Σουΐδας (λέξ. Καμειραία) ἐκ τοῦ Βαβρίου·

Μικρὸν δ' ἐπισχὼν, εὖτ' ἔσωθεν ἐκκύψας,
Ψαύειν ἔμελλεν ἰσχάδος Καμειραίας.

(4) Καὶ πάλιν ὁ αὐτὸς Σουΐδας (λέξ. Κρίμνον) ἐκ τοῦ αὐτοῦ Βαβρίου·

Ἐγὼ δὲ λιτῆς οὐκ ἀφέξομαι βώλου,
Ὑφ' ἣν τὰ κρίμνα μὴ φοβούμενος τρώγω.

302. ΜΕΛΙΣΣΑΙ ΚΑΙ ΠΟΙΜΗΝ.

Εν κοίλη δρυῒ μέλι κατειργάζοντο μέλισσαι. Ποιμὴν δέ τις, αὐταῖς ἐργαζομέναις περιτυχὼν, ἀφελέσθαι προῃρεῖτο τοῦ μέλιτος· αἱ δὲ, ἄλλοθεν ἄλλη, περιπτάμεναι, αὐτὸν ὤθουν τοῖς κέντροις. Καὶ τελευταῖον, ὁ ποιμὴν, Ἄπειμι, ἔφη, μηδὲν δεόμενος μέλιτος, εἰ δεῖ μελίσσαις περιτυχεῖν.

Τὰ κακὰ κέρδη τοῖς διώκουσι κίνδυνος.

303. ΔΡΑΚΩΝ ΚΑΙ ΑΕΤΟΣ.

Δράκων καὶ ἀετὸς, συμπλακέντες ἀλλήλοις, ἐμάχοντο· καὶ ὁ μὲν δράκων εἶχε τὸν ἀετὸν συλλαβών. Γεωργὸς δὲ ἰδὼν, λύσας τὴν πλοκὴν τοῦ δράκοντος, αὐτόνομον ἀφῆκε τὸν ἀετόν. Χαλεπήνας δὲ ἐπὶ τούτοις ὁ δράκων, ἰὸν ἀφῆκε τῷ τοῦ σώσαντος πόματι· πιεῖν δὲ τοῦ γεωργοῦ πρὸς ἄγνοιαν μέλλοντος, ὁ ἀετὸς καταπτὰς τῶν τοῦ γεωργοῦ χειρῶν ἐξαιρεῖται τὴν κύλικα.

Τοὺς εὖ ποιοῦντας μένουσι χάριτες.

ΑΛΛΩΣ.

Ἀλοῶντες ἄνθρωποι, τοῦ ἡλίου καταφλέγοντος, δίψει πιεζόμενοι, τὸν ἀριθμὸν ἑκκαίδεκα, ἕνα ἑαυτῶν ἀπέστειλαν ἐκ πηγῆς γειτνιώσης κομίσαι ὕδωρ. Οὐκοῦν ὁ ἀπιὼν, τὸ μὲν δρέπανον τὸ ἀμητικὸν διὰ χειρὸς εἶχε, τὸ δὲ ἀρυστικὸν ἀγγεῖον κατὰ τοῦ ὤμου ἔφερεν. Ἐλθὼν δὲ καταλαμβάνει ἀετὸν ὑπό τινος ὄφεως, ἐγκρατῶς τε καὶ εὐλαβῶς περιπλακέντος, ἀποπνιγόμενον ἤδη. Ἔτυχε δὲ ἄρα καταπτὰς μὲν ἐπ' αὐτὸν ὁ ἀετὸς· οὐ μὴν κρείττων γενόμενος, οὐδὲ τῆς ἐπιβουλῆς ἐγκρατὴς ἐγένετο, οὐδὲ,

τοῦτο δὴ τὸ Ομηρικὸν, τοῖς ἑαυτοῦ τέκνοις τὴν δαῖτα ἐκόμισεν· ἀλλὰ ταῖς ἐκείνου σπείραις περιπεσὼν [ὡς] ἕργμασιν, ἔμελλεν οὐ μὰ Δί' ἀπολεῖν, ἀλλ' ἀπολέσθαι. Εἰδὼς οὖν ὁ γεωργὸς, ἢ καὶ ἀκούων, τὸν μὲν εἶναι Διὸς ἄγγελον, εἰδώς γε μὴν κακὸν θηρίον τὸν ὄφιν, τῷ δρεπάνῳ τῷ προειρημένῳ διακόπτει τὸν θῆρα. Καὶ μέντοι καὶ τῶν ἀφύκτων ἐκείνων εἱργμῶν τε καὶ δεσμῶν τὸν ἀετὸν ἀπολύει. Ὁδοῦ μέντοι πάρεργον τῷ ἀνδρὶ ταῦτα καὶ δὴ διεπέπρακτο. Ἀρυσάμενος δὲ τὸ ὕδωρ, ἧκε, καὶ πρὸς τὸν οἶνον κεράσας, ὤρεξε πᾶσιν· οἱ δὲ ἄρα ἐξέπιον καὶ ἀμυστὶ καὶ πολλὰς ἐπὶ τῷ ἀρίστῳ. Ἔμελλε δὲ καὶ αὐτὸς ἐπ' ἐκείνοις πίεσθαι· ἔτυχε γὰρ ὑπηρέτης κατ' ἐκεῖνό πως τοῦ καιροῦ, ἀλλ' οὐ συμπότης ὤν. Ἐπεὶ δὲ τοῖς χείλεσι τὴν κύλικα προσῆγεν, ὁ σωθεὶς ἀετὸς, ζωάγρια ἐκτίνων οἱ, καὶ κατὰ τύχην ἀγαθὴν ἐκείνου ἔτι διατρίβων ἐπὶ τὸν χῶρον, ἐμπίπτει τῇ κύλικι, καὶ ἐκταράττει αὐτὴν, καὶ ἐκχεῖ τὸ ποτόν. Ὁ δὲ ἠγανάκτησε, καὶ γὰρ ἔτυχε διψῶν, καὶ λέγει· Εἶτα μέντοι σὺ μὲν ἐκεῖνος ὢν (καὶ γὰρ καὶ τὸν ὄρνιν ἐγνώρισε), τοιαύτας ἀποδίδως τοῖς σωτῆρσι τὰς χάριτας; ἀλλὰ πῶς ἔτι ταῦτα καλά; πῶς δ' ἂν καὶ ἄλλος σπουδὴν καταθέσθαι θελήσειεν εἴς τινα, αἰδοῖ Διὸς, χαρίτων ἐφόρου τε καὶ ἐπόπτου; Καὶ τῷ μὲν ταῦτα εἴρητο, καὶ ἐφρύγετο. Ὁρᾷ δὲ στραφεὶς τοὺς πιόντας, ἀσπαίροντάς τε καὶ ἀποθνήσκοντας. Ἦν δὲ ἄρα, ὡς συμβαλεῖν, ἐμημεκὼς ἐς τὴν πηγὴν ὁ ὄφις, καὶ κεράσας αὐτὴν τῷ ἰῷ. Ὁ μὲν [οὖν] ἀετὸς τῷ σώσαντι ἀμοιβῇ τῆς ἰσοτίμου σωτηρίας ἀπέδωκε τὸν μισθόν.

304. ΓΕΩΡΓΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.

Γεωργῷ πονηρῷ φθόνον ἐνεποίει τὸ τοῦ γείτονος αὐξανόμενον λήϊον, καὶ διαφθείρειν τοὺς ἐκείνου πόνους ἐζήτει· καὶ θηράσας ἀλώπεκα, προσάψας δαλὸν, πρὸς τὸ τοῦ γείτονος ἀφίησι λήϊον.

Ἡ δὲ, καθ' ἣν ἀφεῖτο μὴ παριοῦσα, βουλομένου τοῦ δαίμονος, τὸ τοῦ πέμψαντος ἐνέπρησε λήϊον.

Πονηροὶ γείτονες πρῶτοι τῆς ἑτέρων μετέχουσι βλάβης.

305. ΚΟΡΑΞ ΚΑΙ ΚΥΚΝΟΣ.

Εωρακὼς τὸν κύκνον ὁ κόραξ ἐζήλου τοῦ χρώματος. Οἰηθεὶς δὲ εἶναι τοιοῦτον οἷς ἀπελούετο, τοὺς βωμοὺς ἐκλιπὼν, ὅθεν ἐτρέφετο, λίμναις καὶ ποταμοῖς ἐνδιέτριβε. Καὶ τὸ μὲν σῶμα φαιδρύνων οὐκ ἤμειβε, τροφῆς δ' ἀπορῶν διεφθείρετο.

Φύσιν οὐκ οἶδε μεταβάλλειν ἡ δίαιτα.

306. ΗΛΙΟΣ ΚΑΙ ΒΟΡΡΑΣ.

Βοῤῥᾶς χειμέριος ἔριν ἐποιήσατο πρὸς τὸν ἥλιον, ὅςτις ἐξ αὐτῶν ὁδοιποροῦντός τινος τὰ ἱμάτια ἀποδύσει (1). Βοῤῥᾶς

---

(1) Ἀποσπασμάτιον Βαβρίου παρὰ τῷ Σουΐδᾳ (λέξ. Σισύρα), καὶ παρὰ τῷ Ἀριστοφάνους (Βατρ. 1507) σχολιαστῇ,

Βορέῃ λέγουσιν ἡλίῳ τε τοιαύτην
Ἔριν γενέσθαι, Πότερος ἀνδρὸς ἀγροίκου,
Ὁδοιποροῦντος, τὴν σισύρναν ἐκδύσει.

Μνημονεύει καὶ Θεμίστιος (Λόγ. ιϛ΄ σελ. 208) τοῦ μύθου· « Πεποίηται » δὲ καὶ Αἰσώπῳ τῷ μυθοποιῷ ἅμιλλά τις Πειθοῦς καὶ Βίας. Καὶ ἀνύει τι » μᾶλλον ἡ Πειθὼ τῆς Βίας ἐν τῷ μύθῳ· καὶ γυμνοῖ πρόσθεν ὁ ἥλιος » τῶν λάβρων πνευμάτων ». Εἰς τοῦτον ἀνενεκτέον τὸν μῦθον καὶ τὸ παρὰ τῷ Ἀθηναίῳ (ΙΓ, σελ. 605) Σοφοκλέους εἰς Εὐριπίδην τωθαστικὸν ἐπίγραμμα·

Ἥλιος ἦν, οὐ παῖς, Εὐριπίδη, ὅς με χλιαίνων
Γυμνὸν ἐποίησεν· σοὶ δὲ φιλοῦνθ' ἑτέραν
Βοῤῥᾶς ὡμίλησε. . . . .

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

δὲ πρῶτος τὸ ἱμάτιον φυσῶν ἤλπιζε συλήσειν. Ὁ δὲ ῥιγῶν ἐκράτησεν ἀμφοτέραις χερσὶ τὸ ἱμάτιον. Ἥλιος [δὲ] τὸ μὲν πρῶτον χλιάνας αὐτὸν, ἔπειτα τὴν φλόγα προσαγαγὼν, ἔπεισεν ἱδρώσαντα τὸ ἱμάτιον ἀποδύσασθαι. Οὕτως οὖν ἥττηται ὁ βοῤῥᾶς.

Ὅτι ἐπιχειρῶν τινι πράγματι μᾶλλον ἀνύσεις πείθων ἢ βιαζόμενος.

ΑΛΛΩΣ.

Βοῤῥᾶς καὶ ἥλιος ἤριζον πρὸς ἀλλήλους, ὅςις ἐξ αὐτῶν τινα τῶν ὁδευόντων πρῶτος ἐκδύσει αὐτοῦ τὸν χιτωνίσκον. Τοῦ δὲ βοῤῥᾶ πνέοντος ἰσχυρωτάτως, [οἱ] ἄνθρωποι ψυχροὶ γενηθέντες περιβόλαια μᾶλλον ἠμφιέννυντο· ὁ δὲ, χλιάνας μετὰ ταῦτα, καὶ τοῖς ἀνθρώποις ἱδρῶτας προξενῶν, πέπεικεν εὐθὺς ἐκδύσαι τοὺς χιτῶνας· Τότε ὁ βοῤῥᾶς αἰσχυνθεὶς ἀπέςρεφεν.

Ὅτι πολλάκις τὸ πείθειν τοῦ βιάζεσθαι ἀνυτικώτερόν ἐςιν.

ΑΛΛΩΣ.

Ὁ ἥλιος τὸν βορέαν ἐνίκησεν. Ὁ γὰρ ἄνθρωπος, τοῦ μὲν ἀνέμου βιαζομένου τὸ ἱμάτιον ἀφελέσθαι καὶ λαμπρὸν καταπνέοντος, μᾶλλον ἔσφιγγε καὶ συνεῖχε τὴν περιβολήν. Τοῦ δὲ ἡλίου μετὰ τὸ πνεῦμα θερμοῦ γενομένου, θαλπόμενος, εἶτα καυματιζόμενος, καὶ τὸν χιτῶνα τῷ ἱματίῳ προσαπεδύσατο.

Τοῦτο ποιοῦσιν αἱ πλεῖςαι γυναῖκες. Ἀφαιρουμένοις τοῖς ἀνδράσι βίᾳ τὴν τρυφὴν καὶ πολυτέλειαν διαμάχονται καὶ χαλεπαίνουσιν· ἂν δὲ πείθωνται μετὰ λόγου, πρᾴως ἀποτίθενται καὶ μετριάζουσιν.

ΑΛΛΩΣ. (1).

ΗΛΙΟΣ, ΒΟΡΡΑΣ ΚΑΙ ΑΝΘΡΩΠΟΣ

Ὁ Ἥλιος καὶ ὁ βοῤῥᾶς ἄνεμος ποτὲ πρὸς ἀλλήλους ἤριζον, ποῖος ἐξ ἀμφοτέρων τὸν ἄνθρωπον ἀπογυμνοῦν δύναται. Ἤρξατο οὖν πρῶτος ὁ Βοῤῥᾶς σφοδρῶς πνέειν κατὰ τοῦ ἀνθρώπου. Ὁ δὲ ἄνθρωπος, καθόσον ἐψύχετο, τοῖς ἱματισμοῖς ἑαυτὸν περιέσκεπε, καὶ κραταιῶς αὐτῶν περιείχετο, μήπως τῇ σφοδροτάτῃ ἀνέμου προσβολῇ ἐκ τοῦ σώματος αὐτοῦ ἀναρπασθῶσιν. Ὅθεν καὶ κατ' οὐδὲν ὁ βοῤῥᾶς τὸν ἄνδρα παρέβλαψε, οὔτε τῶν περικειμένων ἀμφίων ἀπογυμνῶσαι ἠδυνήθη. Εἶτα καὶ ὁ ἥλιος ἐπιλάμψας αὐτῷ, καὶ τὸν ἀέρα τῆς ἡμέρας σφόδρα διαθερμάνας, εὐθὺς τὸν ἄνδρα τὰ ἱμάτια παρεσκεύασεν ἀποδύσασθαι καὶ ἐπ' ὤμων ταῦτα ἐπιφέρεσθαι.

Ὁ μῦθος δηλοῖ, ὡς τὸ ταπεινοφρονεῖν ὑπὲρ τὸ ματαίως κομπάζειν ἐνεργέστερον ἐπὶ πᾶσι καὶ πρακτικώτερον πέφυκεν.

307. ΓΕΩΡΓΟΣ ΚΑΙ ΑΕΤΟΣ.

Γεωργὸς ἀετὸν εὑρὼν ἀγρευόμενον, τὸ κάλλος αὐτοῦ θαυμάσας, ἀπέλυσεν αὐτὸν ἐλεύθερον. Ὁ δὲ οὐκ ἄμοιρος αὐτῷ χάριτος κατεφάνη· ἀλλ' ὑπὸ τεῖχος σαθρὸν καθήμενον ἰδὼν, προσπετάσας, τοῖς ποσὶν ἦρε τὸν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ φάκελλον. Ὁ δὲ ἐξαναστὰς ἐδίωκε. Τοῦτον δὲ ὁ ἀετὸς ἔῤῥιψε. Καὶ, ἀναλαβόμενος αὐτὸν, καὶ ὑποστρέψας, εὗρε τὸ τεῖχος συμπεπτωκὸς, ἔνθα ἐκάθητο· καὶ τὴν ἀμοιβὴν ἐθαυμάσατο.

Ὅτι τοὺς ἀγαθόν τι πεπονθότας ἀντευεργετεῖν χρή.

(1) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. νέ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

308. ΗΡΑΚΛΗΣ ΚΑΙ ΑΘΗΝΑ.

Διὰ ςενῆς ὁδοῦ ὥδευεν Ἡρακλῆς. Ἰδὼν δ' ἐπὶ γῆς μήλῳ ὅμοιόν τι, ἐπειρᾶτο συντρίψαι. Ὡς δὲ εἶδε διπλοῦν γενόμενον, ἔτι μᾶλλον ἐπέθετο καὶ τῷ ῥοπάλῳ ἔπαιεν· τὸ δὲ, φυσηθὲν εἰς μέγεθος, τὴν ὁδὸν ἐπέφραξεν. Ὁ δὲ, ῥίψας τὸ ῥόπαλον, ἵςατο θαυμάζων. Ἀθηνᾶ δὲ, αὐτῷ ἐπιφανεῖσα, εἶπε· Πέπαυσο, ἀδελφέ· τοῦτ' ἔςι φιλονεικία καὶ ἔρις. Ἄν τις αὐτὸ καταλείπῃ ἀμάχητον, μένει οἷον ἦν πρῶτον· ἐν δὲ ταῖς μάχαις οὕτως οἰδεῖται.

Ὅτι αἱ μάχαι καὶ ἔριδες αἰτίαι μεγάλης βλάβης ὑπάρχουσιν.

309. ΠΙΘΗΚΟΣ ΑΛΙΕΥΣ.

Πίθηκος, ἔν τινι ὑψηλῷ δένδρῳ καθήμενος, ὡς ἐθεάσατο ἁλιεῖς ἐπί τινα ποταμὸν σαγήνην ἐμβάλλοντας, παρετήρει τὰ ὑπ' αὐτῶν γινόμενα. Καὶ δὴ τὴν σαγήνην ἐάσαντες, μικρὸν ὑπεχώρησαν, τοῦ φαγεῖν. Καταβὰς δὲ ἀπὸ τοῦ δένδρου ἐπειρᾶτο μιμεῖσθαι αὐτούς· φασὶ γὰρ μιμητικὸν εἶναι τὸ ζῶον τοῦτο. Ἐφαψάμενος δὲ τῶν δικτύων, καὶ συλληφθεὶς, ἐκινδύνευε πνιγῆναι, καὶ ἔφη πρὸς ἑαυτόν· Ἀλλ' ἐγὼ δίκαια πέπονθα· τί γὰρ, ἁλιεύειν μὴ μαθὼν, τοῦτο ἐπεχείρουν;

Ὁ μῦθος δηλοῖ, ὅτι [ὁ] τὸ μὴ προσῆκον αὐτῷ ἐπιχειρῶν, οὐ μόνον ἀσύμφορος, ἀλλὰ καὶ ἐπιβλαβὴς αὐτῷ γίνεται.

ΑΛΛΩΣ (1).

ΑΛΙΕΥΣ ΚΑΙ ΠΙΘΗΞ.

Ἀνήρ τις ἁλιεὺς παρὰ τὴν θάλασσαν ἄγραν ἰχθύων ἐποίει. Πίθηξ δέ τις, αὐτὸν κατιδὼν, ἐκμιμήσασθαι ἠβουλήθη. Τοῦ δὲ

(1) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. μς'.

ἀνδρὸς ἐν σπηλαίῳ τινὶ ἑαυτὸν εἰσελθόντος διαναπαῦσαι, καὶ τὸ δίκτυον παρὰ τὸν αἰγιαλὸν λιπόντος, ἐλθὼν ὁ πίθηξ, καὶ τοῦ δικτύου λαβόμενος, ἀγρεῦσαι δῆθεν δι' αὐτοῦ ἐπεχείρει. Ἀγνώςως δὲ τῇ τέχνῃ καὶ ἀσυντάκτως χρώμενος, καὶ τῷ δικτύῳ περισχεθείς, ἐπὶ τῆς θαλάσσης εὐθὺς πέπτωκε, καὶ ἀπεπνίγη. Ὁ δὲ ἁλιεύς, καταλαβὼν αὐτὸν ἤδη ἀποπνιγέντα, ἔφη, Ὦ ἄθλιε, ὤλεσέ σε ἡ ἀφροσύνη σου καὶ ἡ ματαία ἐπίνοια.

Ὁ μῦθος δηλοῖ, ὡς οἱ τὰ ὑπὲρ αὐτοὺς μιμεῖσθαι πειρώμενοι, ἑαυτοῖς ἐντεῦθεν ἐπάγουσι κίνδυνον.

310. ΠΑΙΣ ΛΟΥΟΜΕΝΟΣ.

Παῖς λουόμενος ἐν ποταμῷ ἐκινδύνευε πνιγῆναι· καὶ ἰδών τινα παροδίτην, ἐπεφώνει, Βοήθησον. Ὁ δὲ ἐμέμφετο τῷ παιδὶ τολμηρίαν. Τὸ δὲ παιδίον εἶπεν· Ἀλλὰ νῦν μοι βοήθησον, ὕςερον δὲ σωθέντα μέμφου.

Ὁ μῦθος δηλοῖ τοῦτο, μὴ μέμφου, πλὴν ἐλέησον.

ΑΛΛΩΣ (1).

ΠΑΙΣ ΚΑΙ ΑΝΗΡ.

Παῖς τίς εἰσελθὼν ἐπί τινα ποταμὸν ἀπολούσασθαι, καὶ μὴ εἰδὼς νήχεσθαι, ἐκινδύνευεν ἀποπνιγῆναι· καί τινα προσερχόμενον ἄνδρα ἰδών, εἰς βοήθειαν τοῦτον ἐκάλει. Ὁ δὲ ἄνθρωπος, τοῦτον διασώζων ἐκεῖθεν, ἔλεγεν αὐτῷ, Ἱνατί, μὴ νήχεσθαι εἰδώς, τῆς τοσαύτης κατατετόλμηκας πλημμύρας; Ὁ δὲ παῖς αὐτῷ ἔφη, Τέως νῦν βοήθει μοι, καὶ μετὰ ταῦτα ὀνείδισον.

Ὁ μῦθος δηλοῖ ὡς ὁ ἐν περιςάσει τινὰ προσονειδίζων, ἀκαίρως αὐτοῦ καὶ ἀπρεπῶς καταμέμφεται.

---

(1) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. κγ'.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

311. ΑΙΣΩΠΟΣ ΜΕΤΑ ΤΩΝ ΝΑΥΠΗΓΩΝ.

Αἴσωπός ποτε ὁ λογοποιὸς, σχολὴν ἄγων, εἰς ναυπήγιον εἰσήχθη. Τῶν δὲ, σκωπτόντων τε αὐτὸν, καὶ ἐκκαλουμένων εἰς ἀπόκρισιν, ὁ Αἴσωπος ἔλεγε· Τὸ παλαι, χάος καὶ ὕδωρ γεγενῆσθαι· τὸν δὲ [Δία], διανοούμενον καὶ τὸ τῆς γῆς ςοιχεῖον ἀναδεῖξαι, παραινέσαι αὐτῇ δὶς ἢ τρὶς ἐκροφῆσαι τὴν θάλασσαν. Κἀκείνη ἀρξαμένη, τὸ μὲν πρῶτον τὰ ὄρη ἐξέφανεν· ἐκ δευτέρου δὲ ἐκροφήσασα καὶ τὰ πεδία ἀπεγύμνωσεν. Εἰ δὲ δόξειεν αὐτῇ καὶ τρίτον ἐκπιεῖν τὸ ὕδωρ, ἄχρηςος ὑμῖν ἡ τέχνη γενήσεται (1).

Ὅτι οἱ τοὺς κρείττονας χλευάζοντες, λανθάνουσι μείζονας ἑαυτοῖς ἀνίας ἐξ αὐτῶν ἐπισπώμενοι.

312. ΡΑΜΝΟΣ ΚΑΙ ΤΑ ΛΟΙΠΑ ΔΕΝΔΡΑ.

Τὰ δένδρα, φωνὴν ἀνθρωπίνην προϊέμενα, συνόδου γενομένης αὐτῶν, ἐδεήθη συκῆς ἄρχειν αὐτῶν. Ἀρνησαμένης δ' ἐκείνης, διὰ τὸ τῆς τιμῆς τῆς ἐπὶ τοῖς καρποῖς οἰκείας οὔσης ἀπολαύειν, οὐχ ὑπ' ἄλλων ἔξωθεν προσγινομένης, τὰ δένδρα τῆς ἐπὶ τὸ ἄρχεσθαι φροντίδος οὐκ ἀπελείπετο. Ἐδόκει δ' αὐτοῖς ἀμπέλῳ τὴν τιμὴν παρασχεῖν· καὶ ἡ ἄμπελος, χειροτονουμένη, τοῖς αὐτοῖς τῇ συκῇ χρησαμένη λόγοις, παρῃτεῖτο τὴν ἀρχήν. Τὸ δ' αὐτὸ καὶ τῶν ἐλαιῶν ποιησαμένων, ῥάμνος (ἐδεήθη γὰρ αὐτῆς ὥςε

---

(1) Μνημονεύει Ἀριςοτέλης (Μετεωρολογ. Β, γ') τοῦ μύθου, λέγων, Αἴσωπον, πορθμεῖ τινι ὀργιζόμενον, μυθολογῆσαι, « Ὡς δὶς μὲν » ἡ Χάρυβδις ἀναῤῥοφήσασα, τὸ μὲν πρῶτον τὰ ὄρη ἐποίησε φανερὰ, » τὸ δεύτερον, τὰς νήσους· τὸ δὲ τελευταῖον ῥοφήσασα, ξηρὰν [τὴν » θάλασσαν] ποιήσει πάμπαν ».

παραλαβεῖν τὴν βασιλείαν τὰ δένδρα· πυρεῖα δ᾽ ἀγαθὴ παρασχεῖν τῶν ξύλων ἐςὶν) ὑπισχνεῖται τὴν ἀρχὴν ἀναλήψεσθαι, καὶ ἀόκνως ἔχειν. Δεῖ μέντοι συνιζάνειν αὐτὰ ὑπὸ τὴν σκιάν· εἰ δ᾽ ὄλεθρον ἐπ᾽ αὐτῇ φρονῷεν, ὑπὸ τοῦ ἐνόντος πυρὸς διαφθαρεῖεν.

313. ΙΠΠΟΣ ΚΑΙ ΕΛΑΦΟΣ.

Στησίχορος, ἑλομένων ςρατηγὸν αὐτοκράτορα τῶν Ἱμεραίων Φάλαριν, καὶ μελλόντων φυλακὴν διδόναι τοῦ σώματος, τἄλλα διαλεχθεὶς, εἶπεν αὐτοῖς λόγον· « Ὡς ἵππος κατεῖχε λει» μῶνα μόνος· ἐλθόντος δ᾽ ἐλάφου, καὶ διαφθείροντος τὴν νομὴν, » βουλόμενος τιμωρήσασθαι τὸν ἔλαφον, ἠρώτα τὸν ἄνθρωπον, » εἰ δύναιτο μετ᾽ αὐτοῦ κολάσαι τὸν ἔλαφον. Ὁ δ᾽ ἔφησεν, ἐὰν » λάβῃ χαλινὸν, καὶ αὐτὸς ἀναβῇ ἐπ᾽ αὐτὸν, ἔχων ἀκόντια. » Συνομολογήσαντος δὲ, καὶ ἀναβάντος, ἀντὶ τοῦ τιμωρήσα» σθαι, αὐτὸς ἐδούλευσεν ἤδη τῷ ἀνθρώπῳ ». Οὕτω δὲ καὶ ὑμεῖς, ἔφη, ὁρᾶτε, μὴ τοὺς πολεμίους βουλόμενοι τιμωρήσασθαι, ταὐτὸ πάθητε τῷ ἵππῳ. Τὸν μὲν γὰρ χαλινὸν ἤδη ἔχετε, ἑλόμενοι ςρατηγὸν αὐτοκράτορα. Ἐὰν δὲ καὶ φυλακὴν δῶτε, καὶ ἀναβῆναι ἐάσητε, δουλεύσετε ἤδη Φαλάριδι.

ΑΛΛΩΣ (1).

Γέλων ὁ Σικελιώτης, τυραννίδι ἐπιθέσθαι διανοούμενος Ἱμεραίων, ἐθεράπευε τὸν δῆμον, καὶ κατὰ τῶν δυνατῶν ὑπερεμάχει· καὶ αὐτὸν ἠγάπα τὸ πλῆθος, καὶ φυλακὴν τοῦ σώματος αἰτοῦντι

(1) Ὁ μὲν πρότερος μῦθος ἐξ Ἀριςοτέλους (Ῥητορικ. Β, 20) ἐλήφθη ὑπὸ τῶν πρὸ ἡμῶν, ὅνπερ ἡμεῖς τὸν ἐχόμενον, μικρὸν παραλλάττοντα, προσθεῖναι δεῖν ἔγνωμεν, ἐκ τῶν Κόνωνος διηγημάτων (Διηγ. 42) ἐρανισάμενοι. Μνημονεύει καὶ Πλούταρχος (Ἀρατ. § 38) τοῦ μύθου.

ὥρμητο διδόναι. Στησίχορος δ' ὁ Ἱμεραῖος ποιητὴς, ὑποτοπάσας ἐπιχειρεῖν αὐτὸν τυραννίδι, ςὰς αἶνον ἔλεξεν εἰς τὸ πλῆθος, εἰκόνα τοῦ μέλλοντος πάθους. «Ἵππος (φησὶ), νεμόμενος, » ἐφοίτα πιούμενος ἐπὶ κρήνην· ἔλαφος δὲ τὸ πεδίον διαθέουσα, » τήν τε πόαν κατέςειβε, καὶ τὸ νᾶμα ἐτάραττε. Καὶ ὁ ἵππος » ποθῶν τὴν ἀδικοῦσαν τιμωρῆσαι, τάχει δὲ ποδῶν λειπόμενος, » ἄνδρα κυνηγέτην βοηθὸν ἐκάλει. Ὁ δὲ, εἰ χαλινὸν δέξοιτο καὶ » ἀναβάτην, ῥᾷςα ἀμυνεῖν αὐτῷ ὑπισχνεῖτο· καὶ ἐγίνετο οὕτω. » Καὶ ἡ μὲν ἔλαφος ἀκοντίοις ἔκειτο βληθεῖσα· ὁ δ' ἵππος ᾔσθετο » δεδουλωμένος τῷ κυνηγέτῃ ». Τοῦτ', ἔφη, δέδοικα αὐτὸς, ὦ Ἱμεραῖοι, μὴ, νῦν δῆμος ὄντες, τῶν ἐχθρῶν μὲν διὰ Γέλωνος περιγένησθε, αὐτοὶ δ' ὕςερον Γέλωνι δουλεύσητε· φιλεῖν γὰρ ἅπασαν δύναμιν τῷ λαβόντι ἐπὶ τὸν δόντα εἶναι, ὅταν, ὥσπερ δοῦναι αὐτὴν, μηκέτι ἐκ τοῦ ὁμοίου κομίσασθαι ἔχῃ.

ΑΛΛΩΣ.

Ἦν ὅτε καὶ ὁ ἵππος ἀχείρωτος ἦν. Καὶ, πρὶν ἢ τοῖς ἀνθρώποις εἰς χεῖρας ἐλθεῖν, κατὰ λειμῶνος ἐκρόαινε, καὶ τρυφὴν ἐποιεῖτο τὸ ἐλευθέριον. Καλὸν μὲν ἦν αὐτῷ καὶ τὸ ἄνετον, οὐ σμικρὸν εἰς εὐμοιρίαν καὶ τὸ χαλινοῦ διάγειν ἔξω καὶ μύωπος. Ἀλλ' ἦν ἄρα καὶ τοῦτο τῆς τύχης οὐδὲν ἧττον τὸ φιλοτίμημα· ἄλσος ἀνθηρὸν ἐπὶ πεδιάδος ἐφηπλωμένον, καὶ χλόη τις εἴς τε ποδῶν ἀγωνίαν καὶ τάχους φιλοτιμίαν οὐκ ἄχαρις, καὶ πρὸς τροφὴν οὐκ ἀνέραςος. Κατέῤῥει τὸ ἄλσος καὶ πηγή τις, ὡς μὲν ὀφθῆναι καλὴ, ὡς δὲ ἡδεῖα πιεῖν· ἡ δὲ καὶ τὸ χλοάζον ἐχορήγει τοῖς ἄνθεσι, καὶ τῷ ἵππῳ τὴν κόμην ἐκάθαιρεν. Ἐπὶ τούτοις ὧν τοῖς καλοῖς ὁ ἵππος ἔχαιρεν, οὐδὲν γὰρ ἐνέδει τῶν, ὁπόσα καὶ τρυφᾷν ἵπποι νομίζονται. Ἀλλ' εἶδε ταῦτα ἔλαφος, καὶ τοῖς τοῦ ἵππου καλοῖς ὀφθαλμὸν ἐπέβαλε βάσκανον, καὶ ξένοις ἀγαθοῖς ἐφυβρίζειν οὐκ ἐπῃσχύνετο. Τί μὲν τῆς λόχμης

τοῖς κέρασιν οὐκ ἀνώρυττε; τί δὲ τῶν ἀνθέων τοῖς ποσὶν οὐ κατέκλα; τί δὲ μὴ ξυνεθόλου τῆς πηγῆς, ὡς ἐφ' ὕβρει καὶ φθόνῳ τῶν ἵππου καλῶν ἀφειδῶς ἐπιτρέχουσα; Ἐντεῦθεν ἀλγεῖ μὲν ὁ ἵππος, καὶ περισκοπεῖται τὴν ἄμυναν· ἀλλ' οὐκ εἶχεν ὅ, τι καὶ χρήσαιτο. Ὡς οὖν ἐπέγνω κρεῖττον τῆς αὐτοῦ σοφίας τὸ κακὸν, ὁρᾷ τινα παριόντα τὸ ἄλσος. Διηγεῖται τῆς ἐλάφου τὸ βάσκανον· καὶ ὅπως ἀμυνεῖται, πυνθάνεται. Ὁ δὲ, ἄνθρωπος γὰρ ἦν, ἀπάτῃ καὶ δόλῳ τὸν ἵππον μέτεισι· καὶ, τὸν χαλινὸν ἐπιδείξας, Εἴγε, φησὶν, ὦ ἵππε, τοῦτον μὲν ἐπὶ ςόματος, ἐμὲ δὲ ἐπὶ νώτου φέρειν ἀνέξῃ μικρὸν, ἐγώ σοι δι' ὀλίγου τὴν ἔχθραν ἀμυνοῦμαι. Ἤκουσεν ὁ ἵππος ταῦτα, καὶ πείθεται. Καὶ τὸ ἐντεῦθεν, ἡ μὲν ἔλαφος ἀπηλαύνετο τοῦ ἄλσους· ὁ δὲ ἵππος ἐπὶ φάτνης εἰςήκει, μετὰ [τῆς] χλόης καὶ τῆς πηγῆς προσαφαιρεθεὶς καὶ τὸ ἄνετον.

Φυλακτέον ἄρα καὶ τὸ ἐλευθέριον, καὶ παῤῥησίαν οὐ προδοτέον φρονήματος, εἴγε [μὴ] μέλλοι τις δουλεύειν οὐδὲν ἧττον ἤπερ ἵππος χαλιναγωγούμενος.

ΑΛΛΩΣ.

Ἤριζεν ἵππος ἀγριωτάτῳ κάπρῳ.
Ὁρμὴν δὲ θηρὸς ἵππος οὐ σθένων ὅλως,
Ἑαυτὸν ἐκδέδωκεν, εὑρὼν σύμμαχον
Ἔμπειρον ἄνδρα πρὸς σφαγὴν τοῦ θηρίου.

Ὅτι δι' ἔχθραν τινὲς καὶ εἰς δουλείαν ἑαυτοὺς ἐμβάλλουσιν.

314. ΑΛΩΠΗΞ ΚΑΙ ΕΧΙΝΟΣ (1).

Αἴσωπος ἐν Σάμῳ συνηγορῶν δημαγωγῷ, κρινομένῳ περὶ

(1) Ἐκ τοῦ Ἀριςοτέλους (Ῥητορικ. Β, 20).

θανάτου,

θανάτου, ἔφη· « Ἀλώπεκα διαβαίνουσαν ποταμὸν ἀπωσθῆναι » εἰς φάραγγα· οὐ δυναμένην δὲ ἐκβῆναι, πολὺν χρόνον κακο- » παθεῖν, καὶ κυνοραϊςὰς πολλοὺς ἔχεσθαι αὐτῆς. Ἐχῖνον δὲ » πλανώμενον, ὡς εἶδεν αὐτὴν, κατοικτείραντα ἐρωτᾷν, Εἰ » ἀφέλοι αὐτῆς τοὺς κυνοραϊςάς. Τὴν δὲ οὐκ ἐᾷν. Ἐρομένου » δὲ διὰ τί, φάναι· Ὅτι οὗτοι μὲν πλήρεις μου ἤδη εἰσὶ, καὶ » ὀλίγον ἕλκουσιν αἷμα· ἐὰν δὲ τούτους ἀφέλῃς, ἕτεροι ἐλθόντες, » πεινῶντες, ἐκπιοῦνταί μου τὸ λοιπὸν αἷμα ». Ἀτὰρ οὖν καὶ ὑμᾶς, ἔφη, ὦ ἄνδρες Σάμιοι, οὗτος μὲν οὐδὲν ἔτι βλάπτει· πλούσιος γάρ ἐςιν. Ἐὰν δὲ τοῦτον ἀποκτείνητε, ἕτεροι ἥξουσι πένητες, οἳ ὑμῖν ἀναλώσουσι τὰ κοινὰ κλέπτοντες.

ΑΛΛΩΣ (1).

Ἡ Αἰσώπειος ἀλώπηξ τὸν ἐχῖνον οὐκ εἴα τοὺς κρότωνας αὐτῆς ἀφαιρεῖν βουλόμενον· Ἂν γὰρ τούτους, ἔφη, μεςοὺς ἀπαλλάξῃς, ἕτεροι προσίασι πεινῶντες.

ΑΛΛΩΣ.

Τραυματίᾳ τινὶ κειμένῳ μυῖαι κατὰ πλῆθος τὰς ὠτειλὰς περιέςησαν. Καί τις τῶν παρατυχόντων, οἰκτείρας αὐτοῦ τὴν δυςυχίαν, καὶ νομίσας ἀδυναμίᾳ μὴ βοηθεῖν, οἷός τε ἦν ἀποσοβεῖν αὐτὰς παραςάς. Καὶ δεομένου παύσασθαι τῶν ἐπὶ τοιοῖσδε, ὑπολαβὼν εἴρετο τὴν αἰτίαν τοῦ ἀπρομηθοῦς εἰς τὴν διαφυγὴν κακοῦ τοῦ ἐφεςηκότος. Καὶ ὃς, Μειζόνως γὰρ ἂν ἀδικοίης με, εἶπε, ταύτας ἀπαγαγών. Ταῖς μέν γε, ἤδη πληρωθείσαις τοῦ αἵματος, οὐκ ἔθ' ὁμοίως ἔπειξις, ὄχλον μοι παρασχεῖν, ἀλλά πη καὶ ἀνίσχουσιν· αἱ δ', ἀκραιφνεῖς τῷ κατ' αὐτὰς λιμῷ συνελθοῦσαι, καὶ τετρυμένον ἤδη παραλαμβάνουσαι, κἂν ὀλέθρῳ παραδοῖεν.

---

(1) Ἐκ τοῦ Πλουτάρχου (Εἰ πρεσβυτέρ. πολιτευτ. § 16).

315. ΚΥΩΝ ΚΑΙ ΟΙΣ (1).

Φασὶν, ὅτε φωνήεντα ἦν τὰ ζῶα, τὴν ὄϊν πρὸς τὸν δεσπότην εἰπεῖν· Θαυμαστὸν ποιεῖς, ὃς ἡμῖν μὲν, ταῖς καὶ ἔριά σοι καὶ ἄρνας καὶ τυρὸν παρεχούσαις, οὐδὲν δίδως, ὅ, τι ἂν μὴ ἐκ τῆς γῆς λάβωμεν· τῷ δὲ κυνὶ, ὃς οὐδὲν τοιοῦτόν σοι παρέχει, μεταδίδως οὗπερ αὐτὸς ἔχεις σίτου. Τὸν κύνα οὖν ἀκούσαντα εἰπεῖν· Ναὶ μὰ Δία, ἐγὼ γάρ εἰμι ὁ καὶ ὑμᾶς αὐτὰς σώζων, ὥστε μήτε ὑπ' ἀνθρώπων κλέπτεσθαι, μήτε ὑπὸ λύκων ἁρπάζεσθαι· ἐπεὶ ὑμεῖς γε, εἰ μὴ ἐγὼ προφυλάττοιμι ὑμᾶς, οὐδ' ἂν νέμεσθαι δύναισθε, φοβούμεναι μὴ ἀπόλησθε. Οὕτω δὴ λέγεται καὶ τὰ πρόβατα συγχωρῆσαι τὸν κύνα προτιμᾶσθαι.

316. ΚΟΚΚΥΞ ΚΑΙ ΟΡΝΙΘΕΣ (2).

Τῷ Κόκκυγι, ἐρωτῶντι τοὺς λεπτοὺς ὄρνιθας, ὅ, τι φεύγοιεν αὐτὸν, εἰπεῖν ἐκείνους, ὡς ἔσται ποτὲ Ἱέραξ.

317. ΚΥΝΟΣ ΟΙΚΙΑ (3).

Κύων, ἐν τῷ χειμῶνι συστρεφόμενος καὶ συσπειρώμενος διὰ τὸ ῥιγοῦν, οἰκίαν ποιεῖν διενοεῖτο. Θέρους δ' αὖ πάλιν, ἐκτεταμένος καθεύδων, ἐφαίνετο μέγας ἑαυτῷ· καὶ μήτε ἀναγκαῖον ἡγεῖτο, μήτε μικρὸν ἔργον, οἰκίαν περιβάλλεσθαι τοιαύτην.

---

(1) Ἐκ τοῦ Ξενοφῶντος (Ἀπομνημ. Β, ζ, 13).

(2) Ἐκ τοῦ Πλουτάρχου (Ἀρατ. § 30) ὁ μῦθος, ᾧ τοιόνδε τι προσάψαις ἂν ἐπιμύθιον· « Οὕτως ἐνίους, καὶ μηδέν πω ἠδικηκότας, » βλάπτει κακίας ὑποψία παρακολουθοῦσα ».

(3) Ἐκ τοῦ αὐτοῦ (Επτ. σοφ. συμποσ. § 14).

318. ΛΥΚΟΣ ΚΑΙ ΠΟΙΜΕΝΕΣ (1).

Λύκος, ἰδὼν ποιμένας, ἐσθίοντας ἐν σκηνῇ πρόβατον, ἐγγὺς προσελθὼν, Ἡλίκος ἂν ἦν ὑμῖν θόρυβος, [ἔφη], εἰ ἐγὼ τοῦτο ἐποίουν;

319. ΠΟΛΕΜΙΣΤΗΣ ΚΑΙ ΚΟΡΑΚΕΣ.

Ἀνὴρ δειλὸς ἐπὶ πόλεμον ἐξῄει. Φθεγξαμένων δὲ κοράκων, τὰ ὅπλα θεὶς ἡσύχαζεν. Εἶτα ἀναλαβὼν αὖθις ἐξῄει, καὶ φθεγγομένων πάλιν ἐπέστη· καὶ τέλος εἶπεν· Ὑμεῖς κεκράξεσθε μὲν μέγιστον ὡς δυνατὸν, ἐμοῦ δὲ οὐ γεύσεσθε.

320. ΟΝΟΝ ΜΙΣΘΩΣΑΜΕΝΟΣ (2).

Φασί ποτε ἐν Ἀθήναις τινὰ, δεηθέντα ὀνηλάτου, μισθώσασθαι ὄνον, ἐπὶ τῷ τὰ φορτία βαστάσαι μόνον ἐπὶ τὰ Μέγαρα. Καὶ δὴ, οὕτω δόξαν αὐτοῖς, ἐπιθέντες τὰ φορτία ὥδευον. Μεσημβρίας δὲ γενομένης, καὶ τῶν ὑπὸ κύνα καυμάτων σφοδρῶς αὐτοῖς ἐπικειμένων, οὐχ εὑρίσκοντες σκέπην, καθεῖλε τὰ φορτία ἀπὸ τοῦ ὄνου ὁ δεσπότης αὐτῶν, καὶ δι' αὐτῶν ἑαυτῷ σκιὰν ἐποίησε. Πρὸς ὃ μαχόμενος ὁ ὀνηλάτης, ἔλεγεν ὄνον μεμισθωκέναι, ἐπὶ τῷ φορτία φορεῖν, οὐ σκιὰν παρέξειν· ὁ δὲ ἔλεγε μεμισθῶσθαι, ὅπως ἂν, ὡς βούλοιτο, χρῷτο. Ἐκ δὲ ταύτης τῆς φιλονεικίας, μηδὲν οὔσης, εἰς δικαστήρια κατηνέχθησαν.

---

(1) Ἐκ τοῦ Πλουτάρχου (Ἑπτ. σοφ. συμπος. § 13).

(2) Ἐκ τοῦ Σχολιαστοῦ Ἀριστοφάνους (Σφ. 191).

ΑΛΛΩΣ (1).

Δημοσθένης ὁ ῥήτωρ ἀπολογούμενος ὑπέρ τινος κινδυνεύοντος, οὐκ ἀνεχομένων τῶν δικαςῶν, εἶπεν· Ἀκούσατε, ὦ ἄνδρες, διηγήματος τερπνοῦ· «Νεανίσκος ποτὲ ὄνον ἐμισθώσατο Ἀθήνηθεν Μεγάραδε. Μεσημβρίας δὲ καταλαβούσης, καταλύσας τὸν γόμον, ὑπῆλθε τὴν σκιὰν τοῦ ὄνου. Ἐκβαλλόμενος δὲ ὑπὸ τοῦ ὀνηλάτου πρὸς βίαν, διεφέρετο, μεμισθωκέναι καὶ τὴν σκιὰν λέγων. Ἀντιλέγοντος δὲ τοῦ ὀνηλάτου, καὶ φάσκοντος τὸν ὄνον [μόνον] μεμισθωκέναι, εἰς δικαςήριον εἰσῆλθον ἀμφότεροι». Εἰπὼν δὲ ταῦτα ὁ Δημοσθένης, κατέβαινεν ἐκ τοῦ βήματος. Ἀξιούντων δὲ τῶν δικαςῶν τῆς δίκης τὸ τέλος μαθεῖν, εἶπεν ἀναβὰς πάλιν ἐπὶ τοῦ βήματος· Ὑπὲρ μὲν ὄνου σκιᾶς ἀκούειν, ὦ ἄνδρες, ἐπιθυμεῖτε· ἀνθρώπου δὲ κινδυνεύοντος ὑπὲρ ψυχῆς οὐδὲ τῆς φωνῆς ἀνέχεσθε;

ΑΛΛΩΣ (2).

Δημοσθένης, κωλυόμενος ὑπ' Ἀθηναίων ἐν ἐκκλησίᾳ λέγειν, βραχύ τι προσδιαλεχθῆναι αὐτοῖς ἔφη βούλεσθαι. Τῶν δὲ, δεξαμένων· «Νεανίας τὶς, ἔφησεν, ὥρᾳ θέρους ἐξ ἄςεος ὄνον ἐμισθώσατο Μεγάραδε. Τῆς δὲ φλογὸς κατὰ τὸ μέσον τῆς ἡμέρας ἐπιπλέον ἀναπτομένης, ἑκάτερος αὐτῶν ἔσπευδεν ὑπὸ τὴν τοῦ ὄνου γενέσθαι σκιάν· ὁ μὲν, λέγων μεμισθωκέναι τὸν ὄνον, ἀλλ' οὐ καὶ [τὴν] σκιάν· ὁ δὲ μεμισθωμένος, ἕως ἂν αὐτὸν κύριον τοῦ σώματος ἀποφαίνῃ τὸ μίσθωμα, καὶ τὴν ἄλλην ἔχειν ἐξουσίαν τῶν συμβαινόντων διὰ τοῦ σώματος».

---

(1) Ἐκ τοῦ Σχολιαςοῦ Ἀριςοφάνους (Σφ. 191).

(2) Ἐκ τῆς Φωτίου Βιβλιοθήκης (Κωδ. σξέ). Ταὐτὰ σχεδὸν εὑρήσεις καὶ ἐν τῷ εἰς τὸν Πλούταρχον ἀναφερομένῳ καὶ ἐπιγραφομένῳ, Βίοι τῶν δέκα ῥητόρων (ή), βιβλίῳ.

Καὶ ταῦτα εἰπὼν, ἀπῄει, ὀργώσας αὐτῶν τὰς ἀκοὰς πρὸς τὴν τῶν λοιπῶν διήγησιν ἀπολιπών. Ἐπισχόντων δὲ αὐτὸν [τῶν] Ἀθηναίων, καὶ πέρας ἐπιθεῖναι τῷ λόγῳ δεομένων, ὑπολαβὼν, Εἶτα, ἔφη, ὑπὲρ μὲν ὄνου σκιᾶς βούλεσθε ἀκούειν, ὑπὲρ δὲ σπουδαίων πραγμάτων, καὶ συμφερόντων τῇ πόλει, οὐ βούλεσθε;

ΑΛΛΩΣ (1).

Δημοσθένης, ἀπολογούμενος ὑπέρ τινος ἐπὶ μεγάλαις αἰτίαις κρινομένου, ὡς ἑώρα θορυβοῦντας τοὺς ἀκροωμένους, παρακαλέσας αὐτοὺς μικρὰ προσέχειν, ἤρξατο διηγεῖσθαι, ὡς Μεγάραδε ἀπιὼν μισθώσαιτο (2) ὄνον· καύματος δὲ ἐν τῇ ὁδῷ γενομένου, ὑπὸ τὴν σκιὰν τοῦ ὄνου βουληθείη ἀναπαύσασθαι· οὐ παρεῖναι γὰρ οὔτε δένδρον, οὔτ' ἄλλο τοιοῦτον οὐδέν. Τὸν δὲ ὀνηλάτην κωλύειν, φάσκοντα ὄνον αὐτῷ μεμισθωκέναι μόνον, οὐ μὴν καὶ σκιάν· ὥςε διατριβὴν αὐτοῖς καὶ φιλονεικίαν πολλὴν περὶ τούτου γενέσθαι. Ταῦτα δὲ εἰπὼν, ὡς εἶδε τοὺς Ἀθηναίους προσέχοντας σφόδρα, καὶ ἡδομένους, καὶ ποθοῦντας τὰ ἑξῆς ἀκοῦσαι, ἐπέπληξεν αὐτοῖς, εἰ περὶ ὄνου μὲν σκιᾶς ἀκροᾶσθαι δέονται καὶ παρακαλοῦσιν, ὑπὲρ δὲ ἀνδρὸς περὶ τοῦ ζῆν κινδυνεύοντος οὐκ ἐθέλουσιν ἀκούειν.

ΑΛΛΩΣ (3).

Ἐμισθώσατό τις ὄνον ἀπιὼν εἰς Δελφούς. Καὶ, ὡς καῦμα

(1) Ἐκ τοῦ Φωτίου Λεξικοῦ (λέξ. Ὄνου σκιά).

(2) Οὕτω καὶ παρὰ τῷ Σουίδᾳ (λέξ. Ὄνου σκιά). Γραπτέον μέντοι, Ἀπιὼν μισθώσαιτό τις, ἢ Ἀπιών τις μισθώσαιτο, ὡς φέρεται καὶ παρὰ τῷ Ἀποςολίῳ (Παροιμ. σελ. 176)· πλὴν εἰ μήτις ἀλλοίαν εἶναι νομίζοι τοῦ διηγήματος διασκευὴν, ἐν ᾧ Δημοσθένης αὐτὸς πέπλασται μεμισθωμένος τὸν ὄνον.

(3) Ἐκ τῶν συλλεγεισῶν ὑπὸ τοῦ Σχόττου Ἑλληνικῶν Παροιμιῶν (σελ. 300). Σημειοῦ καὶ ὧδε, ὅτι παραλλάττει τῶν προτέρων ἡ δια-

κατήπειγεν, ὑπὸ τὴν σκιὰν τοῦ ὄνου κατέδυ ὁ μισθώσας αὐτόν. Ὁ δὲ [τοῦ] ὄνου δεσπότης ἐμάχετο αὐτῷ, λέγων, ὅτι, Τὸν ὄνον σοι ἐμισθωσάμην, οὐχὶ καὶ τ..ν σκιὰν αὐτοῦ.

Ὁ λόγος περὶ τῶν ἐπὶ εὐτελέσι φιλονεικούντων.

321. ΠΕΝΘΟΥΣ ΓΕΡΑΣ (1).

Φασί τινα τῶν ἀρχαίων φιλοσόφων εἰσιόντα πρὸς Ἀρσινόην τὴν βασίλισσαν, πενθοῦσαν τὸν υἱὸν, τοιούτῳ χρήσασθαι λόγῳ, φάμενον· « Ὅτι καθ' ὃν χρόνον ὁ Ζεὺς ἔνεμε τοῖς δαί- » μοσι τὰς τιμὰς, οὐκ ἔτυχε παρὸν τὸ Πένθος. Ἤδη δὲ νενεμη- » μένων, ἦλθεν ὕστερον. Τὸν οὖν Δία, ὡς ἠξίου καὶ αὐτῷ τιμὴν » διδόναι, ἀποροῦντα διὰ τὸ ἤδη καταναλῶσθαι πάσας τοῖς » ἄλλοις, ταύτην αὐτῷ δοῦναι τὴν ἐπὶ τοῖς τελευτήσασι γιγνο- » μένην, οἷον δάκρυα καὶ λύπας ». Ὥσπερ οὖν τοὺς ἄλλους δαίμονας, ὑφ' ὧν τιμῶνται, τούτους ἀγαπᾶν· τὸν αὐτὸν τρόπον καὶ τὸ πένθος. Ἐὰν μὲν αὐτὸ ἀτιμάσῃς, ὦ γύναι, οὐ προσελεύσεταί σοι, ἐὰν δὲ τιμᾶται ὑπὸ σοῦ ἐπιμελῶς, ταῖς δοθείσαις αὐτῷ τιμαῖς, λύπαις καὶ θρήνοις, ἀγαπήσει σε, καὶ ἀεί τί σοι παρέξεται τοιοῦτον, ἐφ' ᾧ τιμηθήσεται παρὰ σοῦ συνεχῶς.

σκευὴ τοῦ μύθου, τῷ εἰς Δελφοὺς, οὐκ εἰς Μέγαρα, πεπλάσθαι τὴν πορείαν. Περὶ οὗ ἔπιθι Ἁρποκρατίωνα (λέξ. Π ρὶ τῆς ἐν Δελφοῖς σκιᾶς), τὸν Σχ λιαστὴν Ἀριστοφάνους (Σφ. 191), καὶ Σουΐδαν (Τομ. Γ, σελ. 91).

(1) Ἐκ τοῦ Πλουτάρχου (Παραμυθ. πρὸς Ἀπολλών. § 19). Μνημονεύει δὲ καὶ ἀλλαχοῦ (Παραμυθ. πρὸς τὴν ἰδίαν γυναῖκ. § 6) Πλούταρχος τοῦ μύθου, ὡς Αἰσωπείου· « Καὶ τοῦτο φαίνεται μὴ λα- » θεῖν Αἴσωπον. Ἔφη γὰρ οὗτος, ὅτι, τοῦ Διὸς τὰς τιμὰς διανέμοντος » τοῖς θεοῖς, ᾔτει καὶ τὸ Πένθος. Ἔδωκεν οὖν αὐτῷ, παρὰ τοῖς αἱρου- » μένοις δὲ μόνοις καὶ θέλουσιν, κ. τ. λ. »

322. ΕΟΡΤΗ ΚΑΙ ΥΣΤΕΡΑ (1).

Φασὶ τὴν ὑςέραν ἐρίσαι πρὸς τὴν ἑορτὴν, λέγουσαν, ὡς ἐκείνη μὲν ἐςὶ κοπώδης καὶ ἄσχολος· ἐν αὐτῇ δὲ τῶν παρεσκευασμένων ἀπολαύουσι μεθ' ἡσυχίας. Τὴν οὖν ἑορτὴν εἰπεῖν· Ἀληθῆ λέγεις, ἀλλ' ἐμοῦ μὴ γενομένης, ποῦ ἂν σὺ ἦσθα;

323. ΑΕΤΟΣ ΚΑΙ ΒΑΣΙΛΙΣΚΟΣ (2).

Ο Αἰσώπου βασιλίσκος, ἐπὶ τῶν ὤμων τοῦ ἀετοῦ κομισθεὶς, αἰφνίδιον ἐξέπτη καὶ προέφθασεν.

324. ΔΡΑΠΕΤΗΣ (3).

Ο τὸν δραπέτην ἰδὼν διὰ χρόνου καὶ διώκων, ὡς κατέφυγε φθάσας εἰς μυλῶνα, Ποῦ δ' ἂν, ἔφη, σὲ μᾶλλον εὑρεῖν ἐβουλήθην ἢ ἐνταῦθα;

(1) Ἐκ τοῦ Πλουτάρχου (Περὶ τῆς Ῥωμαίων τύχης § 8). Μνημονεύει δὲ μάλιςα τοῦ μύθου καὶ ἐν τῷ Θεμιςοκλέους βίῳ (§ 18).

(2) Ἐκ τοῦ αὐτοῦ (Πολιτικ. παραγγελμ. § 12). Προσαρμόσαις δ' ἂν τῷ μύθῳ ἐπιμύθιον τοῦτο· « Οὕτως ἔνιοι παρευδοκιμοῦσιν ἑτέρους, » τὴν δόξαν αὐτῶν ὑφαρπάζοντες ».

(3) Ἐκ τοῦ αὐτοῦ (Γαμικ. παραγγελμ. § 41). Ἐπιμύθιον δὲ τοιοῦτον ἄν τι προσαρμόσαις τῷ μύθῳ· « Εὐλαβεῖσθαι μάλιςα χρὴ τῶν » ἁμαρτημάτων τὰ τοῖς ἐχθροῖς ἡδονὰς παρασκευάζοντα ».

325. ΣΕΛΗΝΗ ΚΑΙ ΜΗΤΗΡ (1).

Η σελήνη ἐδεῖτο τῆς ἑαυτῆς μητρὸς, ὅπως αὐτῇ χιτώνιον ὑφάνῃ σύμμετρον. Τὴν δ' εἰπεῖν· Καὶ πῶς σύμμετρον ὑφήνω· νῦν μὲν γὰρ ὁρῶ σε πανσέληνον, αὖθις δὲ μηνοειδῆ, ποτὲ δ' ἀμφίκυρτον.

Οὕτω δὴ καὶ πρὸς ἄνθρωπον ἀνόητον καὶ φαῦλον οὐδέν ἐςι μέτρον οὐσίας· ἄλλοτε γὰρ ἄλλος ἐςὶ ταῖς χρείαις διὰ τὰς ἐπιθυμίας καὶ τὰς τύχας.

326. ΑΛΩΠΗΞ ΚΑΙ ΓΕΡΑΝΟΣ (2).

Οἱ δὲ τοιαῦτα προβλήματα καθιέντες οὐδὲν ἂν τῆς Αἰσωπείου γεράνου καὶ ἀλώπεκος ἐπιεικέςεροι πρὸς κοινωνίαν φανεῖεν. Ὧν ἡ μὲν ἔτνος τι λιπαρὸν κατὰ λίθου πλατείας καταχεαμένη, ἅμα γέλωτα παρέχουσαν ἠνία. Ἐξέφευγε γὰρ ὑγρότητι τὸ ἔτνος τὴν λεπτότητα τοῦ ςόματος αὐτῆς. Ἐν μέρει τοίνυν ἡ γέρανος αὐτῇ καταγγείλασα δεῖπνον, ἐν λαγυνίδι προὔθηκε λεπτὸν ἐχούσῃ καὶ μακρὸν τράχηλον, ὥςε αὐτὴν μὲν καθιέναι τὸ ςόμα ῥᾳδίως καὶ ἀπολαύειν, τὴν δὲ ἀλώπεκα, μὴ δυναμένην, κομίζεσθαι συμβολὰς πρεπούσας.

327. ΦΘΕΙΡΕΣ ΚΑΙ ΓΕΩΡΓΟΣ (3).

Φθεῖρες γεωργὸν ἀροτριῶντα ὑπέδακνον. Ὁ δὲ δὶς μὲν, τὸ ἄροτρον μεθεὶς, τὸν χιτωνίσκον ἐκάθηρεν. Ὡς δὲ αὖθις ἐδάκνετο, ἵνα μὴ πολλάκις ἀργοίη, τὸν χιτωνίσκον ἔκαυσεν.

(1) Ἐκ τοῦ Πλουτάρχου (Ἑπτ. σοφ. συμποσ. § 14).
(2) Ἐκ τοῦ αὐτοῦ (Συμποσιακ. Α. § 1).
(3) Ἐκ τοῦ Ἀππιανοῦ (Ῥωμαϊκ. Ἐμφυλ. Α, 101.).

328. ΜΩΡΟΥ ΚΟΣΚΙΝΟΝ (1).

Μωρὸς πρὸς κόσκινον ἔλεγεν, οὐχ εὑρίσκειν ὅπου βύσειεν ἢ μὴ βύσειεν αὐτό.

329. ΠΟΙΜΗΝ ΚΑΙ ΜΑΓΕΙΡΟΣ (2).

Ποιμὴν ἀνὴρ καὶ μάγειρος ἐβάδιζον ἄμφω κοινὴν ὁδόν. Ἰδόντες δὲ ἐκ ποίμνης ἄρνα εὐτραφῆ πλανώμενον, ἀπολειφθέντα τῶν συννόμων, ὤσαντο ἐπ' αὐτὸν ἄμφω· ἦν [δ'] ἄρα τότε ὁμόφωνα καὶ τὰ θηρία τοῖς ἀνθρώποις. Ἐρωτᾷ ὁ ἀμνὸς, τίς ὢν ἑκάτερος ἐθέλει αὐτὸν μεταχειρίσασθαι καὶ ἄγειν. Ὡς δὲ ἐπύθετο τἀληθῆ αὐτὰ καὶ ἀμφοῖν τὴν τέχνην, φέρων ἑαυτὸν ἐπιτρέπει τῷ ποιμένι, λέγων πρὸς τὸν μάγειρον· Σὺ μὲν γὰρ δήμιός τις εἶ καὶ μιαιφόνος τῆς ἀρνῶν ποίμνης, τούτῳ δὲ ἐξαρκέσειεν [ἂν] καλῶς τὰ ἡμέτερα ἔθη.

330. ΓΛΑΥΞ ΚΑΙ ΟΡΝΕΑ (3).

Τὰ ὄρνεα ξυνῆλθε πρὸς τὴν γλαῦκα, καὶ ἐδεῖτο, τῆς μὲν ἐπὶ τῶν οἰκοδομημάτων ὀπῆς ἀπανίςασθαι, πρὸς δὲ τὰ δένδρα τὴν καλιὰν, ὥσπερ καὶ αὐτὰ, καὶ τοὺς τούτων μεταπήγνυσθαι κλῶνας, ἀφ' ὧν καὶ ᾄδειν ἐςὶν εὐσημότερον· καὶ δὴ καὶ πρὸς δρῦν ἄρτι ταυτηνὶ φυομένην, ἐπειδὰν πρὸς ὥραν ἀφίκηται, ἑτοίμως ἔχειν ἱζάνειν, καὶ τῆς χλοερᾶς κόμης ἀπόνασθαι. Ἀλλ' οὖν τήν γε γλαῦκα μὴ τοῦτο τοῖς ὀρνέοις ποιεῖν παραινεῖν, μηδὲ

(1) Ἐκ τοῦ Γαληνοῦ.

(2) Ἐκ Μαξίμου τοῦ Τυρίου (Λόγ. θ').

(3) Ἐκ Δίωνος τοῦ Χρυσοςόμου (Λόγ. οβ').

φυτοῦ βλάςῃ ἐφήδεσθαι, ἰξὸν πεφυκότος φέρειν, πτηνοῖς ὄλεθρον. Τὰ δὲ μηδὲ τῆς ξυμβουλῆς ἀποδέχεσθαι τὴν γλαῦκα· τοὐναντίον δὲ ἔχαιρε τῇ δρυῒ φυομένῃ· ἐπειδὴ δὲ ἱκανὴ ἦν, καθίσαντα ἐπ' αὐτὴν, ᾖδε. Γενομένου δὲ τοῦ ἰξοῦ, ῥᾳδίως ἤδη ὑπὸ τῶν ἀνθρώπων ἁλισκόμενα μετενόουν, καὶ τὴν γλαῦκα ἐθαύμαζον ἐπὶ τῇ ξυμβουλῇ. Καὶ νῦν ἔτι οὕτως ἔχουσιν, ὡς δεινῆς καὶ σοφῆς οὔσης αὐτῆς· καὶ διὰ τοῦτο ἐθέλουσι πλησιάζειν, ἡγούμενα ἀγαθόν τι ἀπολαύσειν τῆς ξυνουσίας. Ἔπειτα, οἶμαι, προσίασι, μάτην ἐπὶ κακῷ. Ἡ μὲν γὰρ ἀρχαία γλαὺξ, τῷ ὄντι φρονίμη τε ἦν, καὶ ξυμβουλεύειν ἐδύνατο· αἱ δὲ νῦν μόνον τὰ πτερὰ ἔχουσιν ἐκείνης, καὶ τοὺς ὀφθαλμοὺς καὶ τὸ ῥάμφος, τὰ δὲ ἄλλα ἀφρονέςεραί εἰσι τῶν ἄλλων ὀρνέων.

331. ΓΛΑΥΞ ΚΑΙ ΟΡΝΕΑ (1).

Γλαὺξ, σοφὴ οὖσα, ξυνεβούλευε τοῖς ὀρνέοις, τῆς δρυὸς ἐν ἀρχῇ φυομένης, μὴ ἐᾶσαι, ἀλλ' ἀνελεῖν πάντα τρόπον· ἔσεσθαι γὰρ φάρμακον ἀπ' αὐτῆς ἄφυκτον, ὑφ' οὗ ἁλώσονται, τὸν ἰξόν. Πάλιν δὲ, τὸ λίνον τῶν ἀνθρώπων σπειρόντων, ἐκέλευε καὶ τοῦτο ἐκλέγειν τὸ σπέρμα· μὴ γὰρ ἐπ' ἀγαθῷ φύεσθαι. Τρίτον δὲ, ἰδοῦσα τοξευτήν τινα ἄνδρα, προέλεγεν, ὅτι οὗτος ὁ ἀνὴρ φθάσει ὑμᾶς τοῖς ὑμετέροις πτεροῖς, πεζὸς ὢν αὐτὸς, πτηνὰ ἐπιπέμπων βέλη. Τὰ δὲ ἠπίςει τοῖς λόγοις, καὶ ἀνόητον αὐτὴν ἡγοῦντο, καὶ μαίνεσθαι ἔφασκον. Ὕςερον δὲ, πειρώμενα, ἐθαύμαζε, καὶ τῷ ὄντι σοφωτάτην ἐνόμιζε· καὶ διὰ τοῦτο, ἐπὰν φανῇ, πρόσεισιν ὡς πρὸς ἅπαντα ἐπιςαμένην. Ἡ δὲ ξυμβουλεύει μὲν ἔτι αὐτοῖς οὐδὲν, ὀδύρεται δὲ μόνον.

---

(1) Ἐκ Δίωνος τοῦ Χρυσοστόμου (Λόγ. ιβ').

332. ΝΕΑΝΙΣΚΟΣ ΚΑΙ ΙΠΠΟΣ (1).

Νεανίσκος τις ἐφ' ἵππον ἀνέβη μαινόμενον. Ἁρπάσας δὲ αὐτὸν ἔφερεν ὁ ἵππος· ὁ δ' οὐκ ἔτι καταβῆναι τοῦ ἵππου θέοντος ἐδύνατο. Καί τις ἀπαντήσας ἠρώτησεν αὐτὸν, Ποίαν ἄπεισιν; Ὁ δὲ εἶπεν, Ὅπου τούτῳ δοκεῖ, δεικνὺς τὸν ἵππον.

Πολλοὶ, ἄν τις ἐρωτᾷ, Ποῖ φέρεσθε; τἀληθῆ ἐθέλοντες λέγειν, ἐροῦσιν, ἁπλῶς μὲν, ὅπουπερ ἂν ταῖς ἐπιθυμίαις δοκῇ. Κατὰ μέρος δὲ, ὅπουπερ ἂν τῇ ἡδονῇ, ποτὲ δὲ ὅπου τῇ δόξῃ, ποτὲ δὲ αὖ τῇ φιλοκερδείᾳ· ποτὲ δὲ ὁ θυμὸς, ποτὲ δὲ ὁ φόβος, ποτὲ δὲ ἄλλο τι τοιοῦτον αὐτοὺς ἐκφέρειν φαίνεται.

333. ΑΝΘΡΩΠΟΣ ΑΡΙΘΜΩΝ ΤΑ ΚΥΜΑΤΑ (2).

Ἄνθρωπός τις ἐπὶ τῇ ἠϊόνι καθεζόμενος, ἐπὶ τὴν κυματωγὴν, ἠρίθμει τὰ κύματα. Σφαλεὶς δὲ ἤχθετο καὶ ἠνιᾶτο, ἄχρι δὴ ἡ κερδὼ παραστᾶσα εἶπεν αὐτῷ· Τί, ὦ γενναῖε, ἀνιᾷ τῶν παρελθόντων ἕνεκα; δέον τὰ ἐντεῦθεν ἀρξάμενον ἀριθμεῖν, ἀμελήσαντα ἐκείνων.

334. ΚΥΩΝ ΚΑΙ ΙΠΠΟΣ (3).

Κύων, ἐν φάτνῃ κατακειμένη, οὔτε αὐτὴ τῶν κριθῶν ἤσθιεν, οὔτε τῷ ἵππῳ, δυναμένῳ φαγεῖν, ἐπέτρεπε.

---

(1) Ἐκ τοῦ Λουκιανοῦ (Κυνικ. § 18).

(2) Ἐκ τοῦ αὐτοῦ (Ἑρμότιμ. ἢ περὶ αἱρέσ. § 84).

(3) Ἐκ τοῦ αὐτοῦ (Πρὸς ἀπαίδευτ. καὶ πολλ. βιβλ. ὠνούμενον § 30)· Μνημονεύει δὲ καὶ ἀλλαχοῦ (Τίμ. ἢ μισάνθρ. § 14) τοῦ αὐτοῦ μύθου· ᾧ ἐπιμύθιον ἂν ἐκ τοῦ αὐτοῦ Λουκιανοῦ προσάψαις τοδί. «Ὁ λόγος πρὸς τοὺς ἱκανὴν ἀπόλαυσιν οἰομένους, οὐ τὸ αὐ» τοὺς ἀπολαύειν ἔχειν, ἀλλὰ τὸ μηδενὶ μεταδιδόναι τῆς ἀπολαύσεως ».

335. ΒΟΗΛΑΤΗΣ ΚΑΙ ΗΡΑΚΛΗΣ.

Βοηλάτης ἐκ κώμης ἅμαξαν ἄγων, καὶ ταύτης ἐμπεσούσης εἰς φάραγγα κοιλώδη, δέον βοηθεῖν, ἀργὸς ἵϛατο τῷ Ἡρακλεῖ προσευχόμενος· ἐκεῖνον γὰρ ἐκ πάντων τῶν θεῶν ἀσπαζόμενος ἐτίμα. Ὁ δὲ θεὸς ἐπιϛὰς, εἶπε· Τῶν τροχῶν ἅπτου, καὶ τοὺς βόας νύττε, καὶ τότε τῷ θεῷ εὔχου, ὅταν καὐτός τι ποιῇς· μὴ μέντοιγε μάτην εὔχου (1).

336. ΧΕΛΙΔΟΝΕΣ ΚΑΙ ΚΥΚΝΟΙ.

Ἐπέσκωπτον αἱ χελιδόνες τῶν κύκνων, τὸ μὴ ἐθέλειν ὁμιλεῖν τοῖς ἀνθρώποις, μήτε δημοσιεύειν τὴν μουσικὴν, ἀλλ' ἀμφὶ τοὺς λειμῶνας διάγειν καὶ τοὺς ποταμοὺς, καὶ τὴν ἐρημίαν ἀσπάζεσθαι, καὶ βραχέα μὲν ᾄδειν, ἃ δὲ καὶ ᾄδοιεν, ᾄδειν ἐν σφίσιν αὐτοῖς, ὥσπερ αἰσχυνομένους τὴν μουσικήν· Ἡμῶν δὲ, ἔφασαν, εἰσὶν αἱ πόλεις, καὶ οἱ ἄνθρωποι, καὶ οἱ θάλαμοι, καὶ περιλαλοῦμεν τοῖς ἀνθρώποις, καὶ τὰ ἡμέτερα αὐτοῖς διηγούμεθα· ταῦτα δὴ ταῦτα τὰ ἀρχαῖα καὶ Ἀττικὰ, τὸν Πανδίονα, τὰς Ἀθήνας, τὸν Τηρέα, τὴν Θρᾴκην, τὴν ἀποδημίαν, τὸ κῆδος, τὴν ὕβριν, τὴν ἐκτομὴν τῆς γλώττης, τὰ γράμματα, καὶ ἐπὶ πᾶσι τὸν Ἴτυν, καὶ ὡς ἐγενόμεθα ἐξ ἀνθρώπων ὄρνιθες. Οἱ δὲ μόλις μὲν αὐτὰς ἠξίωσαν καὶ λόγου, τῆς ἀδολεσχίας μισήσαντες.

---

(1) Τούτῳ προσήκει τῷ μύθῳ ἃ φησιν ὁ παρ' Εὐριπίδῃ (Ἠλέκτρ. 78-81) αὐτουργός·

. . . . Ἐγὼ δ' ἅμ' ἡμέρᾳ
Βοῦς εἰς ἄρουραν εἰσβαλὼν, σπερῶ γύας.
Ἀργὸς γὰρ οὐδεὶς, θεοὺς ἔχων ἀνὰ ϛόμα,
Βίον δύναιτ' ἂν ξυλλέγειν ἄνευ πόνου.

Ἐπεὶ δὲ ἠξίωσαν· Ἀλλ' ἡμῶν μὲν ἕνεκεν, ὦ αὗται, κἂν εἰς τὴν ἐρημίαν ἀφίκοιτό τις, ὥςε ἀκοῦσαι τῆς μουσικῆς, ὅταν ἀνῶμεν τῷ ζεφύρῳ τὰς πτέρυγας ἐμπνεῖν ἡδύ τι καὶ ἐναρμόνιον. Ὥς' εἰ μὴ πολλὰ καὶ ἐν πολλοῖς ᾄδομεν, ἀλλ' αὐτὸ δὴ τοῦτο κάλλιςόν ἐςιν ἡμῶν, ὅτι μέτρῳ φιλοσοφοῦμεν τὸ μέλος, καὶ οὐκ ἀναμίγνυμεν θορύβοις τὴν μουσικήν. Ὑμᾶς δὲ καὶ εἰσοικιζομένας οἱ ἄνθρωποι δυσχεραίνουσι, καὶ ᾀδούσας ἀποςρέφονται, καὶ μάλα ἐν δίκῃ· αἵγε οὐδὲ ἐκταμεῖσαι τὴν γλῶτταν δύνασθε σιωπᾷν, ἀλλ' αὐταὶ τὴν ἀφωνίαν ὑμῶν ὀδυρόμεναι, καὶ τὸ ἐφ' ὑμῖν πάθος, ἔπειτα ἐςὲ λαλίςεραι, τίνος οὐχὶ τῶν εὐγλώττων καὶ μουσικῶν;

Σύνες ὅ, τι λέγω, φησὶν ὁ Πίνδαρος, κἂν εὕρῃς τὴν ἐμὴν ἀφωνίαν ἀμείνω τῆς σῆς εὐγλωττίας, παῦσαι καταφλυαρῶν ἡμῶν τῆς σιωπῆς, ἤ σοι παροιμίαν ἐρῶ, μάλιςα μὲν ἀληθῆ, μάλιςα δὲ σύντομον· ὅτι τότε ᾄσονται κύκνοι, ὅταν κολοιοὶ σιωπήσωσιν.

337. Ο ΔΥΟ ΠΗΡΑΣ ΕΞΗΜΜΕΝΟΣ (1).

Ἀνθρώπων ἕκαςος δύο πήρας φέρει, τὴν μὲν ἔμπροσθεν, τὴν δὲ ὄπισθεν· γέμει δὲ κακῶν ἑκατέρα. Ἀλλὰ ἡ μὲν ἔμπροσθεν τῶν ἀλλοτρίων, ἡ δὲ ὄπισθεν τῶν αὐτοῦ τοῦ φέροντος. Καὶ διὰ τοῦτο οἱ ἄνθρωποι τὰ μὲν ἐξ αὐτῶν κακὰ οὐχ ὁρῶσι, τὰ δὲ ἀλλότρια πάνυ ἀκριβῶς θεῶνται.

ΑΛΛΩΣ.

Δύο πήρας ἐξήμμεθα τοῦ τραχήλου, τῶν μὲν ἀλλοτρίων τὴν πρόσω, τῶν ἰδίων δὲ τὴν ὀπίσω. Καὶ διὰ τοῦτο τὰ μὲν ἀλλότρια βλέπομεν ἀεὶ, τῶν δὲ οἰκείων ἀθέατοι καθέςαμεν.

(1) Ἀποσπασμάτιον τούτῳ προσῆκον ἐκ τοῦ Σουΐδα (λεξ. Δύη), Τοὔνεκα τὴν ἰδίην οὔτις ὅπωπε δύην.

ΑΛΛΩΣ.

Αἴσωπος ἔφη, δύο πήρας ἕκαςον ἡμῶν ἐπιφέρειν, τὴν μὲν ὄπισθεν, τὴν δὲ ἔμπροσθεν· καὶ εἰς μὲν τὴν ἔμπροσθεν ἀποτιθέναι τὰ τῶν ἄλλων ἀνθρώπων ἁμαρτήματα, εἰς δὲ τὴν ὄπισθεν τὰ ἑαυτῶν.

338. ΟΝΟΣ ΠΑΡΑΚΥΨΑΣ.

Κεραμεύς τις ἔπλαττε πολλὰς ὄρνις ἐν τῷ ἐργαςηρίῳ. Ὄνος δὲ παριὼν, ἀκολουθοῦντος ἀμελῶς τοῦ ὀνηλάτου, παρακύψας διὰ τῆς θυρίδος, ἀνέτρεψε τὰς ὄρνιθας, καὶ τὰ ἐν τῷ ἐργαςηρίῳ συνέτριψε σκεύη. Ὁ τοίνυν κύριος τοῦ ἐργαςηρίου ἐπὶ κρίσιν ἤγαγε τὸν ὀνηλάτην. Ἐρωτώμενος δὲ ἐκεῖνος παρὰ τῶν ἀπαντώντων, τίνος κρίνοιτο, ἔλεγεν, Ὄνου παρακύψεως.

339. ΛΕΩΝ ΚΑΙ ΤΑΥΡΟΣ.

Λέων ποτὲ ταῦρον ὁρᾷ, καὶ τροφῆς μὲν ἐρᾷ, τὰς δὲ τῶν κεράτων δεδίττεται προσβολὰς, καὶ τὸ φάρμακον εὑρὼν, οὐ θεραπεύει τὸ πάθος. Νικᾷ μὲν αὐτὸν ὁ λιμὸς, καὶ τῷ ταύρῳ κελεύει συμπλέκεσθαι· ἀλλ' ἐκφοβεῖ τῶν κεράτων τὸ μέγεθος. Τέλος πείθεται τῷ λιμῷ, καὶ φιλίαν πλασάμενος, εἰς ἀπάτην τὸν ταῦρον ὑπέρχεται. Ὅπου γὰρ τὸ κακὸν πρόχειρον, καὶ τὸ ἀνδρεῖον πεφόβηται· κἂν ἴδῃ τὸ βίᾳ κρατεῖν οὐκ ἀκίνδυνον, τὸ λάθρα σοφίζεται. Ἐγὼ γοῦν, φησὶν, ἐπαινῶ σου τὸ καρτερὸν, ὑπεράγαμαι τὸ κάλλος, ὁποῖος μὲν εἶ τὴν κεφαλὴν, ὁποῖος δὲ τὴν μορφὴν, ὅσος δὲ τοὺς πόδας, ὅσος δὲ τὰς ὁπλάς· ἀλλ' ὅσον ἐπὶ τῆς κεφαλῆς φέρεις τὸ ἄχθος. Περίελε γοῦν οὕτω ματαίαν ἐπιπλοκήν· καί σοι καὶ κόσμος ἔςαι τῆς κεφαλῆς, καὶ βάρους

ἀπαλλαγὴ, καὶ πρὸς τὸ κρεῖττον μεταβολή. Τί δὲ καὶ δεῖ σοι κεράτων, εἰρήνης οὔσης πρὸς λέοντα; Πείθεται τούτοις ὁ ταῦρος, καὶ τὴν ἐκ τῶν ὅπλων ἰσχὺν ἀποβαλὼν, τῷ λέοντι λοιπὸν εὐχείρωτος ἦν, καὶ δεῖπνον ἀκίνδυνον.

Οὕτω τὸ πείθεσθαι τοῖς ἐχθροῖς μετὰ τῆς ἀπάτης φέρει καὶ κίνδυνον.

340. ΣΑΤΥΡΟΣ ΚΑΙ ΠΥΡ (1).

Τοῦ σατύρου τὸ πῦρ, ὡς πρῶτον ὤφθη, βουλομένου φιλῆσαι καὶ περιβαλεῖν, ὁ Προμηθεὺς [εἶπε],

Τράγος, γένειον ἄρα πενθήσεις σύ γε·
Καίει τὸν ἁψάμενον.

341. ΠΟΤΑΜΟΣ ΚΑΙ ΒΥΡΣΑ.

Ποταμὸς, δι' αὐτοῦ βύρσαν φερομένην ἰδὼν, ἠρώτησε τίς καλεῖται. Ἡ δὲ εἶπε, Ξηρά. Ἐπικαχλάσας δὲ τῷ ῥεύματι, εἶπεν, Ἄλλο τι ζήτει καλεῖσθαι· ἁπαλὴν γὰρ ἐγὼ ἤδη ταχὺ ποιήσω σε.

342. ΚΑΜΗΛΟΣ.

Διέβαινε ποταμὸν κάμηλος ὀξὺ ῥέοντα. Ἀφοδεύσασα δὲ, καὶ τὴν κόπρον εὐθὺς ἔμπροσθεν αὐτῆς ἰδοῦσα, διὰ τὸ ὀξὺ τοῦ ῥεύματος, εἶπέ τι τοιοῦτο· Τὰ ὄπισθέν μου ἔμπροσθέν μου νῦν ὁρῶ διερχόμενα.

Ὁ μῦθος ἁρμόζει πόλει, ἐν ᾗ [οἱ] ἔσχατοι καὶ ἄφρονες κρατοῦσιν ἀντὶ τῶν πρώτων καὶ φρονίμων.

---

(1) Ἐκ τοῦ Πλουτάρχου (Πῶς ἄν τις ὑπ' ἐχθρ. ὠφελ. § 2). Προσαρμόσαις δ' ἂν ἐπιμύθιον τοδί· « Ὅτι καὶ ὑπὸ τῶν χρησιμωτάτων » βλάπτοιντ' ἂν οἱ μὴ μαθόντες αὐτοῖς χρῆσθαι ».

343. ΓΥΝΗ ΚΑΙ ΓΕΩΡΓΟΣ.

Γυνή τις, προσφάτως τὸν ἑαυτῆς ἄνδρα θάψασα, καθ' ἡμέραν ἀπιοῦσα πρὸς τὸ μνημεῖον, ἐθρήνει. Ἀροτριῶν δέ τις, οὐ πόῤῥω τοῦ μνήματος, εἰς ἐπιθυμίαν ἧκε τῆς γυναικὸς, καὶ καταλιπὼν τοὺς βόας ἦλθε καὶ αὐτὸς πρὸς τὸ μνῆμα, καὶ καθίσας συνεθρήνει τῇ γυναικί. Τῆς δὲ, πυθομένης, τί δήποτε καὶ αὐτὸς οὕτως ὀδύρεται, Ὅτι κἀγὼ, φησὶν, εὐπρεπῆ γυναῖκα κατώρυξα, καὶ ἐπειδὰν κλαύσω, τῆς λύπης κουφίζομαι. Ἡ δὲ, Κἀμοὶ τοῦτ' αὐτὸ προσγίνεται. Κἀκεῖνος, Εἰ τοίνυν τοῖς αὐτοῖς περιπεπτώκαμεν πάθεσι, τί δή ποτε ἀλλήλοις μὴ σύνειμεν; ἐγώ τε γὰρ φιλήσω σε ὡς ἐκείνην, κἀμὲ σὺ πάλιν ὡς τὸν σαυτῆς ἄνδρα. Ταῦτα ἔπεισε τὴν γυναῖκα· καὶ δὴ συνῆλθον. Ἐν τούτῳ δὲ κλέπτης ἐλθὼν, καὶ τοὺς βόας λύσας ἀπήλασεν. Ὁ δὲ, ἐπανελθὼν καὶ τοὺς βόας μὴ εὑρηκὼς, κόπτεσθαί τε καὶ οἰμώζειν ἰσχυρῶς ἐνεστήσατο. Ἐλθοῦσα δὲ καὶ ἡ γυνὴ, καὶ ὀλοφυρόμενον εὑροῦσα, φησὶ, Πάλιν κλαίεις; Κἀκεῖνος, Νῦν, εἶπεν, ἐπ' ἀληθείας κλαίω.

344. ΑΝΘΡΩΠΟΣ ΚΑΙ ΤΕΤΤΙΞ.

Ἀνήρ τις, ἀκρίδας συλλέγων, καὶ ἀποκτιννὺς, εἷλε καὶ τέττιγα. Ἐπεὶ δὲ κἀκεῖνον ἠβούλετο κτεῖναι, φησὶν ὁ τέττιξ· Ἄνθρωπε, μή με μάτην ἀνέλῃς. Ἐγὼ γὰρ οὔτε στάχυν βλάπτω, οὔτ' ἄλλο τι τῶν ἁπάντων σε ἀδικῶ· τῇ κινήσει δὲ τῶν ἐν ἐμοὶ ὑμένων ἡδὺ φθέγγομαι, τέρπων τοὺς ὁδοιπόρους. Φωνῆς οὖν παρ' ἐμοὶ πλέον οὐδὲν εὑρήσεις. Κἀκεῖνος, ταῦτα ἀκούσας, ἀφῆκεν ἀπιέναι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

345. ΠΑΤΗΡ ΚΑΙ ΘΥΓΑΤΗΡ.

Ἀνήρ τις, τῆς οἰκείας ἐρασθεὶς θυγατρὸς, εἰς ἀγρὸν ἀπέστειλε τὴν γυναῖκα, μόνην δὲ τὴν θυγατέρα ἀπολαβὼν ἐβιάζετο. Ἡ δὲ, Πάτερ, εἶπεν, ἀνόσια πράττεις· εὐχόμην μέντοι ὑπὸ πολλῶν ἀνδρῶν αἰσχυνθῆναι, ἢ ὑπὸ σοῦ τοῦ γεννησαμένου.

346. ΑΓΡΟΙΚΟΣ ΚΑΙ ΟΝΑΡΙΑ.

Γεωργός τις ἐπ' ἀγροῦ γεγηρακὼς, ἐπεὶ μηδέ ποτε εἰσῆλθεν εἰς ἄστυ, παρεκάλει τοὺς οἰκείους τοῦτο θεάσασθαι. Οἱ δὲ, ζεύξαντες ὀνάρια, καὶ ἐπὶ τῆς ἀπήνης αὐτὸν ἀναβιβασάμενοι, μόνον ἐκέλευσαν ἐλαύνειν. Ὁδεύοντι δὲ, χειμῶνος καὶ θυέλλης τὸν ἀέρα καταλαβόντων, καὶ ζόφου γενομένου, τὰ ὀνάρια, τῆς ὁδοῦ πλανηθέντα, εἴς τινα κρημνὸν ἐξετόπισαν τὸν πρεσβύτην. Ὁ δὲ, μέλλων ἤδη κατακρημνίζεσθαι, Ὦ Ζεῦ, εἶπε, τί ποτέ σε ἠδίκησα, ὅτι οὕτω παρὰ λόγον ἀπόλλυμαι, καὶ ταῦτα οὔθ' ὑφ' ἵππων γενναίων, οὔθ' ἡμιόνων ἀγαθῶν, ἀλλ' ὀναρίων εὐτελεστάτων;

347. ΛΕΟΝΤΕΣ ΚΑΙ ΛΑΓΩΟΙ (1).

Δημηγορούντων τῶν δασυπόδων, καὶ τὸ ἴσον ἀξιούν-

(1) Ἐκ τοῦ Ἀριστοτέλους (Πολιτικ. Γ, 13) ὁ μῦθος. Ἀλλὰ παρ' ἐκείνῳ μὲν ἐλλιπῶς οὕτως ἐκτίθεται· «Λέγοιεν γὰρ ἂν ἴσως, ἅπερ » Ἀντισθένης ἔφη τοὺς λέοντας, δημηγορούντων τῶν δασυπόδων, » καὶ τὸ ἴσον ἀξιούντων πάντας ἔχειν »· ἀνεπληρώθη δὲ ὑφ' ἑτέρων. Παραπλήσιον δὲ τούτῳ, ὃ Λυσάνδρου φησὶ Πλούταρχος (Ἀποφθεγμ.) πρὸς ἄνδρα Μεγαρέα, ἐν κοινῷ συλλόγῳ παῤῥησίᾳ χρησάμενον πρὸς αὐτὸν, εἰπεῖν· «Οἱ λόγοι σου πόλεως δέονται ».

των πάντας ἔχειν, οἱ λέοντες ἔφασαν· Οἱ λόγοι ὑμῶν, ὦ δασύποδες, ὀνύχων τε καὶ ὀδόντων, οἵων ἡμεῖς ἔχομεν, δέονται.

348. ΔΟΡΚΑΣ, ΚΑΙ ΛΕΩΝ ΘΥΜΩΘΕΙΣ.

Λέοντα δορκὰς ὡς ἴδεν μεμηνότα,
Ὦ μοῖρα θηρῶν, εἶπεν, ἀθλιωτάτη.
Εἰ σωφρονῶν γὰρ δυσκάθεκτος εἶ λέων,
Πῶς νῦν μανεὶς οὐ μεστὰ δακρύων δράσεις;

Ὅτι ἐξουσίαν ἔχοντα οὐ δεῖ θυμοῦσθαι.

349. ΜΥΣ ΕΚΦΕΡΩΝ ΜΥΝ.

Μῦς ἐκφέρεν μῦν, ἔργον ὄντ' ἀσιτίας.
Οὓς χαλκέες βλέποντες, ἔστησαν γέλων.
Ὁ μῦς δ', ἔτι ζῶν, εἶπε μεστὸς δακρύων,
Ὡς οὐδὲ μῦν δύνασθε κἂν τρέφειν ἕνα.

Πρὸς τοὺς τὰ ἑαυτῶν παραπτώματα παραβλέποντας, τὰ δὲ τῶν ἑτέρων γελῶντας.

350. ΒΑΤΡΑΧΟΙ ΚΑΙ ΗΛΙΟΣ.

Γάμοις ἔχαιρον βάτραχοι τοῖς ἡλίου.
Καί τις πρὸς αὐτοὺς εἶπεν, Ὦ δειλὸν γένος·
Εἰ γὰρ μόνου τρέμοιμεν αὐγὰς ἡλίου,
Τίς, εἴγε τεκνώσειε, τοῦτον βαστάσει;

Πρὸς τοὺς ἐπὶ ἰδίᾳ βλάβῃ ἀγνωσίᾳ χαίροντας.

ΑΛΛΩΣ. (1).

Γάμοι τοῦ Ἡλίου θέρους ἐγίνοντο. Πάντα δὲ τὰ ζῶα

(1) Ἐκ τοῦ Τυρουίττου. Μνημονεύει δὲ καὶ Σουΐδας (λέξ. Παιάν,

ἔχαιρον ἐπὶ τούτῳ· ἠγάλλοντο δὲ καὶ βάτραχοι. Εἷς δὲ τούτων εἶπεν· Ὦ μῶροι, εἰς τί ἀγάλλεσθε; εἰ γὰρ μόνος ὢν ὁ Ἥλιος πᾶσαν ὕλην ἀποξηραίνει, εἰ γήμας ὅμοιον αὐτῷ γεννήσῃ, τί οὐ πάθωμεν κακόν;

351. ΣΤΡΥΘΟΚΑΜΗΛΟΣ.

ΠΑΣΙΝ πεφύκει θηρσὶ καὶ πτηνοῖς μάχη.
Ἥλω Λίβυσσα στρουθὸς, ἣ τούσδ' ἐπλάνα,
Εἶναι μὲν ὄρνις, ἐκ μέρους δὲ θηρίον,
Πτηνοῖς κάραν δεικνῦσα, τοῖς θηρσὶν πόδας.

Πρὸς τοὺς δυσὶ κυρίοις δουλεύοντας καὶ πλανῶντας ἀμφοτέρους.

352. ΙΠΠΟΤΗΣ ΚΑΙ ΑΓΡΟΙΚΟΣ.

ἨΤΕΙ λαβεῖν ἀγροῖκον λαγὼν ἱππότης.
Λαβὼν δὲ χερσὶ τοῦτον, ἠρώτα, Πόσου;
Καὶ πῶλον ἐξήλαυνεν. Ἀγροῖκος δ' ἔφη,
Μὴ σπεῦδε· σοὶ δώρημα τοῦτον προσφέρω.

Πρὸς τοὺς ἐξ ἀνάγκης παραιτουμένους τὰ ἴδια.

ΑΛΛΩΣ (1).

Ἀνήρ τις θηρευτὴς, λαγωὸν κατασχὼν, καὶ τοῦτον ἐπιφερόμενος, τῆς ὁδοιπορίας εἴχετο· καί τινι προσυπαντηθεὶς ἐφ' ἵππῳ ἀν-

---

καὶ λέξ. Αὐήνας), ἐξ ἀνωνύμου·

Ὁ δ' εἶπε κλαύσας, Φρύνος· Οὐχὶ παιᾶνος
Τοῦτ' ἐστὶν ἡμῖν, φροντίδος δὲ καὶ λύπης.
Εἰ γὰρ μόνος νῦν λιβάδα πᾶσαν αὐαίνει,
Τί μὴ πάθωμεν τῶν κακῶν, ὅταν γήμας
Ὅμοιον αὐτῷ παιδίον τι γεννήσῃ;

(1) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. μθ'.

δρί, ἐζητεῖτο παρ' αὐτοῦ τὸν λαγωὸν, προσχήματι ἀπεμπολήσεως. Λαβὼν τοίνυν ὁ ἱππεὺς τὸν λαγωὸν ἀπὸ τοῦ θηρευτοῦ, εὐθὺς δρομαῖος ᾤχετο. Ὁ δὲ θηρευτὴς κατόπιν αὐτοῦ τρέχων φθάσαι αὐτὸν δῆθεν ἐδόκει. Τοῦ δὲ ἱππέως ἐκ πολλοῦ τοῦ διαστήματος μακρὰν ἐκείνου ἀπέχοντος, ὁ θηρευτὴς καὶ ἄκων φωνεῖ πρὸς αὐτὸν, καί φησιν· Ἄπιθι λοιπόν· ἐγὼ γὰρ ἤδη τὸν λαγωὸν ἐδωρησάμην σοι.

Ὁ μῦθος δηλοῖ, ὡς πολλοὶ ἀκουσίως τὰ ἴδια ἀφαιρούμενοι προσποιοῦνται δῆθεν ἑκοντὶ ταῦτα δεδωκέναι.

353. ΚΥΠΡΙΣ ΚΑΙ ΔΟΥΛΗ (1).

Ἀνδρὸς πόθον μετῆξεν εἰς δούλην Κύπρις.
Ἣδ' αὖ γ' ἐτίμα τὴν θεὰν καθ' ἡμέραν,
Ἕως καθ' ὕπνους φησὶν, Μὴ τίμα σύ με·
Τὸν ἄνδρα πημαίνω γὰρ, οὐ ποθῶ σέ γε.

Ὀφείλομεν τὸ αἴτιον στοχάζεσθαι.

354. ΛΑΓΩΟΣ ΚΑΙ ΚΥΩΝ.

Ὁ μυθογράφος Αἴσωπος λαγὼν καὶ κύνα φέρει,
Ἀλλήλοις παίζειν θέλοντας, φιλίαν συνθεμένους.
Ἐπεὶ δ' ἀσύμβατον ἐστὶν ὡς πρὸς φιλίας τύπον
Κυνῶν γονὴ θηρατικῶν καὶ λαγωῶν τὸ γένος,
Ποιεῖ τὸν κύνα τῷ δοκεῖν τῷ λαγωῷ συμπαίζειν,
Δάκνοντα τοῦτον συνεχῶς ἐν φιλημάτων τρόποις.

---

(1) Ἀποσπασμάτιον Βαβρίου ἐκ τοῦ Σουΐδα (λέξ. Ἧρα)· Αἰσχρᾶς τινος ἦρα καὶ κακοτρόπου δούλης.

ΑΛΛΩΣ (1).

Κύων λαγωοῦ κατατρέχων, καὶ τοῦτον καταλαβὼν, ποτὲ μὲν αὐτὸν ἔδακνεν, ποτὲ δὲ τὸ ἐντεῦθεν ἀποῤῥέον αὐτοῦ αἷμα ἀνέλειχεν. Ὁ δὲ λαγωὸς ἐδόκει τὸν κύνα καταφιλεῖν μᾶλλον αὐτόν· καὶ ὑπολαβὼν εἶπε πρὸς αὐτὸν, Ἢ ὡς προσφιλὴς περιπτύσσου με, ἢ ὡς ἐχθρὸς καὶ πολέμιος κατάδακνε.

Ὁ μῦθος δηλοῖ, ὡς καὶ ἄνθρωποί τινες ἔξωθεν μὲν φιλίαν ὑποκρίνονται, ἔσωθεν δὲ κακίας καὶ ἀπηνείας πεπλήρωνται.

ΑΛΛΩΣ (2).

Κύων λαγωὸν διώξας ἐκράτησε· καὶ ποτὲ μὲν ἔδακνε, ποτὲ δὲ σαίνων προσέχαιρε καὶ ἐφίλει. Καὶ ὁ λαγωὸς εἶπεν· Εἰ μὲν φίλος εἶ, τί δάκνεις; εἰ δὲ ἐχθρὸς, τί σαίνεις οὐρήν;

355. ΠΙΘΗΚΟΙ ΟΡΧΗΣΤΑΙ.

Λέγεται βασιλεύς τις Αἰγύπτιος πιθήκους ποτὲ πυῤῥιχίζειν διδάξαι· καὶ τὰ θηρία (μιμηλότατα δέ ἐστι τῶν ἀνθρωπίνων) ἐκμαθεῖν τάχιστα, καὶ ὀρχεῖσθαι, ἁλουργίδας ἀμπεχόμενα καὶ προσωπεῖα περικείμενα· καὶ μέχρι πολλοῦ εὐδοκιμεῖν τὴν θέαν, ἄχρι δή τις θεατὴς ἀστεῖος, κάρυα ὑπὸ κόλπον ἔχων, ἀφῆκεν ἐς τὸ μέσον. Οἱ δὲ πίθηκοι, ἰδόντες, καὶ ἐκλαθόμενοι τῆς ὀρχήσεως, τοῦθ' ὅπερ ἦσαν, πίθηκοι ἐγένοντο ἀντὶ πυῤῥιχιστῶν, καὶ ξυνέτριβον τὰ προσωπεῖα, καὶ τὴν ἐσθῆτα κατεῤῥήγνυον, καὶ ἐμάχοντο περὶ τῆς ὀπώρας πρὸς ἀλλήλους· τὸ δὲ σύνταγμα τῆς πυῤῥίχης διελέλυτο, καὶ κατεγελᾶτο ὑπὸ τοῦ θεάτρου.

---

(1) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. ν'.

(2) Ἐκ τῆς τοῦ Τυρουίττου συλλογῆς.

ΑΛΛΩΣ.

Τίς τῶν ἐν δόξῃ πίθηκον λαμπραῖς ςολαῖς ἀνθρώπων
Κοσμῶν, ἐποίει τοὺς πολλοὺς ὡς ἄνθρωπον λανθάνειν.
Τίς δὲ ἀςεῖος θεατὴς, κάρυα ῥίψας μέσον,
Πίθηκον καὶ οὐκ ἄνθρωπον ἐξήλεγξεν ἐκεῖνον,
Τὰ κάρυα συλλέγοντα τῷ σχίσαι τοὺς χιτῶνας.

356. ΔΡΥΕΣ (1).

Αἱ δρῦες κατεμέμφοντο τὸν Δία· ὅτι, Ἐπεὶ κοπτόμεθα, τί ἡμᾶς μετὰ τῶν λοιπῶν φυτῶν ἐποίησας; Ὁ δὲ Ζεὺς εἶπεν· Ὑμεῖς αὐταὶ αἴτιοι τῆς κοπῆς· εἰ μὴ γὰρ ὑμεῖς τὰ ςελλίδια ἐγεννᾶτε, οὐκ ἂν πέλεκυς ὑμᾶς ἐξέκοπτεν.

357. ΤΑΩΣ ΚΑΙ ΓΕΡΑΝΟΣ (2).

Ἤριζεν εὐφυεῖ γεράνῳ ταὼς χρυσόπτερος, σκώπτουσα τὴν

---

(1) Ἐκ τοῦ Τυρουΐττου. Εἰς τοῦτον δὲ τὸν μῦθον ἀναφέρεται τὸ παρὰ τῷ Σουΐδᾳ (λέξ. Στελεὸν) ἀποσπασμάτιον τοῦ Βαβρίου τοδί·

Εἰ μὴ γὰρ ὑμεῖς ςελεὰ πάντα τίκτοιτε,
Οὐκ ἂν γεωργὸς πέλεκυν ἐν δόμοις εἶχεν.

Καὶ αὖθις (λέξ. Στειλειὸς) τουτὶ τὸ ἀνώνυμον·

Τί γὰρ σθένος ἔσκε σιδήρῳ,
Ὑμείων εἰ μὴ οἱ ἐνὶ ςειλειὸν ἀρήρει;

(2) Ἐκ τοῦ Τυρουΐττου. Τοῦδε τοῦ Μύθου ἀρχὴν ἔμμετρον εἶναί φασι τοὺς παρὰ τῷ Σουΐδᾳ (λέξ. Γέρανος) δύο τούτους ςίχους τοῦ Βαβρίου, οὑτωσὶ διωρθωμένους,

Λίβυσσα γέρανος, ἠδὲ ταὼς εὐπήληξ,
Χλωρὴν ἀεὶ βόσκοντο χείματος ποίην.

χροιὰν τῆς γεράνου. Ἡ δὲ ἔφη· Ἀλλ' ἐγὼ ἄϛρων ἐγγὺς ἵπταμαι, καὶ φωνῶ· σὺ δὲ, ὡς ἀλέκτωρ, χαμαὶ πτερύσσῃ, οὐδ' ἄνω φαίνῃ.

358. ΛΕΩΝ, ΑΛΩΠΗΞ, ΚΑΙ ΕΛΑΦΟΣ (1).

Λέων νοσήσας ἔκειτο ἐν φάραγγι. Τῇ προσφιλεῖ δὲ Ἀλώπεκι, ᾗ προσωμίλει, εἶπεν· Εἰ θέλεις ὑγιάναι με καὶ ζῆν, τὴν Ἔλαφον τὴν μεγίϛην, τὴν εἰς τὸν δρυμὸν οἰκοῦσαν, τοῖς γλυκέσι σου λόγοις ἐξαπατήσασα, ἄγε εἰς ἐμὰς χεῖρας· ἐπιθυμῶ γὰρ αὐτῆς ἐγκάτων καὶ καρδίας. Ἡ δὲ Ἀλώπηξ [ἀπιοῦσα πρὸς τὴν ἔλαφον] καὶ χαίρειν εἰποῦσα, ἔφη· Ἀγαθά σοι ἦλθον μηνῦσαι· οἶδας ὡς ὁ βασιλεὺς ἡμῶν Λέων γείτων ἐϛί σοι· νοσεῖ δὲ καὶ ἐϛὶν ἐγγὺς τοῦ θνήσκειν. Ἐβουλεύετο οὖν ποῖον τῶν θηρίων μετ' αὐτὸν βασιλεύσει. Ἔφη δὲ, ὅτι Σῦς μέν ἐϛιν ἀγνώμων· Ἄρκος δὲ νωθρός· Πάρδαλις δὲ θυμώδης· Τίγρις ἀλαζών (2). Ἡ Ἔλαφος ἀξιωτάτη ἐϛὶν εἰς βασιλείαν, ὅτι ὑψηλή ἐϛι τὸ εἶδος, πολλὰ δὲ ἔτη ζῇ· τὸ κέρας αὐτῆς ὄφεσι φοβερόν. Καὶ τί σοι τὰ πολλὰ λέγω; ἐκυρώθης βασιλεύειν. Τί μοι ἔϛαι, πρώτῃ σοι εἰπούσῃ; Ἀλλ' εὖξαί μοι σπευδούσῃ· χρήζει γάρ με σύμβουλον

---

(1) Ἐκ τοῦ Τυρουΐττου. Εἰς τοῦτον ἀναφέρουσι τὸν μῦθον τὰ παρὰ τῷ Σουΐδᾳ ἀνώνυμα ἀποσπασμάτια (λέξ. Ἠπεδανὸς),

Ἐγγύθι δ' ἔϛη ἠπεδανοῖο λέοντος. . . . .

καὶ (λέξ. Πορφύρει),

Καί οἱ πορφύροντι διακριδὸν ἀμφὶς ἔκαϛα.

(2) Τούτοις προσήκει τὰ παρὰ τῷ Σουΐδᾳ (λέξ. Ἄδεν, καὶ λέξ. Πολλὸν) ἀνώνυμα ἀποσπασμάτια·

Οὐδέ οἱ οὐδ' αἴθων ἄδε πάρδαλις, οὕνεκα θυμοῦ
Ἐμπλείη· τὸ δὲ πολλὸν ἀγήνορα μέμφετο τίγριν.

ἐν πᾶσιν. Εἰ δὲ ἐμοῦ τῆς γραὸς ἀκούσῃς, συμβουλεύω καὶ σὲ ἐλθεῖν, καὶ προσμένειν τελευτῶντι αὐτῷ. Οὕτως εἶπεν ἡ Ἀλώπηξ. Τῆς δὲ ὁ νοῦς ἐτυφώθη (1) τοῖς λόγοις· καὶ ἦλθεν εἰς τὸ σπήλαιον μὴ γιγνώσκουσα τὸ μέλλον. Ὁ Λέων δ', ἐφορμήσας αὐτῇ ἐν σπουδῇ, τὰ ὦτα μονον τοῖς ὄνυξιν ἐσπάραξεν. Ἡ δὲ ταχέως ἔσπευδεν ἐν ταῖς ὕλαις. Καὶ ἡ μὲν Ἀλώπηξ τὰς χεῖρας ἐκρότησεν, ὅτι εἰς μάτην ἐκοπίασεν. Ὁ δὲ Λέων, μέγα βρυχώμενος, ἐστέναξε· λιμὸς γὰρ αὐτὸν εἶχε καὶ λύπη· καὶ ἱκέτευε τὴν Ἀλώπεκα ἐκ δευτέρου τι ποιῆσαι, καὶ δόλῳ πάλιν ταύτην ἀγαγεῖν. Ἡ δὲ εἶπεν, Χαλεπὸν καὶ δύσκολον ἐπιτάττεις ἐμοὶ πρᾶγμα· ἀλλ' ὅμως ὑπουργήσω σοι. Καὶ δὴ ὡς ἰχνευτὴς κύων ἐπηκολούθει, πλέκουσα πανουργίας· ποιμένας δὲ ἐπηρώτα, εἰ εἶδον Ἔλαφον ἡμαγμένην. Οἱ δὲ ἔδειξαν ἐν τῇ ὕλῃ. Εὗρε δὲ αὐτὴν καταψυχομένην, καὶ ἔστη ἀναιδῶς. Ἡ δὲ Ἔλαφος, χολωθεῖσα, καὶ φρίξασα τὴν χαίτην, εἶπεν· Ὦ κάθαρμα, ἀλλὰ οὐκέτι χειρώσῃ με· εἰ δὲ καὶ πλησιάσεις μοι, οὐ ζήσεις ἔτι. Ἄλλους ἀλωπέκιζε τοὺς ἀπείρους· ἄλλους ποίει βασιλεῖς καὶ ἐρέθιζε. Ἡ δὲ εἶπεν· Οὕτως ἄνανδρος εἶ καὶ δειλή; οὕτως ἡμᾶς τοὺς φίλους ὑποπτεύεις; Ὁ μὲν Λέων, τοῦ ὠτὸς κρατήσας, ἤμελλε συμβουλεύειν, καὶ ἐντολάς σοι δοῦναι περὶ τῆς τηλικαύτης βασιλείας, ὡς ἀποθνήσκων. Σὺ δὲ οὐδὲ κνῆσμα χειρὸς ἀῤῥώστου ὑπέστης. Καὶ νῦν ὑπὲρ σὲ πλεῖον ἐκεῖνος θυμοῦται· καὶ βασιλέα τὸν Λύκον θέλει ποιῆσαι· οἴμοι πονηρὸν δεσπότην. Ἀλλ' ἐλθὲ, καὶ μηδὲν πτοηθῇς· καὶ γενοῦ ὡς πρόβατον. Ὄμνυμι γάρ σοι εἰς τὰ φύλλα πάντα,

(1) Σουΐδας (λέξ. Ἀχαιΐνη), ἐκ τοῦ Βαβρίου,

Τοιαῦτα κωτίλλουσα τὴν ἀχαιΐνην,
Ἔπεισεν ἐλθεῖν δὶς τὸν αὐτὸν εἰς ᾅδην·

καὶ (λέξ. Φηλοῦν), ἐξ ἀνωνύμου,

Κέρδεσι φηλωθεῖσα θοὴ κεμάς.

καὶ πηγὰς, μηδὲν κακὸν παθεῖν παρὰ τοῦ Λέοντος· ἐγὼ δὲ μόνη σοι δουλεύσω. Οὕτως ἀπατήσασα τὴν δειλαίαν ἔπεισε δεύτερον ἐλθεῖν. Ἐπεὶ δὲ εἰς τὸ σπήλαιον εἰσῆλθεν, ὁ μὲν Λέων δεῖπνον εἶχε, πάντα τὰ ὀςᾶ καὶ μυελοὺς καὶ ἔγκατα καταπίνων (1). Ἡ δὲ Ἀλώπηξ εἱςήκει ὁρῶσα· καρδίαν δὲ ἐκπεσοῦσαν ἁρπάζει λαθραίως (2), τοῦ κόπου κέρδος ταύτην φαγοῦσα. Ὁ δὲ Λέων, ἅπαντα ἐρευνήσας, μόνην καρδίαν ἐπεζήτει. Ἀλώπηξ δὲ μηκόθεν ςαθεῖσα ἔφη· Αὕτη ἀληθῶς καρδίαν οὐκ εἶχε· μὴ ἔτι ζήτει. Ὁποίαν γὰρ καρδίαν αὕτη εἶχεν, ἥτις δὶς εἰς οἶκον καὶ χεῖρας λέοντος εἰσῆλθεν;

ΑΛΛΩΣ (3).

ΛΕΩΝ ΑΛΩΠΗΞ ΚΑΙ ΟΝΟΣ.

Ὤκει ποτὲ Λέων ἔν τινι τόπῳ. Ἦν δὲ μετ' αὐτοῦ καὶ Ἀλώπηξ τρεφομένη ἐκ τῶν αὐτοῦ περισσευμάτων. Ψωριάσας οὖν ὁ Λέων ἠδυνάτησε, καὶ τὰ πρὸς θήραν ἠτόνησεν. Ἡ δὲ Ἀλώπηξ ἔφη αὐτῷ· Τί, ὅτι ὁρῶ σε ἐν ἀδυναμίᾳ καὶ ταλαιπωρίᾳ πολλῇ; Ὁ δὲ Λέων ἔφη· Ἀπὸ τῆς κατεχούσης με ταύτης ἀσθενείας, ἣν ὁρᾷς, ἄλλως ἰαθῆναί με ἀδύνατον, εἰ μὴ δι' ὀνείου καρδίας καὶ ὤτων τῶν αὐτοῦ. Ἡ δὲ Ἀλώπηξ ἔφη. Εὔκολόν μοι ἐςὶ

---

(1) Σουΐδας (λέξ. Πανθοίνην), ἐκ τοῦ Βαβρίου,

Λέων μὲν αὐτὸς εἶχε δαῖτα πανθοίνην,
Ἔγκατα λαφύσσων, μυελὸν ὀςέων πίνων,
Καὶ σπλάγχνα δάπτων. . . . .

(2) Σουΐδας (λέξ. Νεβρὸς), ἐκ τοῦ Βαβρίου,

Πεινῶσα κερδῶ· καρδίην δὲ νεβρείην
Λάπτει πεσοῦσαν, ἁρπάσασα λαθραίως.

(3) Ἐκ τοῦ Στεφανίτου καὶ Ἰχνηλάτου, σελ. 326.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

τοῦτο ποιῆσαι. Καὶ γὰρ πλησίον ἡμῶν ἐςι πηγὴ, ἐν ᾗ κναφεὺς σὺν τῷ Ὄνῳ αὐτοῦ συχνῶς ἐπιφοιτᾷ. Ἀπελθοῦσα κομίσω σοι τοῦτον. Ὁ δὲ Λέων, Εἰ τοῦτο, φησὶ, ποιήσεις, χαριεῖ μοι τὰ μέγιςα. Πορευθεῖσα οὖν ἡ Ἀλώπηξ πρὸς τὸν Ὄνον ἔφη· Ὁρῶ σε ςυγνὸν καὶ ἠπορημένον. Καὶ ὁ Ὄνος· Τῆς τοῦ δεσπότου μου κακίας αἴτιον τοῦτο φησί. Δυσβαςάκτοις γάρ με πιέζει φορτίοις, καὶ ὀλιγοτροφεῖ με, καὶ δεδεμένον με ὅλην κατέχει τὴν ἡμέραν. Ἡ δὲ Ἀλώπηξ, Καὶ ὑπομένεις, ἔφη σὺ ταῦτα πάντα; Ὁ δὲ Ὄνος εἶπεν· Ὅπου ἂν ἀπέλθω, καὶ ἄλλος ἄνθρωπος λαμβάνῃ με, ὁμοίως βασανίσει. Καὶ ἡ Ἀλώπηξ, Καὶ λοιπὸν ἐλθὲ μετ' ἐμοῦ. Οἶδα γὰρ ἐγὼ τόπον χλοηφόρον καὶ ὑδατώδη. Ἔςι δὲ καὶ ἄλλη ἐκεῖ Ὄνος δεδεμένη, καὶ ἔσῃ ἄφοβος, ὡς ἐμοὶ δοκεῖ, μετ' αὐτῆς. Ἐκεῖ γὰρ οὐδέποτε πλησιάζει ἄνθρωπος. Ταῦτα ἀκούσας ὁ Ὄνος, ἠκολούθησεν αὐτῇ μέχρι τοῦ Λέοντος. Ἐγγίσας οὖν αὐτὸς πρὸς [τὸν] Λέοντα, ἐπεπήδησεν ὁ Λέων κατ' αὐτοῦ· διὰ δὲ ἀσθένειαν ἀπέδρασεν αὐτὸν ὁ Ὄνος. Ταῦτα ἰδοῦσα ἡ Ἀλώπηξ, ἔφη πρὸς τὸν Λέοντα· Διὰ τί ἐποίησας οὕτως; Εἰ ἑκουσίως τοῦτο πεποίηκας, τί, ὅτι κόπους παρέχεις μοι; Εἰ δ' ἀκουσίως, φεῦ ἐμοὶ, ζωῇ τε τῇ ἐμῇ. Ὁ δὲ Λέων, αἰδούμενος τὴν ἑαυτοῦ δηλῶσαι ἀσθένειαν, εἶπεν· Ἄγαγέ μοι τοῦτον ἐκ δευτέρου, καὶ εἴπω σοι, διὰ ποίαν αἰτίαν ἐγὼ κατέλιπον αὐτόν. Ἡ δὲ Ἀλώπηξ, πάλιν ςραφεῖσα πρὸς τὸν Ὄνον, ἔφη αὐτῷ· Διατὶ πέφευγας τὴν Ὄνον; Ἐκείνη γὰρ ἀπὸ τῆς χαρᾶς περιπλεχθῆναί σοι ἤθελε. Σὺ δὲ ἀπέδρασας αὐτήν. Ὁ δὲ Ὄνος, μὴ εἰδὼς ποτε Λέοντα, ἐπίςευσε τῇ Ἀλώπεκι, καὶ ὑπέςρεψε μετ' αὐτῆς πρὸς αὐτὸν, καὶ ἤγγισεν αὐτῷ. Ἐκπηδήσας δὲ ὁ Λέων κατ' αὐτοῦ, ἀπέκτεινεν αὐτόν. Εἶτα λέγει πρὸς τὴν Ἀλώπεκα, Πρόσεχε τούτῳ, ἕως οὗ ἀπελθὼν πρὸς τὴν πηγὴν νίψωμαι. Ἐξελθόντος οὖν τοῦ Λέοντος, ἡ Ἀλώπηξ κατέφαγε τοῦ ὄνου τὴν καρδίαν, καὶ τὰ ὦτα. Στραφεὶς δὲ ἐκεῖνος ἐκ τῆς πηγῆς ἐζήτει ταῦτα παρὰ τῆς Ἀλώπεκος. Ἡ

δὲ, Εἰ, φησὶν, ὁ Ὄνος καρδίαν καὶ ὦτα τοῦ ἀκούειν εἶχεν, οὐκ ἂν ἐκ δευτέρου ἐςρέφετο πρὸς σὲ, ἰδὼν τὴν πρώτην ἀνάγκην, ὁπότε ἀπὸ σοῦ ἀπέδρασε.

359. ΛΥΚΟΙ ΚΑΙ ΚΥΝΕΣ (1).

Λύκοις καὶ κυσὶν ἦν ποτε ἔχθρα· κύων δὲ Ἕλλην ᾑρέθη ςρατηγὸς κυσίν. Οὗτος πρὸς τὴν μάχην ἐβράδυνεν. Οἱ δὲ λύκοι ἠπείλουν σφοδρῶς. Ὁ δὲ εἶπεν· Οἴδατε τίνος χάριν βραδύνω; πρέπον ἐςὶν ἀεὶ προβουλεύεσθαι. Ὑμῶν γὰρ τὸ γένος, καὶ ἡ χρόα πάντων ἕν ἐςιν· οἱ ἡμέτεροι δὲ ἐκ πολλῶν τρόπων εἰσί καὶ τοῖς τόποις καυχῶνται. Ἀλλὰ καὶ ἡ χροιὰ ἁπάντων οὐκ ἔςι μία, καὶ ἴση· ἀλλ' οἱ μὲν μέλανες, οἱ δὲ πυῤῥοὶ, οἱ δὲ λευκοὶ, οἱ δὲ τεφρώδεις. Καὶ πῶς ἂν δυνηθείην εἰς πόλεμον ἄρχειν τῶν ἀσυμφώνων καὶ μὴ ὅμοια πάντα ἐχόντων;

360. ΕΛΠΙΣ ΕΝ ΑΝΘΡΩΠΟΙΣ (2).

Ζεὺς ἐν πίθῳ τἀγαθὰ πάντα συγκλείσας ἀφῆκε παρὰ ἀνθρώπῳ τινί· ὁ δὲ λίχνος ἄνθρωπος εἰδέναι θέλων τί ἐςὶν ἐν αὐτῷ, τὸ πῶμα ἐκίνησε· πάντα δὲ ἐπετάσθησαν πρὸς τοὺς θεούς.

ΑΛΛΩΣ (3).

Ζεὺς ἐν πίθῳ τὰ χρηςὰ πάντα συλλέξας,
Ἔθηκεν αὐτὸν πωμάσας παρ' ἀνθρώπῳ.
Ὁ δ' ἀκρατὴς ἄνθρωπος, εἰδέναι σπεύδων
Τί ποτ' ἦν ἐν αὐτῷ, καὶ τὸ πῶμα κινήσας,

(1) Ἐκ τῆς τοῦ Τυρουΐττου συλλογῆς.

(2) Ἐκ τοῦ αὐτοῦ.

(3) Ἐκ τοῦ αὐτοῦ.

Διῆκ' ἀπελθεῖν αὐτὰ πρὸς θεῶν οἴκους,
Κἀκεῖ πέτεσθαι, τῆς τε γῆς ἄνω φεύγειν.
Μόνη δ' ἔμεινεν ἐλπὶς, ἣν κατεῖληφε
Τεθὲν τὸ πῶμα. Τοιγὰρ ἐλπὶς ἀνθρώποις
Μόνη σύνεςι, τῶν πεφευγότων ἡμᾶς
Ἀγαθῶν ἕκαςον ἐγγυωμένη δώσειν.

361. ΘΕΩΝ ΓΑΜΟΙ (1).

Θεοὶ πάντες ἔγημαν ἣν ἕκαςος εἴληφεν ἐν κλήρῳ. Πόλεμος παρῆν ἐσχάτῳ κλήρῳ. Ὕβριν δὲ μόνην κατέλαβε, [καὶ] ταύτης περισσῶς ἐρασθεὶς ἔγημεν. Ἐπακολουθεῖ δὲ αὐτῇ πανταχοῦ βαδιζούσῃ.

362. ΣΤΡΑΤΙΩΤΗΣ ΚΑΙ ΙΠΠΟΣ (2).

Ἵππον τὸν ἑαυτοῦ ςρατιώτης, ἕως μὲν καιρὸς τοῦ πολέμου ἦν, ἐκρίθιζεν, ἔχων συνεργὸν ἐν ταῖς ἀνάγκαις· ὅτε δὲ ὁ πόλεμος κατέπαυσεν, εἰς δουλείας τινὰς καὶ φόρτους βαρεῖς ὁ ἵππος ὑπούργει, ἀχύρῳ μόνῳ τρεφόμενος. Ὡς δὲ πάλιν πόλεμος ἠκούσθη, καὶ ἡ σάλπιγξ ἐφώνει, τὸν ἵππον χαλινώσας ὁ δεσπότης, καὶ αὐτὸς καθοπλισθεὶς, ἐπέβη. Ὁ δὲ συνεχῶς κατέπιπτε μηδὲν ἰσχύων. Ἔφη δὲ τῷ δεσπότῃ· Ἄπελθε μετὰ τῶν πεζῶν τῶν ὁπλιτῶν ἄρτι· σὺ γὰρ ἀφ' ἵππου εἰς ὄνον με μετεποίησας, καὶ πῶς πάλιν ἐξ ὄνου ἵππον θέλεις ἔχειν;

---

(1) Ἐκ τοῦ Τυρουΐττου.
(2) Ἐκ τοῦ αὐτοῦ.

363. ΒΑΣΙΛΕΙΑ ΛΕΟΝΤΟΣ (1).

Λέων τις ἐβασίλευεν οὐχὶ θυμώδης, οὐδὲ ὠμὸς, οὐδὲ βίαιος, ἀλλὰ πρᾶος καὶ δίκαιος, ὥσπερ ἄνθρωπος. Ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας συναθροισμὸς ἐγένετο πάντων τῶν ζώων δοῦναι δίκας καὶ λαβεῖν πρὸς ἄλληλα· ὁ λύκος μὲν προβάτῳ, πάρδαλις δὲ αἰγάγρῳ, ἐλάφῳ δὲ τίγρις, κύων δὲ λαγωῷ. Ὁ πτὼξ δὲ ἔφη, Ηὐχόμην ἰδεῖν τὴν ἡμέραν ταύτην, ἵνα τοῖς βιαίοις φοβερὰ τὰ εὐτελῆ φανῶσιν.

364. Ο ΘΕΟΥΣ ΜΕΜΦΟΜΕΝΟΣ (2).

Ναῦν ποτε μετὰ τῶν ἀνδρῶν βυθισθεῖσαν ἰδών τις, ἀδίκως ἔλεγε τοὺς θεοὺς κρίνειν· Δι' ἕνα γὰρ ἀσεβῆ συναπώλοντο καὶ ἀναίτιοι. Ταῦτα αὐτοῦ λέγοντος, μυρμήκων πολλῶν ὄντων ἐν τῷ τόπῳ, ἐν ᾧ ἔτυχεν ἱςάμενος, συνέβη ὑφ' ἑνὸς δηχθῆναι τοῦτον. Ὁ δὲ, ὑφ' ἑνὸς δηχθεὶς, συνεπάτησε τοὺς πάντας. Ἑρμῆς δὲ, ἐπιςὰς αὐτῷ, καὶ τῇ ῥάβδῳ παίων, εἶπεν· Εἶτα οὐκ ἀνέχῃ σὺ τοὺς θεοὺς δικαςὰς εἶναι, οἷος εἶ σὺ τῶν μυρμήκων;

365. ΟΔΟΙΠΟΡΟΣ ΚΑΙ ΑΛΗΘΕΙΑ (3).

Ὁδοιπορῶν τις ἐν ἐρήμῳ, εὗρε γυναῖκα μόνην κατηφῆ ἑςῶσαν· καὶ φησὶν αὐτῇ, Τίς εἶ; Ἡ δὲ ἔφη, Ἀλήθεια. Καὶ διὰ ποίαν αἰτίαν τὴν πόλιν ἀφεῖσα τὴν ἐρημίαν οἰκεῖς; Ἡ δὲ εἶπεν, Ὅτι τοῖς πάλαι καιροῖς παρ' ὀλίγοις ἦν τὸ ψεῦδος· νῦν δὲ εἰς πάντας ἀνθρώπους ἐςὶν, ἐάν τι ἀκούειν καὶ λέγειν θέλῃς.

---

(1) Ἐκ τοῦ Τυρουίττου.

(2) Ἐκ τοῦ αὐτοῦ.

(3) Ἐκ τοῦ αὐτοῦ.

366. ΖΕΥΣ ΚΡΙΤΗΣ (1).

Ο Ζεὺς τὰς τῶν ἀνθρώπων ἁμαρτίας ἐν ὀςράκοις τὸν Ἑρμῆν ὥρισε γράφειν, καὶ εἰς κιβωτὸν ἀποτιθέναι πλησίον αὐτοῦ, ὅπως ἑκάςου τὰς δίκας ἀναπράσσῃ. Συγκεχυμένων δὲ τῶν ὀςράκων ἐπ' ἀλλήλοις, τὸ μὲν βράδιον, τὸ δὲ τάχιον, ἐμπίπτει εἰς τὰς τοῦ Διὸς χεῖρας, εἴποτε καλῶς κρίνοιτο.

367. ΠΙΘΗΚΟΙ ΠΟΛΙΝ ΟΙΚΙΖΟΝΤΕΣ (2).

Πίθηκοι συνελθόντες ἐβουλεύοντο περὶ τοῦ χρῆναι πόλιν οἰκίζειν. Καὶ ἐπειδὴ ἔδοξεν αὐτοῖς, ἤμελλον ἅπτεσθαι τοῦ ἔργου. Γέρων οὖν πίθηκος ἐπέσχεν αὐτοὺς εἰπὼν, ὅτι ῥᾷον ἁλώσονται περιβόλων ἐντὸς ἀποληφθέντες.

368. ΛΕΩΝ ΚΑΙ ΤΑΥΡΟΣ (3).

Λέων ποτὲ ταῦρον ὁρᾷ. Καὶ τροφῆς μὲν ἐρᾷ, τὰς δὲ τῶν κεράτων δεδίττεται προσβολάς. Καὶ τὸ φάρμακον εὑρὼν, οὐ θεραπεύει τὸ πάθος. Νικᾷ μὲν αὐτὸν ὁ λιμὸς, καὶ τῷ ταύρῳ κελεύει συμπλέκεσθαι· ἀλλ' ἐκφοβεῖ τῶν κεράτων τὸ μέγεθος. Τέλος, πείθεται τῷ λιμῷ, καὶ φιλίαν πλασάμενος, εἰς ἀπάτην τὸν ταῦρον ὑπέρχεται· ὅπου γὰρ τὸ κακὸν πρόχειρον, καὶ τὸ ἀνδρεῖον πεφόβηται· κἂν ἴδῃ τὸ βίᾳ κρατεῖν οὐκ ἀκίνδυνον, τὸ λάθρα σοφίζεται. Ἐγὼ, γοῦν φησὶν, ἐπαινῶ σου τὸ καρτερόν·

(1) Ἐκ τοῦ Τυρουίττου.

(2) Ἐκ τῶν Ἑρμογένους προγυμνασμάτων τῶν ἐκδοθέντων ἐν τῇ Βιβλιοθήκῃ τῆς ἀρχαίας φιλολογίας, (Bibliothek der alten Litteratur und Kunst. Gottingen 1791).

(3) Ἐκ τῶν Νικηφόρου τοῦ Βασιλάκη Μύθων, μύθ. α'.

ὑπεράγαμαι τὸ κάλλος· ὁποῖος μὲν εἶ τὴν κεφαλὴν, ὁποῖος δὲ τὴν μορφὴν, ὅσος δὲ τοὺς πόδας, ὅσος δὲ τὰς ὁπλάς. Ἀλλ' ὅσον ἐπὶ τῆς κεφαλῆς φέρεις τὸ ἄχθος. Περίελε γοῦν οὕτω ματαίαν ἐπιπλοκήν· καί σοι καὶ κόσμος ἔςαι τῆς κεφαλῆς, καὶ βάρους ἀπαλλαγὴ, καὶ πρὸς τὸ κρεῖττον μεταβολή. Τί δὲ καὶ δεῖ σοι κεράτων, εἰρήνης οὔσης πρὸς λέοντα; Πείθεται τούτοις ὁ ταῦρος· καὶ τὴν ἐκ τῶν ὅπλων ἰσχὺν ἀποβαλὼν, τῷ λέοντι λοιπὸν εὐχείρωτος ἦν, καὶ δεῖπνον ἀκίνδυνον.

Οὕτω τὸ πείθεσθαι τοῖς ἐχθροῖς μετὰ τῆς ἀπάτης φέρει καὶ κίνδυνον.

369. ΠΙΘΗΚΟΙ ΚΑΙ ΚΟΡΑΞ (1).

Πίθηκοι, ἔν τινι τῶν ὀρεινῶν δένδρων καὶ τόπων καθ' ὥραν χειμερινὴν διατρίβοντες, καὶ σφοδρῷ τῷ κρύει συσχεθέντες, εὑρόντες τινὰ λίθον ςίλβοντα, ὑπέλαβον πῦρ εἶναι, καὶ κατεφύσων αὐτὸ ἱκανῶς. Κόραξ δὲ, τούτους ἰδὼν τοῦτο ποιοῦντας, Μὴ πλανᾶσθε, ὦ οὗτοι, ἔφη· οὐ γὰρ πῦρ τὸ προκείμενον, ἀλλὰ λίθος. Ὡς δὲ τούτου οὐκ ἤκουον, κατῆλθεν ἐπ' αὐτούς.... Οἱ δὲ συλλαβόντες αὐτὸν διεσπάραξαν.

370. ΚΟΡΑΞ ΚΑΙ ΠΕΡΔΙΞ (2).

Κόραξ τις, ἰδὼν πέρδικα περιπατοῦσαν, ἠβουλήθη μαθεῖν περιπατεῖν, ὡς ἐκείνη. Γυμνάσας οὖν ἑαυτὸν, οὐκ ἠδυνήθη μαθεῖν αὐτό· ἀλλὰ καὶ τὸ ἴδιον ἀπώλεσε. Διὰ τοῦτο κατελείφθη ἠπορημένος, μήτε τὸ ἴδιον ἔχων, μήτε τὸ ζητούμενον προσλαβών.

Οὕτω δεῖ πάντα ἄνθρωπον μὴ ζητεῖν πρᾶγμα, ὃ οὐ δύναται καταλαβεῖν· ἵνα μὴ, ὅπερ ἔχει, ἀπολέσῃ.

---

(1) Ἐκ τοῦ Στεφανίτου καὶ Ἰχνηλάτου, σελ. 128.
(2). Ἐκ τοῦ αὐτοῦ σελ. 484.

371. ΠΟΤΑΜΟΙ ΚΑΙ ΘΑΛΑΣΣΑ (1).

Ποταμοὶ συνῆλθον ἐπὶ τὸ αὐτὸ, καὶ τὴν θάλασσαν κατῃτιῶντο, λέγοντες αὐτῇ, Διατί ἡμᾶς, εἰσερχομένους ἐν τοῖς ὕδασι, καὶ ὑπάρχοντας ποτίμους καὶ γλυκεῖς, ἀπεργάζῃ ἁλμυροὺς καὶ ἀπότους; Ἡ δὲ θάλασσα ἰδοῦσα, ὅτι αὐτῆς καταμέμφονται, λέγει πρὸς αὐτοὺς, Μὴ ἔρχεσθε καὶ μὴ γίνεσθε ἁλμυροί.

Οὗτος ὁ μῦθος παριςᾷ τοὺς ἀκαίρως αἰτιωμένους τινάς, καὶ παρ' αὐτῶν μᾶλλον ὠφελουμένους.

372. ΘΗΡΕΥΤΗΣ ΚΑΙ ΛΥΚΟΣ (2).

Ἀνήρ τις θηρευτὴς, λύκον θεασάμενος προσβάλλοντα τῇ ποίμνῃ, καὶ πλεῖςα τῶν προβάτων, ὡς δυνατὸν, διασπαράττοντα, τοῦτον εὐμηχάνως θηρεύει, καὶ τοὺς κύνας αὐτῷ ἐπαφίησι, φθεγξάμενος πρὸς αὐτὸν, Ὦ δειλότατον θηρίον, ποῦ σου ἡ προλαβοῦσα ἰσχὺς; ὅτι τοῖς κυσὶν ὅλως ἀντιςῆναι οὐκ ἠδυνήθης.

Ὁ μῦθος δηλοῖ, ὡς τῶν ἀνθρώπων ἕκαςος ἐν τῇ ἰδίᾳ τέχνῃ καθέςηκε δόκιμος.

373. ΤΑΥΡΟΣ, ΛΕΑΙΝΑ ΚΑΙ ΣΥΑΓΡΟΣ (3).

Ταῦρος εὑρηκὼς κοιμώμενον λέοντα, τοῦτον κερατίσας ἀπέκτεινεν. Ἐπιςᾶσα δὲ ἡ ἐκείνου μήτηρ πικρῶς αὐτὸν ἀπεκλαίετο.

(1) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. δ'.
(2) Ἐκ τοῦ αὐτοῦ, μύθ. ς'.
(3) Ἐκ τοῦ αὐτοῦ, μύθ. ιά.

Ἰδὼν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ἰδὼν δὲ αὐτὴν σύαγρος ὀλοφυρομένην, μακρόθεν ἑςὼς, ἔφη πρὸς αὐτὴν, Ὦ πόσοι ἄρα τυγχάνουσιν ἄνθρωποι θρηνοῦντες, ὧν τὰ τέκνα ὑμεῖς ἀπεκτείνατε!

Ὁ λόγος δηλοῖ, ὅτι ἐν ᾧ μέτρῳ μετρεῖ τις, μετρηθήσεται αὐτῷ.

374. ΑΛΩΠΗΞ ΚΑΙ ΠΙΘΗΞ (1).

Αλωπηξ καὶ πίθηξ ἐπὶ τὸ αὐτὸ ὡδοιπόρουν. Παρερχόμενοι δὲ διά τινων μνημείων, ἔφη ὁ πίθηξ τῇ ἀλώπεκι, ὡς Πάντες οἱ νεκροὶ οὗτοι, ἀπελεύθεροι τῶν ἐμῶν γεννητόρων ὑπάρχουσιν. Ἡ δὲ ἀλώπηξ λέγει τῷ πίθηκι, Εὐκαίρως ἐψεύσω· οὐδεὶς γὰρ τῶν ἐνταῦθα ταφέντων ἀπελέγξαι σε δύναται.

Οὗτος ὁ μῦθος παριςᾷ τὸν τοὺς ψευδολόγους ὀρθῶς διελέγχοντα, καὶ τοὺς προδήλως τὸ ψεῦδος ἀντὶ ἀληθείας προσφέροντας.

ΑΛΛΩΣ (2).

Ἀλώπηξ καὶ πίθηκος, ἐν ταυτῷ ὁδοιποροῦντες, περὶ εὐγενείας ἤριζον. Πολλὰ δὲ ἑκατέρων διεξιόντων, ἐπειδὴ ἐγένοντο κατά τινα τόπον, ἐνταῦθα ἀποβλέψας ἀνεςέναξεν [ὁ πίθηκος]. Τῆς δ' ἀλώπεκος ἐρομένης τὴν αἰτίαν, ὁ πίθηκος, ἐπιδείξας αὐτῇ τὰ μνήματα, ἔφη· Ἀλλ' οὐ μέλλω κλαίειν, ὁρῶν τὰς ςήλας τῶν πατρικῶν μου ἀπελευθέρων καὶ δούλων; Κἀκείνη πρὸς αὐτὸν

(1) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. ιδ'.

(2) Ἐκ τοῦ Αὐγουςανοῦ ἀντιγράφου (Συμμικτ. Φιλολογικ. ἐκδοθ. ὑπὸ Αὐγ. Ματθίου, Τομ. Α, σελ. 25). Εἰς τοῦτον ἀναφέρουσι τὸν μῦθον τὸ παρὰ τῷ Σουΐδᾳ (λέξ. Πίθηκος) ἐκ τοῦ Βαβρίου διωρθωμένον οὕτως ἀποσπασμάτιον·

Κερδοῖ πίθηκος φησὶν, Ἣν ὁρᾷς ςήλην,
Ἐμοὶ πατρῴη τ' ἐςὶ, κἄτι παππῴη.

ἔφη· Ἀλλὰ ψεῦσον ὅσα βούλει· οὐδεὶς γὰρ τούτων ἀναςὰς [σε] ἐλέγξει.

Οὕτω καὶ τῶν ἀνθρώπων οἱ ψευδολόγοι τότε μάλιςα καταλαζονεύονται, ὅταν τοὺς ἐλέγχοντας μὴ ἔχωσιν.

375. ΑΛΩΠΗΞ ΚΑΙ ΛΕΩΝ (1).

Ἀλώπηξ, θεασαμένη ἐγκάθειρκτον λέοντα, καὶ τούτου ςᾶσα ἐγγὺς, δεινῶς αὐτὸν ὕβριζεν. Ὁ δὲ λέων ἔφη πρὸς αὐτὴν, Οὐ σύ με καθυβρίζεις, ἀλλ' ἡ προσπεσοῦσά μοι ἀτυχία.

Ὁ μῦθος οὗτος δηλοῖ, ὡς πολλοὶ τῶν ἐνδόξων, δυσπραγίαις περιπίπτοντες, ὑπ' εὐτελῶν ἐξουθενοῦνται.

376. ΚΥΝΕΣ ΚΑΙ ΑΛΩΠΗΞ (2).

Λέοντος δορὰν κύνες εὑρόντες, διεσπάραττον ταύτην. Τούτους δὲ ἀλώπηξ ἰδοῦσα ἔφη, Εἰ οὗτος ὁ λέων τοῖς ζῶσι συνῆν, εἴδετε ἂν τοὺς αὐτοῦ ὄνυχας ἰσχυροτέρους τῶν ὑμετέρων ὀδόντων.

Ὁ μῦθος δηλοῖ τοὺς τῶν ἐνδόξων καταφρονοῦντας, ὅταν τῆς δόξης ἐκπίπτωσιν.

377. ΕΛΑΦΟΣ ΝΟΣΟΥΣΑ (3).

Ἔλαφος, νόσῳ περιπεσοῦσα, ἐπί τινος τόπου πεδινοῦ κατακέκλιτο. Τινὰ δὲ τῶν θηρίων εἰς θέαν αὐτῆς ἐλθόντα, τὴν παρακειμένην τῇ ἐλάφῳ νομὴν κατεβοσκήθησαν. Εἶτα ἐκείνη,

(1) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. ιζ'.
(2) Ἐκ τοῦ αὐτοῦ, μύθ. ιθ'.
(3) Ἐκ τοῦ αὐτοῦ, μύθ. κ'.

τῆς νόσου ἀπαλλαγεῖσα, τῇ ἐνδείᾳ δεινῶς κατετρύχετο, καὶ τῇ νομῇ τὸ ζῆν προσαπώλεσεν.

Ὁ μῦθος δηλοῖ, ὡς οἱ περιττοὺς καὶ ἀνοήτους κτώμενοι φίλους, ἀντὶ κέρδους ὑπ' αὐτῶν ζημίαν μᾶλλον ὑφίςανται.

378. ΘΗΡΕΥΤΗΣ ΚΑΙ ΚΥΩΝ (1).

Ἀνὴρ θηρευτὴς, παρερχόμενον κύνα ἰδὼν, διηνεκῶς αὐτῷ ψωμοὺς προσεπέῤῥιπτε. Λέγει οὖν πρὸς τὸν ἄνδρα ὁ κύων, Ἄνθρωπε, ἄπιθι ἐξ ἐμοῦ· ἡ γὰρ πολλή σου αὕτη εὔνοια μᾶλλόν με τὰ μέγιςα θροεῖ.

Ὁ μῦθος δηλοῖ, ὡς οἱ πολλὰ δῶρά τισι παρεχόμενοι, δῆλοί εἰσι τὴν ἀλήθειαν ἀνατρέποντες.

379. ΟΝΑΓΡΟΣ ΚΑΙ ΟΝΟΣ (2).

Ὄναγρος, ὄνον ἰδὼν βαρὺν γόμον ἐπαγόμενον, καὶ τὴν δουλείαν αὐτῷ ἐπονειδίζων, ἔλεγεν, Εὐτυχὴς ὄντως ἐγὼ, ὅτι ζῶν ἐλευθέρως καὶ διάγων ἀκόπως, αὐτοσχέδιον καὶ τὴν νομὴν ἐν τοῖς ὄρεσι κέκτημαι. Σὺ δὲ δι' ἄλλου τρέφῃ, καὶ δουλείαις καὶ πληγαῖς καθυποβάλλῃ διηνεκῶς. Συνέβη γοῦν αὐθωρὸν λέοντά τινα φανῆναι· καὶ τῷ μὲν ὄνῳ μὴ προσπελάσαι, ὡς συνόντος αὐτῷ τοῦ ὀνηλάτου, τῷ δὲ ὀνάγρῳ, μεμονωμένῳ τυγχάνοντι, σφοδρῶς ἐπελθεῖν, καὶ αὐτῷ θέσθαι κατάβρωμα.

Ὁ μῦθος δηλοῖ, ὡς οἱ ἀνυπότακτοι καὶ σκληροτράχηλοι, τῇ αὐτοβουλίᾳ φερόμενοι, καὶ βοηθείας τινὸς μὴ δεόμενοι, αὐθωρὸν πτῶμα γίνονται.

---

(1) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. κά.
(2) Ἐκ τοῦ αὐτοῦ, μύθ. λ'.

380. ΑΝΗΡ ΤΙΣ ΚΑΙ ΚΗΠΟΥΡΟΣ (1).

Ἀνήρ τις κηπουρόν τινα θεασάμενος, τῶν λαχάνων ἀρδείαν ποιούμενον, ἔφη πρὸς αὐτὸν, Πῶς τὰ μὲν ἄγρια φυτὰ, μήτε φυτευόμενα, μήτε ἐργαζόμενα, ὡραῖα πεφύκασι, τὰ δὲ τῆς ὑμῶν φυτηκομίας πολλάκις ξηραίνεται; Ὁ δὲ κηπουρὸς ἀντέφησεν, ὡς Τὰ ἄγρια τῶν φυτῶν μόνῃ τῇ θείᾳ προνοίᾳ ἐφορᾶται, τὰ δὲ ἥμερα ὑπὸ χειρὸς ἀνθρωπίνης ἐπιμελεῖται.

Ὁ λόγος δηλοῖ, ὡς κρείττων ἡ τῶν μητέρων ἀνατροφὴ πέφυκε τῆς τῶν μητρυιῶν ἐπιμελείας.

381. ΚΥΩΝ ΚΑΙ ΛΥΚΑΙΝΑ (2).

Κύων, καταδιώκων λύκαιναν, ἐφρυάττετο τῇ τε τῶν ποδῶν ταχυτῆτι καὶ τῇ ἰδίᾳ ἰσχύϊ, καὶ ἐδόκει φεύγειν τὸν λύκον δι' οἰκείαν δῆθεν ἀσθένειαν. Στραφεὶς οὖν ὁ λύκος ἔφησε πρὸς τὸν κύνα, Οὐ σὲ δέδοικα, ἀλλὰ τὴν τοῦ σοῦ δεσπότου καταδρομήν.

Ὁ μῦθος οὗτος δηλοῖ, ὅτι οὐ δεῖ τινα ἐγκαυχᾶσθαι τῇ τῶν ἑτέρων γενναιότητι.

382. ΤΑΥΡΟΣ, ΛΕΩΝ ΚΑΙ ΑΙΓΕΣ ΑΓΡΙΑΙ (3).

Ταῦρος λέοντά τινα ἀποδιδράσκων, ἔν τινι σπηλαίῳ τὴν καταφυγὴν ἔθετο. Ἐν αὐτῷ δὲ ἔτυχεν ἀγρίας αἶγας τυγχάνειν· αἳ δὴ καὶ τὸν ταῦρον εὐθὺς ἐκεράτιζον. Ὁ δὲ ταῦρος πρὸς

---

(1) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. λϛ'.
(2) Ἐκ τοῦ αὐτοῦ, μύθ. λή.
(3) Ἐκ τοῦ αὐτοῦ, μύθ. μ'.

αὐτὰς ἔλεγεν, ὡς Οὐχ ὑμᾶς δέδοικα, ἀλλὰ τὸν τοῦ σπηλαίου ἔξωθεν ἑστηκότα.

Ὁ μῦθος δηλοῖ, ὡς τοῖς δυσπραγίαις ὑπὸ δυναστῶν περιπίπτουσι πάντες οἱ ἐντυγχάνοντες μισητῶς ἐπιβαίνουσι.

ΑΛΛΩΣ.

[ΦΛ. 181]. ΤΑΥΡΟΣ ΚΑΙ ΑΙΓΕΣ ΑΓΡΙΑΙ (1)

Ταῦρος διωκόμενος ὑπὸ λέοντος, κατέφυγεν εἴς τι σπήλαιον, ἐν ᾧ ἦσαν αἶγες ἄγριαι. Τυπτόμενος δὲ ὑπ' αὐτῶν, καὶ κερατιζόμενος ἔφη· Ἀλλ' οὐχ' ὑμᾶς φοβούμενος ἀνέχομαι, τὸν δὲ πρὸ τοῦ στόματος τοῦ σπηλαίου ἑστῶτα λέοντα.

Οὕτω πολλοὶ διὰ φόβον τῶν κρειττόνων, τὰς ἐκ τῶν ἡττόνων (2) ὕβρεις ὑπομένουσι.

383. ΑΝΗΡ, ΙΠΠΟΣ ΚΑΙ ΠΩΛΟΣ (3).

Ἀνήρ τις ἐπωχεῖτο θηλείᾳ τινὶ ἵππῳ, ἐγκύῳ ὑπαρχούσῃ· καὶ ὁδοιποροῦντος αὐτοῦ, πῶλον ἡ ἵππος ἀπέτεκεν. Ὁ δὲ πῶλος, κατόπιν αὐτῆς εὐθὺς πορευόμενος, καὶ ταχέως ἰλιγγιάσας, πρὸς τὸν τῆς ἰδίας μητρὸς ἐπιβάτην ἔλεγεν, Ἰδοὺ, ὁρᾷς με βραχύτατον, καὶ πρὸς πορείαν ἀδύνατον. Γίνωσκε τοίνυν, ὡς εἰ ἐνταῦθα ἐγκαταλίπῃς με, αὐθωρὸν διαφθείρομαι. Εἰ δὲ ἐντεῦθεν ἄρῃς με, καὶ ἀπαγάγῃς ἐν τόπῳ, καὶ ἀνατραφῆναι παρασκευάσῃς, οὕτως αὐξηθεὶς ἐν ὑστέρῳ ἐποχεῖσθαί μοι ποιήσω σε.

Ὁ μῦθος δηλοῖ, ὡς ἐκείνους χρὴ εὐεργετεῖν, ὑφ' ὧν καὶ ἡ ἀντάμειψις τῆς εὐποιΐας ἐλπίζεται.

---

(1) Ἐκ τῶν Μύθων τῆς Φλωρεντινῆς ἐκδόσεως, μύθ. ρπά.

(2) Ἔγραψα διορθώσας, Ἡττόνων, ἀντὶ τοῦ, Γειτόνων. Ὁ δὲ μῦθος οὐδὲν σχεδόν τι διαφέρει τοῦ ἐν τοῖς πρόσθεν (σελ. 181) ἐπιγραφομένου, Ταῦρος καὶ Τράγος.

(3) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. μέ.

384. ΑΝΗΡ ΚΑΙ ΚΥΚΛΩΨ (1).

Ἀνήρ τις, τῶν εὐλαβῶν τυγχάνων τάχα, καὶ τοῖς πρακτέοις σεμνῶν, ἐπὶ χρόνον ἱκανὸν εὐμαρῶς τοῖς ἰδίοις παισὶ συμβιοτεύων, μετὰ ταῦτα ἐνδείᾳ περιπίπτει ἐσχάτῃ, καὶ τὴν ψυχὴν καιρίως ἀλγῶν, ἐβλασφήμει τὸ θεῖον, καὶ ἑαυτὸν ἀνελεῖν ἀπηναγκάζετο. Λαβὼν οὖν σπάθην, ἐπί τινα τῶν ἐρημικῶν τόπων ἐξῄει, θανεῖν μᾶλλον αἱρετισάμενος, ἤπερ κακῶς ζῆν. Πορευόμενος δὲ, λάκκον τινὰ βαθύτατον ἔτυχεν εὑρηκὼς, ἐν ᾧ χρυσίον οὐκ ὀλίγον παρά τινος τῶν γιγαντιαίων ἀνδρῶν ἀπετέθειτο, ᾧ Κύκλωψ τὸ ὄνομα. Ἰδὼν δὲ ὁ δῆθεν εὐλαβὴς ἀνὴρ τὸ χρυσίον, φόβου εὐθὺς καὶ χαρᾶς ἀνάπλεως γίνεται, καὶ ῥίπτει μὲν τῆς χειρὸς τὸ ξίφος, αἴρει δὲ τὸ χρυσίον ἐκεῖθεν, καὶ ἄσμενος ἐπὶ τὴν οἰκίαν καὶ τοὺς παῖδας αὐτοῦ ἐπανέρχεται. Εἶτα ὁ Κύκλωψ, ἐπὶ τὸν λάκκον ἐλθὼν, καὶ τὸ μὲν χρυσίον μὴ εὑρηκὼς, ἀντ' αὐτοῦ δὲ κείμενον ἐκεῖσε τὸ ξίφος ἑωρακὼς, αὐτίκα τοῦτο σπασάμενος ἑαυτὸν διεχειρίσατο.

Ὁ μῦθος οὗτος δηλοῖ, ὡς τοῖς σκαιοῖς ἀνδράσιν ἀκολούθως ἐπισυμβαίνει τὰ φαῦλα· τοῖς δὲ ἀγαθοῖς καὶ εὐλαβέσι, τὰ ἀγαθὰ ταμιεύεται.

385. ΤΕΤΤΙΞ ΚΑΙ ΑΝΗΡ (2).

Τέττιξ, ἄνδρα τινὰ θεασάμενος κατασχεῖν αὐτὸν μηχανώμενον, ἔφη πρὸς αὐτὸν, Ἐκείνοις τοῖς ὀρνέοις ἐπέρχου, παρ' ὧν σοι καὶ ὄφελός τι προσγενήσεται· ἐμὲ γὰρ εἰ κατάσχῃς, οὐδὲν ἐξ ἐμοῦ τὸ παράπαν κερδανεῖς.

Ὁ μῦθος δηλοῖ, ὡς οὐ χρή τινα τῶν ἀχρήστων καὶ ἀνονήτων ἐφίεσθαι.

---

(1) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. μή.
(2) Ἐκ τοῦ αὐτοῦ, μύθ. ξβ'.

386. ΑΙΔΟΥΣ ΧΡΩΜΑ (1).

Εἰ δ', ἄγε σοι καὶ μῦθον ἐοικότα μυθολογήσω
Αἴσχεσιν ὑμετέροις. Ἡ πολιὴ δὲ λάλον.
Ἄκριτον ἦν τοπάροιθε βροτῶν γένος, ὅς τε φέριστος,
Ὅς τε χερειότερος, ὡς φάτις ὠγυγίη.
Πολλοὶ μὲν δοκέεσκον ἀνάρσιοι, ὄντες ἄριστοι·
Πολλοὶ δ' αὖτ' ἀγαθοὶ, ἔμπαλιν ἀφραδέες.
Κῦδος ἀτιμοτάτοισιν, ἀτιμίη δέ τ' ἀρίστοις
Ἕσπετο, οὔ τι δίκῃ τῶνδ' ἐπαμειβομένων.
Ἀλλ' οὐ λῆθεν ἄνακτα Θεὸν κακίη μεδέουσα.
Ὀψὲ δ' ἀλαστήσας τοῖον ἔειπεν ἔπος·
Οὐ θέμις ἔστ' ἀγαθοῖσιν ὁμὸν κλέος ἠδὲ κακοῖσιν
Ἔμμεναι· ὧδ' ἂν ἔοι πλειοτέρη κακίη.
Τοὔνεκα τοῖσιν ἐγὼ σημήϊον ἐσθλὸν ὀπάσσω,
Ὄφρ' εὖ γινώσκηθ', ὃς κακὸς, ὅς τ' ἀγαθός.
Ὣς εἰπὼν, ἐρύθηνε παρήϊα τοῖς ἀγαθοῖσιν,
Αἷμ' ὑπὸ δέρμα χέας, αἴσχεος ὀρνυμένου.
Θηλυτέραις δὲ μάλιστα, ἐπεὶ καὶ εἶδος ἀραιαὶ,
Καὶ κραδίην ἁπαλαὶ, πλεῖον ὑπεσκέδασε.
Τοῖς δὲ κακοῖσιν ἔπηξε, καὶ ἄτροπον ἔνδον ἔθηκε.
Τοὔνεκεν οὐδ' ὀλίγον αἴσχεσι συμφέρεται.

387. ΠΙΘΗΚΟΣ ΚΑΙ ΚΑΜΗΛΟΣ (2).

Ἐν συνόδῳ τῶν ἀλόγων ζώων πίθηκος ἀναστὰς ὠρχεῖτο.

(1) Ἐκ τῶν Γρηγορίου τοῦ Θεολόγου ἐπῶν, Κατὰ γυναικῶν καλλωπιζομένων, Τομ. Β, σελ. 150 Ἐκδ. Παρισ. 1611.

(2) Ἐκ τῶν Συμμίκτων φιλολογικῶν (Λειψ. 1809, Μερ. Α, σελ. 43)

Σφόδρα δὲ αὐτοῦ εὐδοκιμοῦντος, καὶ ὑπὸ πάντων ἐπισημαινομένου, κάμηλος φθονήσασα ἠβουλήθη τῶν αὐτῶν ἐφικέσθαι. Διόπερ ἐξαναστᾶσα ἐπειρᾶτο καὶ αὐτὴ ὀρχήσασθαι. Πολλὰ δὲ αὐτῆς ἄτοπα ποιησάσης, τὰ ζῶα ἀγανακτήσαντα, ῥοπάλοις αὐτὴν παίοντα, ἐξήλασαν.

Πρὸς τοὺς διὰ φθόνον κρείττοσιν ἁμιλλωμένους, καὶ σφαλλομένους, ὁ λόγος εὔκαιρος.

[ΦΛ. 71]. ΑΛΛΩΣ (1).

Ἐν συνόδῳ τῶν ἀλόγων ζώων πίθηκος ἀναστὰς ὠρχεῖτο. Σφόδρα δὲ αὐτοῦ εὐδοκιμοῦντος, καὶ ὑπὸ πάντων σημαινομένου, κάμηλος φθονήσασα... (2) Διόπερ ἐξαναστᾶσα, ἐπειρᾶτο καὶ αὐτὴ ὀρχεῖσθαι· πολλὰ δὲ αὐτῆς ἄτοπα ποιούσης, τὰ ζῶα ἀγανακτήσαντα, ῥοπάλοις αὐτην ἐξήλασαν.

Ὁ λόγος (3) πρὸς τοὺς διὰ φθόνον κρείττοσιν ἁμιλλωμένους, καὶ σφαλλομένους.

388. ΚΟΡΥΔΟΣ ΘΑΠΤΩΝ ΤΟΝ ΠΑΤΕΡΑ (4).

Ἀμαθὴς γὰρ ἔφυς, κοὐ πολυπράγμων, οὐδ' Αἴσωπον πεπάτηκας·
Ὃς ἔφασκε λέγων, κορυδὸν πάντων πρώτην ὄρνιθα γενέσθαι,
Προτέραν τῆς γῆς. Κἄπειτα νόσῳ τὸν πατέρ' αὐτῆς ἀποθνήσκειν·
Γῆν δ' οὐκ εἶναι· τὸν δὲ προκεῖσθαι πεμπταῖον. Τὴν δ', ἀποροῦσαν
Ὑπ' ἀμηχανίας, τὸν πατέρ' αὐτῆς ἐν τῇ κεφαλῇ κατορύξαι.

---

(1) Ἐκ τῶν Μύθων τῆς Φλωρεντινῆς ἐκδόσεως, μύθ. οά.

(2) Ἀναπλήρου τὰ ἐλλείποντα τῆς Φλωρεντινῆς ἐκδόσεως, ἐκ τοῦ προτέρου μύθου.

(3) ΗΔ, ἀντὶ τοῦ, ὅλως.

(4) Ἐκ τοῦ Ἀριστοφάνους (Ὄρν. 471).

389. ΤΕΤΤΙΓΕΣ (1).

Οἱ τέττιγές ποτ᾽ ἦσαν ἄνθρωποι τῶν πρὶν Μούσας γεγονέναι. Γενομένων δὲ Μουσῶν, καὶ φανείσης ᾠδῆς, οὕτως ἄρα τινὲς τῶν τότε ἐξεπλάγησαν ὑφ᾽ ἡδονῆς, ὥϛε ᾄδοντες ἠμέλησαν σίτων τε καὶ ποτῶν, καὶ ἔλαθον τελευτήσαντες αὐτούς. Ἐξ ὧν τὸ τεττίγων γένος μετ᾽ ἐκεῖνο φύεται, γέρας τοῦτο παρὰ Μουσῶν λαβὸν, μηδὲν τροφῆς δεῖσθαι γεννώμενον, ἀλλ᾽ ἄσιτόν τε καὶ ἄποτον εὐθὺς ᾄδειν, ἕως ἂν τελευτήσῃ.

390. ΠΟΡΟΣ ΚΑΙ ΠΕΝΙΑ (2).

Ὅτε ἐγένετο ἡ Ἀφροδίτη, εἱϛιῶντο οἱ θεοὶ, οἵτε ἄλλοι καὶ ὁ τῆς Μήτιδος υἱὸς Πόρος. Ἐπειδὴ δ᾽ ἐδείπνησαν, προσαιτήσουσα, οἷον δὴ εὐωχίας οὔσης, ἀφίκετο ἡ Πενία· καὶ ἦν περὶ τὰς θύρας. Ὁ οὖν Πόρος, μεθυσθεὶς τοῦ νέκταρος (οἶνος γὰρ οὔπω ἦν), εἰς τὸν τοῦ Διὸς κῆπον εἰσελθὼν, βεβαρημένος εὗδεν. Ἡ οὖν Πενία, ἐπιβουλεύουσα, διὰ τὴν αὐτῆς ἀπορίαν, παιδίον ποιήσασθαι ἐκ τοῦ Πόρου, κατακλίνεταί τε παρ᾽ αὐτῷ καὶ ἐκύησε τὸν Ἔρωτα. Διὸ δὴ καὶ τῆς Ἀφροδίτης ἀκόλουθος καὶ θεράπων γέγονεν ὁ Ἔρως, γεννηθεὶς ἐν τοῖς ἐκείνης γενεθλίοις, καὶ ἅμα φύσει ἐραϛὴς ὢν περὶ τὸ καλὸν, καὶ τῆς Ἀφροδίτης καλῆς οὔσης. Ἅτε οὖν πόρου καὶ Πενίας υἱὸς ὢν ὁ Ἔρως, ἐν τοιαύτῃ τύχῃ καθέϛηκε. Πρῶτον μὲν, πένης ἀεί ἐϛι, καὶ πολλοῦ δεῖ ἁπαλός τε καὶ καλὸς, οἷον οἱ πολλοὶ οἴονται· ἀλλὰ σκληρὸς, καὶ αὐχμηρὸς, καὶ ἀνυπόδητος, χαμαιπετὴς ἀεὶ ὢν,

(1) Ἐκ τοῦ Πλάτωνος (Φαίδρ. σελ. 259).
(2) Ἐκ τοῦ αὐτοῦ (Συμποσ. σελ. 203).

καὶ ἄςρωτος, ἐπὶ θύραις καὶ ἐν ὁδοῖς ὑπαίθριος κοιμώμενος, τὴν τῆς μητρὸς φύσιν ἔχων, ἀεὶ ἐνδείᾳ ξύνοικος. Κατὰ δὲ αὖ τὸν πατέρα, ἐπίβουλός ἐςι τοῖς ἀγαθοῖς καὶ τοῖς καλοῖς, ἀνδρεῖος ὢν, καὶ ἴτης, καὶ σύντονος, θηρευτὴς δεινὸς, ἀεί τινας πλέκων μηχανάς· καὶ φρονήσεως ἐπιθυμητὴς, καὶ πόριμος, φιλοσοφῶν διὰ παντὸς τοῦ βίου· δεινὸς γόης, καὶ φαρμακεὺς, καὶ σοφιςής. Καὶ οὔτε ὡς ἀθάνατος πέφυκεν, οὔτε ὡς θνητός· ἀλλὰ τοτὲ μὲν τῆς αὐτῆς ἡμέρας θάλλει τε καὶ ζῇ, ὅταν εὐπορήσῃ, τοτὲ δὲ ἀποθνήσκει· πάλιν δὲ ἀναβιώσκεται, διὰ τὴν τοῦ πατρὸς φύσιν. Τὸ δὲ ποριζόμενον ἀεὶ ὑπεκρεῖ. Ὥςε οὔτε ἀπορεῖ Ἔρως ποτὲ, οὔτε πλουτεῖ. Σοφίας τε αὖ καὶ ἀμαθίας ἐν μέσῳ ἐςίν.

391. ΠΟΛΙΤΙΚΗ ΤΕΧΝΗ (1).

ἮΝ ποτε χρόνος ὅτε θεοὶ μὲν ἦσαν, θνητὰ δὲ γένη οὐκ ἦν. Ἐπειδὴ δὲ καὶ τούτοις χρόνος ἦλθεν εἱμαρμένος γενέσεως, τυποῦσιν αὐτὰ θεοὶ γῆς ἔνδον, ἐκ γῆς καὶ πυρὸς μίξαντες, καὶ τῶν ὅσα πυρὶ καὶ γῇ κεράννυται. Ἐπειδὴ δ' ἄγειν αὐτὰ πρὸς φῶς ἔμελλον, προσέταξαν Προμηθεῖ καὶ Ἐπιμηθεῖ κοσμῆσαί τε, καὶ νεῖμαι δυνάμεις ἑκάςοις, ὡς πρέπει. Προμηθέα δὲ παραιτεῖται Ἐπιμηθεὺς αὐτὸς νεῖμαι. Νείμαντος δέ μου, ἔφη, ἐπίσκεψαι. Καὶ οὕτω πείσας, νέμει. Νέμων δὲ, τοῖς μὲν ἰσχὺν ἄνευ τάχους προσῆπτε, τοὺς δ' ἀσθενεςέρους τάχει ἐκόσμει· τοὺς δ' ὥπλιζε, τοῖς δ' ἄοπλον διδοὺς φύσιν, ἄλλην τιν' αὐτοῖς ἐμηχανᾶτο δύναμιν εἰς σωτηρίαν. Ἃ μὲν γὰρ αὐτῶν σμικρότητι ἤμπισχε, πτηνῶν φύσιν, ἢ κατάγειον οἴκησιν ἔνεμεν· ἃ δὲ ηὖξε μεγέθει, τῷδε αὐτῷ αὐτὰ ἔσωζε· καὶ τἄλλα οὕτως ἐπανισῶν ἔνεμε. Ταῦτα δὲ ἐμηχανᾶτο, εὐλάβειαν ἔχων μή

---

(1) Ἐκ τοῦ Πλάτωνος (Πρωταγόρ. σελ. 320-322).

τι γένος ἀϊςωθείη. Ἐπειδὴ δὲ αὐτοῖς ἀλληλοφθοριῶν διαφυγὰς ἐπήρκεσε, πρὸς τὰς ἐκ Διὸς ὥρας εὐμαρίαν ἐμηχανᾶτο, ἀμφιεννὺς αὐτὰ πυκναῖς τε θριξὶ καὶ ςερεοῖς δέρμασιν, ἱκανοῖς μὲν ἀμῦναι χειμῶνα, δυνατοῖς δὲ καὶ καύματα, καὶ εἰς εὐνὰς ἰοῦσιν ὅπως ὑπάρχῃ τὰ αὐτὰ ταῦτα ςρωμνὴ οἰκεία τε καὶ αὐτοφυὴς ἑκάςῳ· καὶ ὑπὸ ποδῶν τὰ μὲν ὁπλαῖς, τὰ δὲ θριξὶ καὶ δέρμασι ςερεοῖς καὶ ἀναίμοις. Τοὐντεῦθεν τροφὰς ἄλλοις ἄλλας ἐξεπόριζε· τοῖς μὲν, ἐκ γῆς βοτάνην, ἄλλοις δὲ, δένδρων καρποὺς, τοῖς δὲ, ῥίζας· ἔςι δ' οἷς ἔδωκεν εἶναι τροφὴν, ζώων ἄλλων βοράν. Καὶ τοῖς μὲν ὀλιγογονίαν προσῆψε, τοῖς δ' ἀναλισκομένοις ὑπὸ τούτων, πολυγονίαν, σωτηρίαν τῷ γένει πορίζων. Ἅτε δὴ οὖν οὐ πάνυ τι σοφὸς ὢν ὁ Ἐπιμηθεὺς, ἔλαθεν αὐτὸν καταναλώσας τὰς δυνάμεις εἰς τὰ ἄλογα. Λοιπὸν δὴ ἔτι ἀκόσμητον αὐτῷ ἦν τὸ τῶν ἀνθρώπων γένος, καὶ ἠπόρει ὅ, τι χρήσαιτο. Ἀποροῦντι δὲ αὐτῷ ἔρχεται Προμηθεὺς, ἐπισκεψόμενος τὴν νομήν· καὶ ὁρᾷ τὰ μὲν ἄλλα ζῶα ἐμμελῶς πάντων ἔχοντα, τὸν δὲ ἄνθρωπον, γυμνόν τε καὶ ἀνυπόδητον, καὶ ἄςρωτον, καὶ ἄοπλον. Ἤδη δὲ καὶ ἡ εἱμαρμένη ἡμέρα παρῆν, ἐν ᾗ ἔδει καὶ ἄνθρωπον ἐξιέναι ἐκ γῆς εἰς φῶς. Ἀπορίᾳ οὖν ἐχόμενος ὁ Προμηθεὺς, ἥντινα σωτηρίαν τῷ ἀνθρώπῳ εὕροι, κλέπτει Ἡφαίςου καὶ Ἀθηνᾶς τὴν ἔντεχνον σοφίαν σὺν πυρί· ἀμήχανον γὰρ ἦν ἄνευ πυρὸς αὐτὴν κτητήν τῳ, ἢ χρήσιμον γενέσθαι· καὶ οὕτω δὴ δωρεῖται ἀνθρώπῳ. Τὴν μὲν οὖν περὶ τὸν βίον σοφίαν ἄνθρωπος ταύτῃ ἔσχε· τὴν δὲ πολιτικὴν οὐκ εἶχεν. Ἦν γὰρ παρὰ τῷ Διΐ. Τῷ δὲ Προμηθεῖ εἰς μὲν τὴν ἀκρόπολιν τὴν τοῦ Διὸς οἴκησιν οὐκέτι ἐνεχώρει εἰσελθεῖν (πρὸς δὲ καὶ αἱ Διὸς φυλακαὶ φοβεραὶ ἦσαν)· εἰς δὲ τὸ τῆς Ἀθηνᾶς καὶ Ἡφαίςου οἴκημα τὸ κοινὸν, ἐν ᾧ ἐφιλοτεχνείτην, λαθὼν εἰσέρχεται. Καὶ κλέψας τήν τε ἔμπυρον τέχνην τὴν τοῦ Ἡφαίςου, καὶ τὴν τῆς Ἀθηνᾶς, δίδωσιν ἀνθρώπῳ. Καὶ ἐκ τούτου, εὐπορία μὲν

ἀνθρώπῳ τοῦ βίου γίγνεται. Προμηθέα δὲ δι' Ἐπιμηθέα ὕςερον, ἧπερ λέγεται, κλοπῆς δίκη μετῆλθεν. Ἐπειδὴ δὲ ὁ ἄνθρωπος θείας μετέσχε μοίρας, πρῶτον μὲν, διὰ τὴν τοῦ θεοῦ συγγένειαν, ζώων μόνον θεοὺς ἐνόμισε· καὶ ἐπεχείρει βωμούς τε ἱδρύεσθαι καὶ ἀγάλματα θεῶν. Ἔπειτα φωνὴν καὶ ὀνόματα ταχὺ διηρθρώσατο τῇ τέχνῃ· καὶ οἰκήσεις, καὶ ἐσθῆτας, καὶ ὑποδέσεις, καὶ ςρωμνὰς, καὶ τὰς ἐκ γῆς τροφὰς εὕρετο. Οὕτω δὴ παρεσκευασμένοι κατ' ἀρχὰς ἄνθρωποι, ᾤκουν σποράδην· πόλεις δὲ οὐκ ἦσαν. Ἀπώλλυντο οὖν ὑπὸ τῶν θηρίων, διὰ τὸ πανταχῇ αὐτῶν ἀσθενέςεροι εἶναι. Καὶ ἡ δημιουργικὴ τέχνη αὐτοῖς πρὸς μὲν τροφὴν ἱκανὴ βοηθὸς ἦν, πρὸς δὲ τὸν τῶν θηρίων πόλεμον ἐνδεής. Πολιτικὴν γὰρ τέχνην οὔπω εἶχον, ἧς μέρος πολεμική. Ἐζήτουν δὲ ἀθροίζεσθαι καὶ σώζεσθαι, κτίζοντες πόλεις. Ὅτ' οὖν ἀθροισθεῖεν, ἠδίκουν ἀλλήλους, ἅτε οὐκ ἔχοντες τὴν πολιτικὴν τέχνην· ὥςε πάλιν σκεδαννύμενοι διεφθείροντο. Ζεὺς οὖν, δείσας περὶ τῷ γένει ἡμῶν, μὴ ἀπόλοιτο πᾶν, Ἑρμῆν πέμπει ἄγοντα εἰς ἀνθρώπους αἰδῶ τε καὶ δίκην, ἵν εἶεν πόλεων κόσμοι τε καὶ δεσμοὶ φιλίας συναγωγοί. Ἐρωτᾷ οὖν Ἑρμῆς Δία, τίνα ἂν τρόπον δοίη δίκην καὶ αἰδῶ ἀνθρώποις. Πότερον ὡς αἱ τέχναι νενέμηνται, οὕτω καὶ ταύτας νείμω; Νενέμηνται δὲ ὧδε· εἷς ἔχων ἰατρικὴν πολλοῖς ἱκανὸς ἰδιώταις, καὶ οἱ ἄλλοι δημιουργοί. Καὶ δίκην δὴ καὶ αἰδῶ οὕτω θῶ ἐν τοῖς ἀνθρώποις, ἢ ἐπὶ πάντας νείμω; Ἐπὶ πάντας, ἔφη ὁ Ζεύς, καὶ πάντες μετεχόντων· οὐ γὰρ ἂν γένοιντο πόλεις, εἰ ὀλίγοι αὐτῶν μετέχοιεν, ὥσπερ ἄλλων τεχνῶν. Καὶ νόμον γε θὲς παρ' ἐμοῦ, τὸν μὴ δυνάμενον αἰδοῦς καὶ δίκης μετέχειν, κτείνειν ὡς νόσου πόλεως.

392. ΗΔΟΝΗ ΚΑΙ ΛΥΠΗ (1).

Ὡς ἄτοπον, ἔφη [Σωκράτης], ὦ ἄνδρες, ἔοικέ τι εἶναι τοῦτο ὃ καλοῦσιν οἱ ἄνθρωποι ἡδύ· ὡς θαυμασίως πέφυκε πρὸς τὸ δοκοῦν ἐναντίον εἶναι τὸ λυπηρὸν, τῷ ἅμα μὲν αὐτὼ μὴ ἐθέλειν παραγίγνεσθαι τῷ ἀνθρώπῳ, ἐὰν δέ τις διώκῃ τὸ ἕτερον καὶ λαμβάνῃ, σχεδόν τι ἀναγκάζεσθαι ἀεὶ λαμβάνειν καὶ τὸ ἕτερον, ὥσπερ ἐκ μιᾶς κορυφῆς ἡμμένω δύ' ὄντε. Καί μοι δοκεῖ, ἔφη, εἰ ἐνενόησεν αὐτὰ Αἴσωπος, μῦθον ἂν συνθεῖναι, ὡς ὁ θεὸς βουλόμενος αὐτὰ διαλλάξαι πολεμοῦντα, ἐπειδὴ οὐκ ἠδύνατο, συνῆψεν εἰς ταυτὸν αὐτῶν τὰς κορυφάς· καὶ διὰ ταῦτα, ᾧ ἂν τὸ ἕτερον παραγένηται, ἐπακολουθεῖ ὕστερον καὶ τὸ ἕτερον.

393. ΗΡΑΚΛΗΣ ΑΡΕΤΗ ΚΑΙ ΚΑΚΙΑ (2).

Πρόδικος ὁ σοφὸς ἐν τῷ συγγράμματι τῷ περὶ τοῦ Ἡρακλέους (ὅπερ δὴ καὶ πλείστοις ἐπιδείκνυται)... φησὶν Ἡρακλέα, ἐπεὶ ἐκ παίδων εἰς ἥβην ὡρμᾶτο (ἐν ᾗ οἱ νέοι ἤδη αὐτοκράτορες γιγνόμενοι δηλοῦσιν, εἴτε τὴν δι' ἀρετῆς ὁδὸν τρέψονται ἐπὶ τὸν βίον, εἴτε τὴν διὰ κακίας), ἐξελθόντα εἰς ἡσυχίαν καθῆσθαι, ἀποροῦντα ὁποτέραν τῶν ὁδῶν τράπηται· καὶ φανῆναι αὐτῷ δύο γυναῖκας προϊέναι μεγάλας, τὴν μὲν ἑτέραν εὐπρεπῆ τε ἰδεῖν καὶ ἐλευθέριον φύσει, κεκοσμημένην τὸ μὲν σῶμα καθαρότητι, τὰ δὲ ὄμματα αἰδοῖ, τὸ δὲ σχῆμα σωφροσύνῃ, ἐσθῆτι δὲ λευκῇ· τὴν δὲ ἑτέραν τεθραμμένην μὲν εἰς πολυσαρκίαν τε καὶ ἁπαλότητα, κεκαλλωπισμένην δὲ τὸ μὲν χρῶμα, ὥστε λευκοτέραν τε καὶ ἐρυθρο-

(1) Ἐκ τοῦ Πλάτωνος (Φαίδων. σελ. 60).

(2) Ἐκ τῶν Ξενοφῶντος Ἀπομνημονευμάτων (Β, ά § 21).

τέραν τοῦ ὄντος δοκεῖν φαίνεσθαι, τὸ δὲ σχῆμα, ὥςε δοκεῖν ὀρθοτέραν τῆς φύσεως εἶναι, τὰ δὲ ὄμματα ἔχειν ἀναπεπταμένα, ἐσθῆτα δὲ, ἐξ ἧς ἂν μάλιςα ὥρα διαλάμποι· κατασκοπεῖσθαι δὲ θαμὰ ἑαυτὴν, ἐπισκοπεῖν δὲ καὶ εἴτις ἄλλος αὐτὴν θεᾶται· πολλάκις δὲ καὶ εἰς τὴν ἑαυτῆς σκιὰν ἀποβλέπειν. Ὡς δ' ἐγένοντο πλησιαίτερον τοῦ Ἡρακλέους, τὴν μὲν πρόσθεν ῥηθεῖσαν ἰέναι τὸν αὐτὸν τρόπον, τὴν δὲ ἑτέραν, φθάσαι βουλομένην, προσδραμεῖν τῷ Ἡρακλεῖ, καὶ εἰπεῖν· « Ὁρῶ σε, ὦ
» Ἡράκλεις, ἀποροῦντα, ποίαν ὁδὸν ἐπὶ τὸν βίον τράπῃ.
» Ἐὰν οὖν ἐμὲ φίλην ποιήσῃ, ἐπὶ τὴν ἡδίςην τε καὶ ῥάςην
» ὁδὸν ἄξω σε, καὶ τῶν μὲν τερπνῶν οὐδενὸς ἄγευςος ἔσῃ,
» τῶν δὲ χαλεπῶν ἄπειρος διαβιώσῃ. Πρῶτον μὲν γὰρ οὐ πο-
» λέμων, οὐδὲ πραγμάτων φροντιεῖς, ἀλλὰ σκοπούμενος δι-
» έσῃ, τί ἂν κεχαρισμένον ἢ σιτίον ἢ ποτὸν εὕροις· ἢ τί ἂν
» ἰδὼν, ἢ τί ἀκούσας τερφθείης, ἢ τίνων ὀσφραινόμενος ἢ
» ἁπτόμενος ἡσθείης, τίσι δὲ παιδικοῖς ὁμιλῶν μάλις' ἂν
» εὐφρανθείης, καὶ πῶς ἂν μαλακώτατα καθεύδοις, καὶ πῶς
» ἂν ἀπονώτατα τούτων πάντων τυγχάνοις· ἐὰν δέ ποτε γέ-
» νηταί τις ὑποψία σπάνεως, ἀφ' ὧν ἔςαι ταῦτα, οὐ φόβος μή
» σε ἀγάγω ἐπὶ τὸ, πονοῦντα καὶ ταλαιπωροῦντα τῷ σώματι
» καὶ τῇ ψυχῇ, ταῦτα πορίζεσθαι, ἀλλ' οἷς ἂν οἱ ἄλλοι ἐργά-
» ζωνται, τούτοις σὺ χρήσῃ, οὐδενὸς ἀπεχόμενος, ὅθεν ἂν
» δυνατὸν ᾖ τι κερδᾶναι· πανταχόθεν γὰρ ὠφελεῖσθαι τοῖς
» ἐμοὶ ξυνοῦσιν ἐξουσίαν ἔγωγε παρέχω ». Καὶ ὁ Ἡρακλῆς ἀκούσας ταῦτα, « Ὦ γύναι, ἔφη, ὄνομα δέ σοι τί ἐςιν » ; Ἡ δὲ,
» Οἱ μὲν ἐμοὶ φίλοι, ἔφη, καλοῦσί με Εὐδαιμονίαν, οἱ δὲ
» μισοῦντες, [οὐχ] ὑποκοριζόμενοι, ὀνομάζουσί με Κακίαν ». Καὶ ἐν τούτῳ ἡ ἑτέρα γυνὴ προσελθοῦσα εἶπε· « Καὶ ἐγὼ
» ἥκω πρός σε, ὦ Ἡράκλεις, εἰδυῖα τοὺς γεννήσαντάς σε, καὶ
» τὴν φύσιν τὴν σὴν ἐν τῇ παιδείᾳ καταμαθοῦσα· ἐξ ὧν ἐλπίζω,

» εἰ τὴν πρὸς ἐμὲ ὁδὸν τράποιο, σφόδρ' ἄν σε τῶν καλῶν καὶ » σεμνῶν ἐργάτην ἀγαθὸν γενέσθαι, καὶ ἐμὲ ἔτι πολὺ ἐντιμο- » τέραν καὶ ἐπ' ἀγαθοῖς διαπρεπεστέραν φανῆναι (1). Οὐκ ἐξαπα- » τήσω δέ σε προοιμίοις ἡδονῆς, ἀλλ', ᾗπερ οἱ θεοὶ διέθεσαν, » τὰ ὄντα διηγήσομαι μετ' ἀληθείας. Τῶν γὰρ ὄντων ἀγαθῶν » καὶ καλῶν οὐδὲν ἄνευ πόνου καὶ ἐπιμελείας θεοὶ διδόασιν » ἀνθρώποις. Ἀλλ' εἴτε τοὺς θεοὺς ἵλεως εἶναί σοι βούλει, » θεραπευτέον τοὺς θεούς· εἴτε ὑπὸ φίλων ἐθέλεις ἀγαπᾶ- » σθαι, τοὺς φίλους εὐεργετητέον· εἴτε ὑπό τινος πόλεως ἐπι- » θυμεῖς τιμᾶσθαι, τὴν πόλιν ὠφελητέον· εἴτε ὑπὸ τῆς Ἑλλά- » δος πάσης ἀξιοῖς θαυμάζεσθαι, τὴν Ἑλλάδα πειρατέον εὖ » ποιεῖν· εἴτε τὴν γῆν φέρειν σοι βούλει καρποὺς ἀφθόνους, » τὴν γῆν θεραπευτέον· εἴτε ἀπὸ βοσκημάτων οἴει δεῖν πλου- » τίζεσθαι, τῶν βοσκημάτων ἐπιμελητέον· εἴτε διὰ πολέμου » ὁρμᾷς αὔξεσθαι, καὶ βούλει δύνασθαι τούς τε φίλους ἐλευ- » θεροῦν, καὶ τοὺς ἐχθροὺς χειροῦσθαι, τὰς πολεμικὰς » τέχνας αὐτάς τε παρὰ τῶν ἐπισταμένων μαθητέον, καὶ ὅπως » αὐταῖς δεῖ χρῆσθαι ἀσκητέον· εἰ δὲ καὶ τῷ σώματι βούλει » δυνατὸς εἶναι, τῇ γνώμῃ ὑπηρετεῖν ἐθιστέον τὸ σῶμα, καὶ » γυμναστέον σὺν πόνοις καὶ ἱδρῶτι ». Καὶ ἡ Κακία ὑπολα- βοῦσα εἶπεν, « Ἐννοεῖς, ὦ Ἡράκλεις, ὡς χαλεπὴν καὶ μακρὰν » ὁδὸν ἐπὶ τὰς εὐφροσύνας ἡ γυνή σοι αὕτη διηγεῖται; ἐγὼ » δὲ ῥᾳδίαν καὶ βραχεῖαν ὁδὸν ἐπὶ τὴν εὐδαιμονίαν ἄξω σε ». Καὶ ἡ Ἀρετὴ εἶπεν, « Ὦ τλῆμον, τί δὲ σὺ ἀγαθὸν ἔχεις, » ἢ τί ἡδὺ οἶσθα, μηδὲν τούτων ἕνεκα πράττειν ἐθέλουσα; » ἥτις οὐδὲ τὴν τῶν ἡδέων ἐπιθυμίαν ἀναμένεις, ἀλλὰ πρὶν » ἐπιθυμῆσαι, πάντων ἐμπίπλασαι, πρὶν μὲν πεινῆν, ἐσθίουσα, » πρὶν δὲ διψῆν, πίνουσα· καὶ ἵνα μὲν ἡδέως φάγῃς, ὀψοποιοὺς

(1) Ἴσως γραπτέον, Διαπρεπεστέραν ἀναφῆναι.

» μηχανωμένη, ἵνα δὲ ἡδέως πίνῃς, οἴνους τε πολυτελεῖς
» παρασκευάζῃ, καὶ τοῦ θέρους χιόνα περιθέουσα ζητεῖς·
» ἵνα δὲ καθυπνώσῃς ἡδέως, οὐ μόνον τὰς στρωμνὰς μαλα-
» κὰς, ἀλλὰ καὶ τὰς κλίνας καὶ τὰ ὑπόβαθρα ταῖς κλίναις
» παρασκευάζεις. Οὐ γὰρ διὰ τὸ πονεῖν, ἀλλὰ διὰ τὸ μὴ
» ἔχειν, ὅ τι ποιῇς, ὕπνου ἐπιθυμεῖς. Τὰ δ' ἀφροδίσια πρὸ
» τοῦ δεῖσθαι ἀναγκάζεις, πάντα μηχανωμένη, καὶ γυναιξὶ
» καὶ ἀνδράσι χρωμένη· οὕτω γὰρ παιδεύεις τοὺς σαυτῆς
» φίλους, τῆς μὲν νυκτὸς ὑβρίζουσα, τῆς δὲ ἡμέρας τὸ χρη-
» σιμώτατον κατακοιμίζουσα. Ἀθάνατος δὲ οὖσα, ἐκ θεῶν μὲν
» ἀπέῤῥιψαι, ὑπὸ δὲ ἀνθρώπων ἀγαθῶν ἀτιμάζῃ. Τοῦ δὲ πάν-
» των ἡδίστου ἀκούσματος, ἐπαίνου ἑαυτῆς, ἀνήκοος εἶ, καὶ
» τοῦ πάντων ἡδίστου θεάματος ἀθέατος. Οὐδὲν γὰρ πώποτε
» σαυτῆς ἔργον καλὸν τεθέασαι. Τίς δ' ἄν σοι λεγούσῃ τι
» πιστεύσειε; τίς δ' ἂν δεομένῃ τινὸς ἐπαρκέσειεν; ἢ τίς ἂν εὖ
» φρονῶν τοῦ σοῦ θιάσου τολμήσειεν εἶναι; οἱ, νέοι μὲν
» ὄντες, τοῖς σώμασιν ἀδύνατοι εἰσὶ, πρεσβυτέροι δὲ γενόμενοι,
» ταῖς ψυχαῖς ἀνόητοι· ἀπόνως μὲν λιπαροὶ διὰ νεότητος φερό-
» μενοι, ἐπιπόνως δὲ αὐχμηροὶ διὰ γήρως περῶντες· τοῖς μὲν
» πεπραγμένοις αἰσχυνόμενοι, τοῖς δὲ πραττομένοις βαρυνό-
» μενοι· τὰ μὲν ἡδέα ἐν τῇ νεότητι διαδραμόντες, τὰ δὲ χαλεπὰ
» εἰς τὸ γῆρας ἀποθέμενοι. Ἐγὼ δὲ σύνειμι μὲν θεοῖς, σύν-
» ειμι δὲ ἀνθρώποις τοῖς ἀγαθοῖς· ἔργον δὲ καλὸν οὔτε θεῖον
» οὔτε ἀνθρώπινον χωρὶς ἐμοῦ γίγνεται. Τιμῶμαι δὲ μάλιστα
» πάντων παρὰ θεοῖς καὶ παρ' ἀνθρώποις, οἷς προσήκει·
» ἀγαπητὴ μὲν γὰρ συνεργός εἰμι τεχνίταις, πιστὴ δὲ φύλαξ
» οἴκων δεσπόταις, εὐμενὴς δὲ παραστάτις οἰκέταις, ἀγαθὴ δὲ
» συλλήπτρια τῶν ἐν εἰρήνῃ πόνων, βεβαία δὲ τῶν ἐν πολέμῳ
» σύμμαχος ἔργων, ἀρίστη δὲ φιλίας κοινωνός. Ἔστι δὲ τοῖς μὲν
» ἐμοῖς φίλοις ἡδεῖα μὲν καὶ ἀπράγμων σίτων καὶ ποτῶν ἀπό-
λαυσις·

» λαυσις· ἀνέχονται γὰρ ἕως ἂν ἐπιθυμήσωσιν αὐτῶν. Ὕπνος
» δὲ αὐτοῖς πάρεστιν ἡδίων ἢ τοῖς ἀμόχθοις· καὶ οὔτε ἀπολεί-
» ποντες αὐτὸν ἄχθονται, οὔτε διὰ τοῦτον μεθιᾶσι τὰ δέοντα
» πράττειν. Καὶ οἱ μὲν νέοι τοῖς τῶν πρεσβυτέρων ἐπαίνοις
» χαίρουσιν, οἱ δὲ γεραίτεροι ταῖς τῶν νέων τιμαῖς ἀγάλλον-
» ται· καὶ ἡδέως μὲν τῶν παλαιῶν πράξεων μέμνηνται, εὖ δὲ
» τὰς παρούσας ἥδονται πράττοντες, δι' ἐμὲ φίλοι μὲν θεοῖς
» ὄντες, ἀγαπητοὶ δὲ φίλοις, τίμιοι δὲ πατρίσιν. Ὅταν δὲ ἔλθῃ
» τὸ πεπρωμένον τέλος, οὐ μετὰ λήθης ἄτιμοι κεῖνται, ἀλλὰ
» μετὰ μνήμης τὸν ἀεὶ χρόνον ὑμνούμενοι θάλλουσι. Τοιαῦτά
» σοι, ὦ παῖ τοκέων ἀγαθῶν, Ἡράκλεις, ἔξεστι διαπονησαμένῳ
» τὴν μακαριστάτην εὐδαιμονίαν κεκτῆσθαι ».

Οὕτω πῶς διώκει Πρόδικος τὴν ὑπ' ἀρετῆς Ἡρακλέους παίδευσιν· ἐκόσμησε μέντοι τὰς γνώμας ἔτι μεγαλειοτέροις ῥήμασιν, ἢ ἐγὼ νῦν. Ὑμῖν δ' οὖν ἄξιον, ὦ νέοι, τούτων ἐνθυμουμένοις πειρᾶσθαί τι καὶ τῶν εἰς τὸν μέλλοντα χρόνον τοῦ βίου φροντίζειν.

394. ΔΥΩ ΣΚΥΛΑΚΕΣ (1).

Λυκοῦργος δύω σκύλακας λαβὼν ἀπὸ τῆς αὐτῆς μητρὸς ἔτρεφε, χωρὶς δὲ ἀλλήλων ἀνομοίοις ἤθεσι· τὸν μὲν κατ' οἶκον, ὄψα τε διδοὺς καὶ τὴν ἄλλην λιχνείαν, τὸν δὲ ἐν κυνηγεσίοις, θηρᾷν ἀναγκάζων καὶ σιβεύειν ἐν ὄρεσιν. Ὡς δὲ ἑκάτερος αὐτῶν ὅμοιος ἐγένετο τῇ τροφῇ, Σπαρτιάταις ἐκκλησιάζουσι πρὸς τοὺς περιοίκους πολέμου πέρι, καὶ ἀμηχανοῦσι, παραγαγὼν ἀμφοτέρους εἰς μέσον, καὶ σὺν αὐτοῖς δόρκους τε καὶ ζωμοὺς καὶ ὄψα ἐσκευασμένα, ἔλεξεν· Ἀλλ' ὅτι μέν, ὦ Σπαρτιᾶται, τοῦ εὖ

(1) Ἐκ τῶν Νικολάου τοῦ Δαμασκηνοῦ (Προδρομ. Ἑλληνικ. Βιβλιοθ. σελ. 240).

τε καὶ κακῶς πράττειν οὐκ ἄλλό ἐςιν αἴτιον πλὴν τὸ ἔθεσι χρῆσθαι φαύλοις ἢ σώφροσι, πάρεςιν ὑμῖν ὁρᾷν. Οἵδε γέ τοι (τοὺς σκύλακας δείξας), τῆς αὐτῆς μητρὸς ὄντες, ἐναντίως δὲ ἀλλήλοις τεθραμμένοι, παρ' αὐτὸ τοῦτο ἀνόμοιοι ἐκβεβήκασιν. Ὁ μὲν γὰρ θηρᾷν μαθὼν, ὁ δὲ λιχνεύειν, οὐδὲν [ἂν] ἀντὶ τοῦδε, εἰ παρείκοι, ποιήσειε. Καὶ ἅμα προσέταξε τῷ κυνουλκῷ μεθεῖναι ἀμφοτέρους ἐπὶ τὰ ἡτοιμασμένα. Τῶν δὲ, ὁ μὲν κατοικίδιος ἐπὶ τοὖψον ὥρμησεν, ὁ δὲ θηράτωρ ἐπὶ τὸν δόρκον, καὶ καταλαβὼν ἐσπάραττε.

Καὶ Λυκοῦργος πάλιν, Ταῦτα, ἔφη, νομίσατε, ὦ Σπαρτιᾶται, καὶ εἰς ὑμᾶς τείνειν καὶ τοὺς ἄλλους πάντας ἀνθρώπους. Ὁποίοις γὰρ ἂν ἔθεσι καὶ νόμοις χρῆσθε, τοιούτους ἀποβαίνειν ἀνάγκη πρός τε πόνους καὶ τροφήν· πάντα γὰρ ἀνθρώποις μαθητὰ οἱ θεοὶ ἔδοσαν. Ἕπεται δὲ τῷ μὲν πονεῖν ἐθέλειν τὸ ἐλευθέρους εἶναι, καὶ τὸ εὖ πράττειν, καὶ κρατεῖν πάντων· τῷ δὲ ἡδυπαθεῖν τό τε δουλεύειν καὶ κακουργεῖν, καὶ μηδενὸς ἀξίους εἶναι.

ΑΛΛΩΣ (1).

Λυκοῦργος ὁ τῶν Λακεδαιμονίων νομοθέτης, δύο σκύλακας τῶν αὐτῶν γονέων λαβὼν, οὐδὲν ὁμοίως ἀλλήλοις ἤγαγεν· ἀλλὰ τὸν μὲν ἀπέφηνε λίχνον καὶ σινάμορον, τὸν δὲ ἐξιχνεύειν καὶ θηρᾷν δυνατόν. Εἶτα ποτὲ τῶν Λακεδαιμονίων εἰς ταυτὸ συνειλεγμένων, Μεγάλη τοι ῥοπὴ πρὸς ἀρετῆς κτῆσίν ἐςιν, ἄνδρες, ἔφησε, Λακεδαιμόνιοι, καὶ ἔθη καὶ παιδεῖαι καὶ διδασκαλίαι, καὶ βίων ἀγωγαί. Καὶ ἐγὼ ταῦτα ὑμῖν αὐτίκα δὴ μάλα ποιήσω φανερά. Εἶτα προσαγαγὼν τοὺς δύο σκύλακας διαφῆκε, καταθεὶς εἰς μέσον λοπάδα καὶ λαγωὸν κατευθὺ τῶν σκυλάκων. Καὶ ὁ μὲν ἐπὶ τὸν λαγωὸν ᾖξεν· ὁ δὲ ἐπὶ τὴν λοπάδα

(1) Ἐκ τοῦ Πλουτάρχου (Περὶ παιδ. ἀγωγ. § 4).

ὥρμησε. Τῶν δὲ Λακεδαιμονίων οὐδέπω συμβαλεῖν ἐχόντων, τί ποτε αὐτῷ τοῦτο δύναται, καὶ τί βουλόμενος τοὺς σκύλακας ἐπεδείκνυεν, Οὗτοι γονέων, ἔφη, τῶν αὐτῶν ἀμφότεροι, διαφόρου δὲ τυχόντες ἀγωγῆς, ὁ μὲν, λίχνος, ὁ δὲ, θηρευτὴς ἀποβέβηκε.

395. ΦΥΣΑΛΛΙΔΕΣ (1)

ΕΘΈΛΩ σοι εἰπεῖν, ᾧ τινι ἐοικέναι μοι ἔδοξαν οἱ ἄνθρωποι, καὶ ὁ βίος ἅπας αὐτῶν. Ἤδη ποτὲ πομφόλυγας ἐν ὕδατι ἐθεάσω ὑπὸ κρουνῷ τινι καταῤῥάττοντι ἀνιςαμένας; τὰς φυσαλλίδας λέγω, ἀφ' ὧν ξυναγείρεται ὁ ἀφρός. Ἐκείνων τοίνυν αἱ μέν τινες μικραί εἰσι, καὶ αὐτίκα ἐκραγεῖσαι ἀπέσβησαν· αἱ δ' ἐπὶ πλέον διαρκοῦσι· καὶ προσχωρουσῶν αὐταῖς τῶν ἄλλων αὗται ὑπερφυσώμεναι εἰς μέγιςον ὄγκον αἴρονται· εἶτα μέντοι κἀκεῖναι πάντως ἐξεῤῥάγησάν ποτε· οὐ γάρ οἷόν τε ἄλλως γενέσθαι. Τοῦτό ἐςιν ὁ ἀνθρώπων βίος· ἅπαντες ὑπὸ πνεύματος ἐμπεφυσημένοι, οἱ μὲν μείζους, οἱ δ' ἐλάττους· καὶ οἱ μὲν ὀλιγοχρόνιον ἔχουσι καὶ ὠκύμορον τὸ φύσημα, οἱ δὲ ἅμα τῷ ξυςῆναι ἐπαύσαντο. Πᾶσι δ' οὖν ἀποῤῥαγῆναι ἀναγκαῖον.

Καὶ τοιοῦτοι ὄντες, ὁρᾷς οἷα ποιοῦσι καὶ ὡς φιλοτιμοῦνται πρὸς ἀλλήλους ἀρχῶν πέρι, καὶ τιμῶν, καὶ κτήσεων ἁμιλλώμενοι.. Ὦ μάταιοι, τί ἐσπουδάκατε περὶ ταῦτα; παύσασθε κάμνοντες· οὐ γὰρ ἐς ἀεὶ βιώσεσθε. Οὐδὲν τῶν ἐνταῦθα σεμνῶν ἴδιόν ἐςιν, οὐδ' ἄν ἀπάγοι τις αὐτῶν τι ξὺν αὐτῷ ἀποθανών· ἀλλ' ἀνάγκη, τὸν μὲν γυμνὸν οἴχεσθαι· τὴν οἰκίαν δὲ, καὶ τὸν ἀγρὸν καὶ τὸ χρυσίον ἀεὶ ἄλλων εἶναι, καὶ μεταβάλλειν τοὺς δεσπότας.

---

(1) Ἐκ τοῦ Λουκιανοῦ (Χάρ. ἢ ἐπισκοπ. § 19).

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

396. ΕΡΩΣ ΕΝ ΑΝΘΡΩΠΟΙΣ (1).

Ὅτε τοὺς ἀνθρώπους ὁ Ζεὺς ἐγέννησε, τὰ μὲν ἄλλα πάντα εἶχον, ὡς νῦν κεκόσμηνται· ἔρως δὲ οὔπω ταῖς ψυχαῖς τῶν ἀνθρώπων ἐγκατῳκίζετο, ἀλλ' ἔχων ἔτι τὸ πτερὸν ὁ θεὸς οὗτος μετάρσιον, οὐρανῷ τε ἐνωμίλει, καὶ εἰς θεοὺς μόνους ἐτόξευε. Δείσας δὲ μὴ αὐτῷ ἀφανισθῇ τῶν ποιημάτων τὸ κάλλιστον, ἔρωτα πέμπει τοῦ τῶν ἀνθρώπων γένους ἐσόμενον φύλακα. Ὁ δὲ, ταύτην ἐκ Διὸς τὴν ἐπιτροπὴν λαβὼν, τὸ μὲν ἁπάσαις ψυχαῖς ἐγκατοικίζεσθαι, ἢ πᾶν ἐπίσης ἦθος νεοτελές τε καὶ βέβηλον ἔχειν τέμενος, οὐκ ἐδοκίμαζεν· ἀλλὰ τὰς μὲν πολλὰς καὶ ἀγελαίους ψυχὰς τοῖς πανδήμοις ἔρωσι, τοῖς τῶν νυμφῶν παισὶ, ποιμαίνειν ἀπένειμεν, αὐτὸς δὲ ταῖς θείαις καὶ οὐρανίαις ψυχαῖς ἐνῳκίσατο, καὶ ταύτας ἀναβακχεύων ἐπὶ. μανίαν ἐρωτικὴν, μυρία ἀγαθὰ τὸ τῶν ἀνθρώπων γένος εἰργάσατο. Ὅταν μὲν οὖν ἴδῃς τινὰ βραδύν τε τὴν φύσιν, καὶ πρὸς φιλίαν δυσκίνητον, νόησον ὅτι τῶν ἔρωτος ἐκείνου ξενίων οὐδαμῶς οὗτος ἠξίωται· ὅταν δὲ ὀξὺν καὶ θερμὸν τὴν γνώμην, καὶ φλογὸς δίκην ἐπ' ἐρωτικὴν φιλίαν ᾄττοντα, νόησον τοῦτο εἶναι ἐκείνου ξένιον τοῦ ἔρωτος.

397. ΑΠΟΛΛΩΝ, ΜΟΥΣΑΙ ΚΑΙ ΝΥΜΦΑΙ ΔΡΥΑΔΕΣ (2).

Ὁ Ἀπόλλων, ἐπειδὰν εἰς μέλος ἁρμόσῃ τὴν λύραν, περιΐστανται μὲν αὐτὸν πανταχόθεν αἱ Μοῦσαι, καὶ χορὸς τῇ λύρᾳ γί-

(1) Ἐξ Ἱμερίου τοῦ σοφιστοῦ (Ἐκλογ. ί § 6, σελ. 178 ἐκδ. 1790)

(2) Ἐκ τοῦ αὐτοῦ (Λογ. κ' σελ. 720) παρειληφὼς συντέτμηκα τὸν ἐκείνῳ διὰ μακρῶν (οἷα φιλοῦσι σοφιστῶν παῖδες) πρὸς ἀτακτήσαντάς τινας τῶν αὐτοῦ φοιτητῶν ἀποσχεδιασθέντα μῦθον.

νονται. Ἀτὰρ δὴ καὶ θεαταὶ μελῳδίας ἔρχονται Δρυάδες τινὲς καὶ Ἀμαδρυάδες, νύμφαι ὄρειοι. Αἱ δὲ, ὅταν μὲν ἅμα ταῖς Μούσαις χορεύειν βούλωνται, θεαί τε εἶναι δοκοῦσι, καὶ ὡσπερεὶ Μοῦσαι νομίζονται. Ἐπειδὰν δέ τι πρὸς τὴν ἀκοὴν ἄγροικόν τε καὶ πονηρὸν σκίρτημα κατὰ τῆς λύρας σκιρτήσωσιν, ἀγανακτεῖ μὲν ὁ Ἀπόλλων· οὐ μὴν εὐθὺς ἐπὶ βέλη καὶ φαρέτραν ἔρχεται (Οὐ γὰρ οἷα περὶ αὐτοῦ λέγειν ἐν Ἰλιάδι τετόλμηκεν Ὅμηρος, τοιαῦτα καὶ Αἴσωπος μυθολογεῖ κατὰ τοῦ Ἀπόλλωνος). Ἀλλὰ μεθαρμόζει ἐκ προσηνοῦς εἰς τραχὺ μέλος τὴν λύραν, καὶ οὐ δακτύλοις, πλήκτρῳ δὲ τὰς χορδὰς πλήττει. Καὶ συναγανακτεῖ μὲν αὐτῷ, πρὸς νυμφῶν ἀδικουμένῳ, ὄρη καὶ νάπαι καὶ ποταμοὶ καὶ ὄρνιθες· ἤδη δὲ καὶ ὁ Ἑλικὼν αὐτὸς, ὑπὸ τοῦ πάθους μεταβληθεὶς εἰς ἄνθρωπον, φωνήν τε ἀφίησι, καὶ κατὰ νυμφῶν ῥήτωρ γίνεται· « Ποῖ φέρεσθε, ὦ νύμφαι; τίς οὗτος » ὑμᾶς πονηρὸς οἶστρος ἐξέμηνε; τί δὲ ἀφεῖσαι τὸν Ἑλικῶνα, τὸ » τῶν Μουσῶν ἐργαστήριον, ἐπὶ τὸν Κιθαιρῶνα σπεύδετε; » Συμφοραὶ ἐκεῖ καὶ πάθη καὶ τραγῳδίας πηγὴ τὰ Κιθαιρῶνος » ἐγκώμια. Ἐγὼ ποιητὰς ἐκ ποιμένων· ὁ δὲ ἄφρονας ἐκ σω» φρονούντων ἐργάζεται. Ἐκεῖ μήτηρ κατὰ παιδὸς μαίνεται, » καὶ πολεμεῖ τὸ γένος τῷ γένει· ἐνταῦθα Μουσῶν γοναὶ, καὶ » Μνημοσύνης κῆποι, καὶ τῶν γεννηθέντων τροφαί. Ἀπόλλωνι » μὲν οὖν συγχορευταὶ καὶ ξυμπαίστριες νῦν τέ εἰσι καὶ ἀεὶ » πάντως μελῳδοῦντι παρέσονται· τὸ δὲ ὑμέτερον πάθος δέ» δοικα, μὴ σκηνῆς τι μέρος καὶ σκυθρωπῆς ὑμῖν προοίμιον » τραγῳδίας γένηται· Ἀλλὰ τί ταῦτα; Φθάνουσι δή που τάχα » τῆς ἐμῆς δημηγορίας τὸ πέρας αἱ Νύμφαι· καὶ ἡ μὲν ἐκεῖ

Ἐπιμύθιον δ' ἂν προσάψαις αὐτῷ τόδε· « Οὕτω καὶ πολλοὶ τῶν φιλο» μούσων δοκούντων εἶναι, διὰ τῆς περὶ τὸν βίον ἀμουσίας ἀφρονέ» στεροι καὶ τῶν ὅλως ἀπαιδεύτων ὄντες ἐλέγχονται ».

» που πρὸς τὸν Θεὸν τῶν Νυμφῶν, ἡ δὲ μέλλει, ἡ δὲ ὅσον » οὔπω τῷ χορῷ τούτῳ προςήσεται. Δειναὶ γὰρ αἱ τῆς Ἀπόλ» λωνος λύρας ἴυγγες, καὶ πάντα κεςὸν Ἀφροδίτης παριοῦσαι » ταῖς χάρισι ».

398. [ΦΛ. 56]. ΔΙΟΓΕΝΗΣ ΟΔΟΙΠΟΡΩΝ (1).

Διογένης ὁ κυνικὸς, ὁδοιπορῶν, ὡς ἐγένετο κατά τινα ποταμὸν πλημμυροῦντα, εἱςήκει ἀμηχανῶν. Εἷς δέ τις τῶν διαβιβάζειν εἰθισμένων, θεασάμενος αὐτὸν διαποροῦντα, προσελθὼν, καὶ ἀράμενος αὐτὸν σὺν φιλοφροσύνῃ (2), διεπέρασεν αὐτόν. Ὁ δὲ εἱςήκει, τὴν αὐτοῦ πενίαν μεμφόμενος, δι' ἣν ἀμείψασθαι τὸν εὐεργέτην οὐκ ἠδύνατο (3). Ἔτι δὲ αὐτοῦ ταῦτα διανοουμένου, ἐκεῖνος, θεασάμενος ἕτερον ὁδοιπόρον διελθεῖν μὴ δυνάμενον, προσδραμὼν καὶ αὐτὸν διεπέρασε. Καὶ ὁ Διογένης προσελθὼν αὐτῷ εἶπεν· Ἀλλ' ἔγωγε οὐκέτι σοι χάριν ἔχω ἐπὶ τῷ γεγονότι· ὁρῶ γὰρ, ὅτι οὐ κρίσει, ἀλλὰ νόσῳ (4) αὐτὸ ποιεῖς.

Ὁ λόγος δηλοῖ, ὅτι [οἱ] μετὰ τῶν σπουδαίων καὶ τοὺς ἀνεπιτηδείους εὐεργετοῦντες, οὐκ εὐεργεσίας δόξαν, ἀλογιςίαν δὲ μᾶλλον ὀφλισκάνουσι.

---

(1) Ἀπὸ τοῦ 398 μύθου τούτου μέχρι τοῦ 425 (σελ. 276) ἐλήφθησαν ἐκ τῆς Φλωρεντινῆς ἐκδόσεως μῦθοι 28, οἱ οὐχ εὑρισκόμενοι ἐν ταῖς πρὸ ταύτης ἐκδόσεσι.

(2) ΗΔ, ἀντὶ τοῦ, Ἀράμενος αὐτοῦ τὴν φιλοφροσύνην.

(3) ΗΔ, ἀντὶ τοῦ, Οὐ δύναται.

(4) Τὸ τοῦ Ἐπιχάρμου ἔοικεν αἰνίττεσθαι (παρὰ Πλουτάρχῳ Ποπλικ. § 15) ὁ τὸν μῦθον συνθείς·

Οὐ φιλάνθρωπος τύ γ' ἐσσ'· ἔχεις νόσον·
Χαίρεις διδούς. . . . .

399. [ΦΛ. 80]. ΗΡΩΣ.

Ἥρωά τις ἐπὶ τῆς οἰκίας ἔχων, τούτῳ πολυτελῶς ἔθυεν. Ἀεὶ δὲ αὐτοῦ ἀναλισκομένου, καὶ πολλὰ εἰς θυσίαν δαπανῶντος, ὁ ἥρως, ἐπιστὰς αὐτῷ νύκτωρ, ἔφη· Ὦ οὗτος, πέπαυσο τὴν οὐσίαν διαφθείρων· ἐὰν γὰρ πάντα ἀναλώσῃς, καὶ πένης γένῃ, ἐμὲ αἰτιάσῃ.

Οὕτω πολλοὶ διὰ τὴν αὐτῶν ἀβουλίαν δυστυχοῦντες, τὴν αἰτίαν τοῖς Θεοῖς ἐπιγράφονται.

400. [ΦΛ. 100]. ΛΗΣΤΗΣ ΚΑΙ ΣΥΚΑΜΙΝΟΣ.

Λῃστὴς ἐν ὁδῷ τινα ἀποκτείνας, ἐπειδὴ παρὰ τῶν ὑποτυχόντων ἐδιώκετο, καταλιπὼν αὐτὸν, ἔφυγε. Τῶν δὲ ἄντικρυς ὁδευόντων, καὶ πυνθανομένων αὐτοῦ, τίνι μεμολυσμένας ἔχει τὰς χεῖρας, ἔλεγεν ἀπὸ συκαμίνων καταβεβηκέναι. Καὶ ὡς ταῦτα ἔλεγεν, οἱ διώκοντες αὐτὸν ἐπελθόντες, καὶ συλλαβόμενοι, εἴς τινα συκάμινον αὐτὸν ἐσαύρωσαν (1). Ἡ δὲ συκάμινος ἔφη· Ἀλλ' ἔγωγε οὐκ ἄχθομαι πρὸς τὸν θάνατον ὑπηρετοῦσα· καὶ γὰρ ὃν αὐτὸς ἀπειργάσω, εἰς ἐμὲ τοῦτον ἀφαιματοῦσι.

401. [ΦΛ. 139]. ΟΝΟΣ ΚΑΙ ΟΝΗΛΑΤΗΣ.

Ὄνος ὑπὸ ὀνηλάτου ἀγόμενος, ὡς μικρὸν ἀπὸ τῆς ὁδοῦ προῆλθεν, ἀφεὶς τὴν λείαν ἀτὰρ διὰ κρημνῶν ἐφέρετο. Μέλλοντος δὲ αὐτοῦ κατακρημνίζεθαι, ὁ ὀνηλάτης, ἐπιλαβόμενος τῆς οὐρᾶς, ἐπειρᾶτο μετάγειν αὐτόν. Τοῦ δὲ, εὐτόνως ἀντιπίπτοντος, ἀφεὶς αὐτὸν, ἔφη· Ὦ ὄνε, νίκα· κακὴν γὰρ νίκην νικᾷς.

Ὁ λόγος (2) πρὸς ἄνδρα φιλόνεικον.

---

(1) ΗΔ, ἀντὶ τοῦ, Ἔστρωσαν, ὥσπερ καὶ τὸ ἀνωτέρω, Αὐτοῦ, ἀντὶ τοῦ, Αὐτῷ.—(2) ΗΔ, ἀντὶ τοῦ, Ὅλως.

402. [ΦΛ. 347]. ΑΓΑΘΑ ΚΑΙ ΚΑΚΑ.

Αγαθὰ πάντα ὑπὸ τῶν κακῶν ἐδιώχθη, ὡς ἀσθενῆ ὄντα. εἰς οὐρανὸν δὲ ἀνῆλθον. Καὶ τὰ κακὰ ἠρώτησαν τὸν Δία, πῶς εἶναι μετὰ ἀνθρώπων. Ὁ δὲ εἶπε, Μετ' ἀλλήλων πάντα (1), ἓν δὲ καθ' ἓν τοῖς ἀνθρώποις ἐπέρχεσθαι. Διὰ τοῦτο, τὰ μὲν κακὰ συνεχῆ τοῖς ἀνθρώποις, ὡς πλησίον ὄντα, ἐπέρχεται, τὰ δὲ ἀγαθὰ βράδιον ἐξ οὐρανοῦ κάτεισι.

Ὁ λόγος δηλοῖ, ὅτι ἀγαθῷ μὲν οὐδεὶς ταχέως ἐπιτυγχάνει, ὑπὸ δὲ τῶν κακῶν ἕκαστος καθ' ἑκάστην πλήττεται.

403. [ΦΛ. 349]. ΕΡΜΟΥ ΑΜΑΞΑ ΚΑΙ ΑΡΑΒΕΣ.

Ερμῆς ποτε, ψεύσματα καὶ πανουργίας θεὶς εἰς ἅμαξαν, εἰς πᾶσαν γῆν ἀπῄει. Ὡς δὲ Ἀράβων κατήντησε τὴν χώραν, συντρίβει τὴν ἅμαξαν κενὴν φορτίων. Οἱ δὲ εἰς ἄλλους τόπους οὐκ εἴασαν ὁδεῦσαι, οὐδὲ τὰ κοινὰ τοῖς ἀνθρώποις ἐπιτελεῖν δυνάμενοι (2).

404. [ΦΛ. 352]. ΙΚΤΙΝΟΣ ΚΑΙ ΟΦΙΣ.

Ικτῖνος ὄφιν ἄνω πετάσας φέρει.
Ὁ δ', ἐπιστραφεὶς, καὶ δακὼν τοῦτον αὖθις,

---

(1) Γραπτέον, Καὶ τὰ ἀγαθὰ ἠρώτησαν τὸν Δία, πῶς εἴη μετὰ ἀνθρώπων. Ὁ δὲ εἶπε, Μὴ μετ' ἀλλήλων πάντα. Ἔχει δέ τι παραπλήσιον ὁ μῦθος τῷ ἀνωτέρω 360 σελ. 235.

(2) Ἐξ ἰαμβείων οὐ πάνυ μουσικῶν, ἐπὶ τέλει δὲ καὶ ἀδιανοήτων, διεσκεύασέ τις τὸν μῦθον καταλογάδην. Γνώσῃ δὲ, οὑτωσὶ τάξας·

Ἑρμῆς ποτε ψεύσματα καὶ πανουργιας
Θεὶς εἰς ἅμαξαν, εἰς πᾶσαν γῆν ἀπῄει.

Εὐθὺς ἔκτεινεν. Ὁ δ' ὄφις ἀνεβόα·
Ἵνα τί ἄρα οὕτως αὐτὸς ἐμάνης,
Ὥςε τοὺς μηδὲν ὅλως ἠδικηκότας,
Βλάπτειν ἐβούλου, καὶ θάνατον προσάγειν;
Ὅμως πέπονθας ὃ ἐβούλου μοι πρᾶξαι (1).

Ὅτι πλεονεξίᾳ τις προσέχων, καὶ τοὺς ἀσθενεῖς ἀδικῶν, ἰσχυροτέροις ἐμπεσὼν ποτε, καὶ μὴ ἐλπίζων, ἐκτίσει ἃ πρότερον πεποίηκε κακά.

405. [ΦΛ. 353]. ΚΑΜΗΛΟΣ.

Κάμηλος ἀναγκαζομένη ὑπὸ τοῦ ἰδίου δεσπότου ὀρχεῖσθαι, εἶπεν· Ἀλλ' οὐ μόνον ὀρχουμένη εἰμὶ ἄσχημος, ἀλλὰ καὶ περιπατοῦσα.

Ὁ λόγος ἁρμόδιος πρὸς ἄνδρα, [ἐν] παντὶ ἔργῳ ἀπρέπειαν ἔχοντι (2).

406. [ΦΛ. 355]. ΓΑΛΗ ΣΥΛΛΗΦΘΕΙΣΑ.

Γαλῆν δόλῳ τις συλλαβὼν τε καὶ δήσας,
Ἔπνιγε βάλλων (3) ὑδάτων συνεχείᾳ.
Τῆς δὲ λεγούσης, ὡς Κακὴν χάριν τίνεις
Ὧν ὠφέλουν, θηρῶσα μῦς τε καὶ σαύρας,
Ἐπιμαρτυρῶ σοί, φησιν· ἀλλὰ καὶ πάσας
Ἔπνιγες ὄρνις, πάντα δ' οἶκον ἠρήμους,

---

(1) Ἐν σχήματι πεζοῦ λόγου γεγραμμένον τοῦτόν τε τὸν μῦθον καὶ τὸν 406, εἰς τοὺς δωδεκασυλλάβους ἀποκατέςησα ςίχους.

(2) Ἴσ. γρ. Ἔχοντα.

(3) ΗΔ, ἀντὶ τοῦ, Βαλών.

Κρεῶν ἀνέῳγας ἄγγος· ὥςε τεθνήξῃ,
Βλάπτουσα μᾶλλον ἤπερ ὠφελοῦσά [με (1)].

Ὁ λόγος πρὸς τοὺς ὀλίγα μὲν ὠφελοῦντας, πλείονα δὲ βλάπτοντας.

407. [ΦΛ. 357]. ΛΕΩΝ, ΠΡΟΜΗΘΕΥΣ, ΚΑΙ ΕΛΕΦΑΣ.

Λέων κατεμέμφετο Προμηθέα πολλάκις, ὅτι μέγαν αὐτὸν ἔπλασε καὶ καλὸν, καὶ τὴν μὲν γένυν ὥπλισε τοῖς ὀδοῦσι, τοὺς δὲ πόδας ἐκράτυνε τοῖς ὄνυξιν, ἐποίησε δὲ καὶ (2) τῶν ἄλλων θηρίων δυνατώτερον· Ὁ δὲ τοιοῦτος, ἔφασκε, τὸν ἀλεκτρυόνα φοβοῦμαι. Καὶ ὁ Προμηθεὺς ἔφη· Τί με μάτην αἰτιᾷ (3); τὰ γὰρ ἐμὰ πάντα ἔχεις, ὅσα πλάττειν ἐδυνάμην· ἡ δέ σου ψυχὴ πρὸς τοῦτο μόνον μαλακίζεται. Ἔκλαιεν οὖν ἑαυτὸν ὁ λέων, καὶ τῆς δειλίας κατεμέμφετο, καὶ τέλος ἀποθανεῖν ἤθελεν. Οὕτω δὲ γνώμης ἔχων ἐλέφαντι περιτυγχάνει, καὶ προσαγορεύσας εἱςήκει διαλεγόμενος. Καὶ ὁρῶν διαπαντὸς τὰ ὦτα κινοῦντα, Τί πάσχεις, ἔφη, καὶ τί δήποτε οὐδὲ μικρὸν ἀτρεμεῖ σου τὸ οὖς; Καὶ ὁ ἐλέφας, κατὰ τύχην περιπτάντος αὐτῷ κώνωπος, Ὁρᾷς, ἔφη, τοῦτο τὸ βραχὺ βομβοῦν; ἢν εἰσδύνῃ μου [τῇ] τῆς ἀκοῆς ὁδῷ, τέθνηκα. Καὶ ὁ λέων, Τί οὖν ἔτι ἀποθνήσκειν, ἔφη, με δεῖ, τοσοῦτον ὄντα καὶ ἐλέφαντος εὐτυχέςερον, ὅσον κρείττων κώνωπος ὁ ἀλεκτρυών; ὁρᾷς ὅσον ἰσχύος ὁ κώνωψ ἔχει, ὡς καὶ ἐλέφαντα φοβεῖν.

408. [ΦΛ. 358]. ΛΕΩΝ ΚΑΙ ΑΕΤΟΣ.

Λέοντι προσπτὰς ἀετός [ποτ'] ἐζήτει
Κοινωνὸς εἶναι. Χ' ὡ λέων, Τί κωλύει;

---

(1) ΗΔ, ἀντὶ τοῦ, Βλαπτούσῃ μᾶλλον ἤπερ ὠφελοῦσα. — (2) ΗΔ, ἀντὶ τοῦ, Ἐποίησε δέ τε. — (3) ΗΔ, ἀντὶ τοῦ, Αἰτιᾷς.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Πρὸς αὐτὸν εἶπεν. Ἀλλ' ἐνέχυρον δώσεις,
Ταχύπτερόν σε μὴ μεθεῖναι τὴν πίστιν·
Πῶς γὰρ φίλῳ σοι μὴ μένοντι πιστεύσω (1);

Ὁ μῦθος ἐκδιδάσκει, μὴ τάχιστα πᾶσι πιστεύειν, καὶ μάλιστα τοῖς μήπω φίλοις.

409. [ΦΛ. 359]. ΛΥΚΟΣ ΚΑΙ ΛΕΩΝ (2).

Λύκος πλανώμενος ἐν ἐρήμοις τόποις, κλίνοντος ἤδη πρὸς δύσιν ἡλίου, δολιχὴν αὐτοῦ τὴν σκιὰν ἰδὼν, ἔφη· Λέοντ' ἐγὼ δέδοικα, τηλικοῦτος ὢν, πλέθρου δ' ἔχων τὸ μῆκος; οὐ θηρῶν ἁπλῶς πάντων δυνάστης ἀθρόων γενήσομαι; Λύκον δὲ γαυρωθέντα καρτερῶς λέων κατήσθιεν. Ὁ δὲ ἐβόησε μετανοῶν· Οἴησις ἡμῖν πημάτων παραιτία.

410. [ΦΛ. 360]. ΛΥΚΟΣ ΚΑΙ ΑΛΩΠΗΞ (3).

Λύκος τις ἁδρὸς ἐν λύκοις ἐγεννήθη·
Λέοντα δ' αὐτὸν ἐκάλει. Ὁ δ' ἀγνώμων
Τὴν δόξαν οὐκ ἤνεγκε. Τῶν δὲ συμφύλων
Ἀποστατήσας, τοῖς λέουσιν ὡμίλει.

---

(1) Ἐμέρισα εἰς δωδεκασυλλάβους στίχους, τοὺς πρότερον ἐν πεζοῦ λόγου σχήματι γεγραμμένους.

(2) Ἰαμβείοις καὶ οὗτος ὁ μῦθος ἐγέγραπτο πάλαι, ἣ δῆλον ἐκ τῶν ἔτι σωζομένων ἐν αὐτῷ τούτων·

Κλίνοντος ἤδη πρὸς δύσιν [τοῦ] ἡλίου,
Δολιχὴν αὐτοῦ κ. τ. λ.
Οἴησις ἡμῖν πημάτων παραιτία.

(3) Καταλογάδην καὶ τοῦτον γεγραμμένον διέκρινα εἰς τοὺς χωλιάμβους.

Κερδὼ δʼ ἐπισκώπτουσα, Μὴ φρενωθείην,
Ἔφη, τοσοῦτον, ὡς σὺ νῦν ἐτυφώθης·
Σὺ γὰρ ἀληθῶς ἐν λύκοις λέων φαίνῃ,
Εἰς δʼ αὖ λεόντων σύγκρισιν λύκος φαίνῃ.

Πρὸς τοὺς ὑπὸ τῶν κολάκων οὐκ ὀρθῇ κρίσει ἐπαινουμένους, καὶ μέγα φρονοῦντας, ἐλεγχομένους δὲ, ἑαυτοὺς ἐπιγινώσκειν.

411. [ΦΛ. 361]. ΛΥΚΟΣ ΚΑΙ ΚΥΩΝ.

Λύκος ἐν κλοιῷ δεδεμένον ὁρῶν μέγιστον κύνα ἤρετο· δήσας τίς ἐξέθρεψε τοῦτον; Ὁ δὲ ἔφη, Κυνηγός· ἀλλὰ τοῦτο μὴ πάθοι λύκος ἐμοὶ φίλος· λιμὸς γὰρ ἡ κλοιοῦ βαρύτης (1).

Ὁ λόγος δηλοῖ τὸ ἐν ταῖς συμφοραῖς μὴ δεῖν (2) γαστρίζεσθαι.

412. [ΦΛ. 368]. ΟΝΟΣ ΠΑΙΖΩΝ.

Ὄνος τις ἀναβὰς εἰς τὸ δῶμα, καὶ παίζων,
Τὸν κέραμον ἔθλα. Καί τις αὐτὸν ἀνθρώπων,
Ἐπιδραμὼν κατῆγε, τῷ ξύλῳ παίων.
Ὁ δʼ ὄνος πρὸς αὐτὸν, ὃς τὸν νῶτον ἤλεγχε,
Καὶ μὴν ὁ πίθηκος χθὲς, εἶπε, καὶ πρώην,
Ἔτερπεν ὑμᾶς αὐτὸ τοῦτο ποιήσας.

Ὁ μῦθος πρὸς ἄνδρας τοὺς ἐναντίως ἔχοντας τὰς δόξας, καὶ κινδύνους ἑαυτοῖς ἐπιφέροντας.

---

(1) Σώζει τινὰ καὶ οὗτος ὁ μῦθος κακῶν χωλιάμβων ἴχνη.

(2) ΗΔ, ἀντὶ τοῦ, Ἐν ταῖς συμφοραῖς οὐδὲ γαστρίζεσθαι.

413. [ΦΛ. 369]. ΟΡΝΙΘΟΘΗΡΑΣ, ΠΕΡΔΙΞ, ΚΑΙ ΑΛΕΚΤΟΡΙΣΚΟΣ.

Ορνιθοθήρᾳ φίλος ἐπῆλθεν αἴφνης,
Μέλλοντι θύμβραν, καὶ σέλινα δειπνήσειν.
Ὁ δὲ κλωβὸς εἶχεν οὐδέν· οὐ γὰρ ἠγρεύκει.
Ὥρμησε δὲ πέρδικα ποικίλον θύσων,
Ὃν ἡμερώσας εἶχεν εἰς τὸ θηρεύειν.
Ὁ δ' αὐτὸν οὕτως ἱκέτευε μὴ κτεῖναι,
[Λέγων], Τὸ λοιπὸν δικτύῳ τί ποιήσεις,
Ὅταν κυνηγῇς; τίς δέ σοι συναθροίσει
Εὐωπῶν ἀγέλην ὀρνέων φιλαλλήλων;
Τίνος μελῳδοῦ πρὸς [τὸν] ἦχον ὑπνώσεις;
Ἀφῆκε τὸν πέρδικα, καὶ γεννητὴν (1)
Ἀλεκτορίσκον συλλαβεῖν ἠβουλήθη.
Ὁ δ' ἐκ τοῦ τέγους κλαγγὸν (2) εἶπε φωνήσας·
Πόθεν μαθήσεις πόσσον εἰς ἕω λείπει,
Τὸν ὡρομαθὴν ἀπολέσας (3); πῶς γνώσῃ
Πότ' ἐννυχεύει χρυσότοξος Ὠρίων;
Ἔργων δὲ τίς σε πρωϊνῶν ἀναμνήσει,
Ὅτε δροσώδης ταρσός ἐστιν ὀρνίθων;
Κἀκεῖνος εἶπεν· Οἶδας (4) χρησίμους ὥρας·
Ὅμως δὲ δεῖ σχεῖν — τι δειπνήσει (5).

---

(1) Μῶν γραπτέον, Γενειήτην?

(2) Ἐγράφετο Κλαγγήν.

(3) Ἴσ. γρ. Τὸν ὡρομαθῆ γ' ἀπολέσας.

(4) Ἴσ. γρ. Οἶδα.

(5) Γραπτέον Δειπνήσω. Τὸν δὲ μῦθον ἐκ καλῶν τοῦ Βαβρίου χωλιαμβικῶν εἰς πεζὸν διασκευασθέντα μῦθον, ἀποκατέστησα, ὡς οἷόν τε

414. [ΦΛ. 370]. ΟΝΟΣ ΚΑΙ ΚΥΩΝ (1).

Ὄνος καὶ κύων ἐν ταὐτῷ ὡδοιπόρουν. Εὑρόντες δὲ ἐπὶ γῆς ἐσφραγισμένον γραμμάτιον, ὁ ὄνος λαβὼν, καὶ ἀναῤῥήξας τὴν σφραγῖδα, καὶ ἀναπτύξας, διεξῄει εἰς ἐπήκοον τοῦ κυνός. Περὶ βοσκημάτων δὲ ἐτύγχανε τὰ γράμματα, χόρτου τέ, φημι, καὶ κριθῆς καὶ ἀχύρου. Αηδῶς οὖν ὁ κύων, τοῦ ὄνου ταῦτα διεξιόντος, διέκειτο· ἔνθεν τι καὶ ἔφησε τῷ ὄνῳ· Ὑπόβαθι, φίλτατε, μικρὸν, μή τι καὶ περὶ κρεῶν καὶ ὀςέων εὕρῃς διαλαμβάνον. Ὁ δὲ ὄνος ἅπαν τὸ γραμμάτιον διεξελθὼν, καὶ μηδὲν εὑρηκὼς ὧν ὁ κύων ἐζήτει, ἀντέφησεν αὖθις ὁ κύων· Βαλε κατὰ γῆς, ὡς ἀδόκιμον πάντῃ, φίλε, τυγχάνον.

415. [ΦΛ. 371]. ΓΗΠΟΝΟΣ, ΟΝΟΣ, ΚΑΙ ΒΟΥΣ (2).

Ὄνον τις ἔχων, καὶ τῷ βοΐ συζεύξας, ἠροτρία, πτωχῶς μὲν, ἀλλ' ἀναγκαίως. Ἐπεὶ δὲ τὸ ἔργον ἐπληρώθη, λύειν μέλλων αὐτοὺς, ὁ ὄνος διηρώτα τὸν βοῦν, Τίς ἄξει τῷ γηπόνῳ τὰ σκεύη; Ὁ δὲ πρὸς αὐτὴν εἶπε· Πάντως ὅσπερ εἴωθεν.

416. [ΦΛ. 372]. ΠΑΡΑΚΑΤΑΘ. ΕΙΛΗΦ. ΚΑΙ ΟΡΚΟΣ.

Παρακαταθήκας τις λαβὼν φίλου ἀποςερεῖν διενοεῖτο. Καὶ δὴ προσκαλουμένου αὐτὸν ἐκείνου ἐπὶ ὅρκον, εὐλαβούμενος

ἦν, εἰς τὸ ἀρχαῖον. Τούτῳ δὲ μάλιςα προσήκει, ἃ προσεγράφησαν ἀνωτέρω (σελ. 7) τῷ ἕκτῳ.

(1) Σώζεται κἀν τῷδε τῷ μύθῳ χωλιάμβων ἀποσπαράγματα.

(2) Καὶ τυφλῷ δῆλον ὅτι εἰς χωλιάμβους καὶ οὗτος ἦν τὸ πάλαι ἐντεταμένος ὁ μῦθος,

Ὄνον τις ἔχων, καὶ τῷ βοΐ συζεύξας,
Ἠροτρία πτωχῶς μὲν, ἀλλ' ἀναγκαίως κ. τ. λ.

εἰς ἀγρὸν ἐπορεύετο. Γενόμενος δὲ κατὰ τὰς πύλας, ὡς ἐθεάσατό τινα χωλὸν ἐξιόντα, ἐπυνθάνετο αὐτοῦ τίς τε εἴη, καὶ ποῦ πορεύοιτο; Τοῦ δὲ εἰπόντος αὐτὸν ὅρκον εἶναι, καὶ ἐπὶ τοὺς ἀσεβεῖς βαδίζειν, ἐκ δευτέρου ἠρώτα, διὰ πόσου χρόνου φοιτᾷν ταῖς πόλεσιν εἴωθεν. Ὁ δὲ ἔφη· Διὰ τεσσαράκοντα ἐτῶν, ἐνίοτε δὲ καὶ διὰ τριάκοντα. Καὶ ὃς, οὐδὲν μελλήσας, τῇ ὑςεραίᾳ ὤμοσε μὴ εἰληφέναι τὴν παρακαταθήκην. Περιπεσὼν δὲ τῷ ὅρκῳ, καὶ ἀπαγόμενος ὑπ᾽ αὐτοῦ ἐπὶ κρημνὸν, ᾐτιᾶτο αὐτὸν ὡς, προειπὼν αὐτῷ *ὡς* διὰ τριάκοντα ἐτῶν ἐπιπορεύεσθαι, οὐδὲ πρὸς μίαν ἡμέραν ἄδειαν δέδωκεν. Ὁ δὲ ὑπολαβὼν ἔφη· Ἀλλ᾽ εὖ ἴσθι, ὡς ὅταν μέλλῃ τις ἀνιᾶσαι (1), καὶ αὐθημερὸν ἐπιφοιτᾷν εἴωθα.

Ὁ λόγος δηλοῖ, ὅτι ἀδιόριςός ἐςιν ἡ κατὰ τῶν ἀσεβῶν ἐκ θεοῦ τιμωρία.

417. [ΦΛ. 373]. ΠΟΙΜΗΝ ΚΑΙ ΛΥΚΟΣ (2).

Ποιμὴν μικρὸν λύκον εὑρὼν ἐθρέψατο, εἶτα σκύμνον γενόμενον ἐδίδαξεν ἁρπάζειν ἐκ τῶν σύνεγγυς ποιμνίων. Ὁ λύκος δὲ διδαχθεὶς ἔφη· Ὅρα, μήπως σὺ ἐθίσας με ἁρπάζειν, πολλὰ τῶν σεαυτοῦ προβάτων ζητήσῃς.

Οἱ τῇ φύσει δεινοὶ, ἁρπάζειν καὶ πλεονεκτεῖν μαθόντες, τοὺς διδάξαντας πολλάκις πλείονα ἔβλαψαν.

418. [ΦΛ. 374]. ΓΕΩΡΓΟΣ, ΠΑΙΣ, ΚΑΙ ΚΟΛΟΙΟΙ (3).

Πλειάδος δυσμαὶ ἦσαν σπόρου ἐν ὥρῃ.
Καί τις γεωργὸς ἐν κλήρῳ πυροὺς σπείρας,
Ἐφύλαττεν ἑςώς· καὶ γὰρ ἄκριτον πλήθει

(1) Ἴσ. γρ. Ἀνιᾶσαί με.

(2) Παραπλήσιος ὁ μῦθος τῷ ἀνωτέρω 71 μύθῳ (σελ. 42).

(3) Καὶ τοῦτον καταλογάδην γεγραμμένον, εἰς τὸ χωλιαμβικὸν ἀποκατέςησα μέτρον.

Μέλαν κολοιῶν ἔθνος ἦλθε δυσφώνων,
Καὶ ψᾶρες ὀρύκται σπερμάτων ἀρουραίων.
Τῷ δ᾽ ἠκολούθει σφενδόνην ἔχων κοίλην
Παιδίσκος. Οἱ δὲ ψᾶρες ἐκ συνηθείας
Ἤκουον εἰ τὴν σφενδόνην ποτ᾽ ἰθύνει,
Καὶ πρὶν βαλεῖν ἔφευγον. Εὗρε δὲ τέχνην
Ὁ γεωργὸς ἄλλην. Τόν τε παῖδα (1) φωνήσας
Ἐδίδασκεν· Ὦ παῖ, χρὴ γὰρ ὀρνέων ἡμᾶς
Σοφῶν δηλῶσαι φίλους· ἡνίκ᾽ ἂν τοίνυν
Ἔλθωσιν, ἐγὼ μὲν ἄρτον αἰτήσω,
Σὺ δ᾽ οὐ τὸν ἄρτον, σφενδόνην δέ μοι δώσεις.
Οἱ ψᾶρες ἦλθον, καὶ νέμοντο τὴν χώραν.
Ὁ δ᾽ ἄρτον αἰτεῖ, καθάπερ εἶχε συνθήκην·
Οἱ δ᾽ οὐκ ἔφυγον. Τῷ δ᾽ ὁ παῖς λίθων πλήρη
Τὴν σφενδόνην ἔδωκεν (2). Ὁ δὲ γέρων ῥίψας,
Τοῦ μὲν τὸ βρέγμα, τοῦ δ᾽ ἔτυψε τὴν κνήμην,
Ἑτέρου τὸν ὦμον. Οἱ δ᾽ ἔφυγον ἐκ χώρης.
Γέρανοι συνήντων, καὶ τὸ συμβὰν ἠρώτων.
Καί τις κολοιὸς εἶπε· Φεύγετ᾽ ἀνθρώπων
Γένος πονηρὸν, ἄλλα μὲν πρὸς ἀλλήλους
Λαλεῖν μαθόντων, ἄλλα δ᾽ ἔργα ποιούντων.

419. [ΦΛ. 377]. ΤΟΙΧΟΣ ΚΑΙ ΠΑΛΟΣ.

Τοῖχος σπαραττόμενος ὑπὸ πάλου (3) βιαίως, ἐφώνει· Τί με σπαράττεις μηδὲν ἠδικηκότα; Καὶ ὃς, Οὐκ ἐγώ, φησιν, αἴτιος τούτου, ἀλλ᾽ [ὁ] ὄπισθεν σφοδρῶς με τύπτων (4).

(1) ΗΔ, ἀντὶ τοῦ, Τότε παῖδα.—(2) ΗΔ, ἀντὶ τοῦ, Δέδωκεν.—(3) Ἐκ τοῦ Λατινικοῦ Palus, τοῦ δηλοῦντος τὸν Πάτταλον.—(4). Σώζει καὶ οὗτος ὁ μῦθος Ἰαμβείων ἴχνη.

420. [φλ. 378]. ΒΟΥΣ ΚΑΙ ΦΡΥΝΟΣ (1).

Φρύνου γέννημα συνεπάτησε βοῦς πίνων.
Ἐλθοῦσα δ' αὐτόσ' (οὐ παρῆν γὰρ) ἡ μήτηρ,
Παρὰ τῶν ἀδελφῶν ποῦ ποτ' ἦν ἐπεζήτει.
Τέθνηκε, μῆτερ, εἶπον, ἄρτι πρὸ τῆς ὥρας.
Ἦλθε γὰρ πάχιςον τετράπουν, ὑφ' οὗ κεῖται
Χηλῇ μαλαχθείς. Ἡ δὲ φρῦνος ἠρώτα,
Φυσῶσ' ἑαυτὴν, εἰ τοιοῦτον ἦν ὄγκῳ
Τὸ ζῶον. Οἱ δὲ, Παύου, μὴ ποιοῦ (1), μῆτερ·
Θᾶσσον σεαυτὴν, εἶπον, ἐκ μέσου ῥήξεις,
Ἢ τὴν ἐκείνου ποιότητα (2) μιμήσῃ.

Ὅτι ἐπικίνδυνον τοῖς ἐλάττοσι παρατείνεσθαι τοῖς μείζοσιν.

421. [φλ. 379]. ΧΑΡΑΔΡΙΟΣ ΚΑΙ ΑΥΤΟΥ ΠΑΙΔΕΣ. (3).

Χαραδριὸς (4) ἦν τις ἐν χλόῃ νεοττεύων,
Τῷ κορυδαλῷ πρὸς τὸν ὄρθρον ἀντᾴδων·
Καὶ παῖδας [εἶχε] ληΐου κόμαις θρέψας,
Λοφῶντας ἤδη καὶ πτεροῖσιν ἀκμαίους.
Ὁ δὲ τῆς ἀρούρης δεσπότης, ἐποπτεύων
Ἀνθηρὸν ὂν τὸ θέρος, εἶπε· Νῦν ὥρη
Πάντας καλεῖν με τοὺς φίλους, ἵν' ἀμήσω.

---

(1) Γραπτέον Πιοῦ, παρὰ τὸ μήπω καταχωρισθὲν ἐν τοῖς Λεξικοῖς Πιόομαι, συνώνυμον τοῦ Παχύνομαι.

(2) Καὶ ὧδε Γραπτέον Πιότητα, τουτέςι πάχος.

(3) Τοὺς τέως, πεζοῦ λόγου δίκην, κακῶς συνημμένους ἰάμβους εἰς τὸ ἀρχαῖον ἀποκατέςησα.

(4) Ὁ δὲ Αὖλος Γέλλιος πιθανωτέρως Κορυδαλὸν, οὐ Χαραδριὸν, τὸν πρωταγωνιςὴν ὑποτέθεικε τοῦ μύθου.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Καί τις χαραδριοῦ τῶν λοφοφόρων παίδων
Ἤκουσεν αὐτοῦ, τῷ τε πατρὶ μηνύει,
Σκοπεῖν κελεύων ποῦ σφέας μεταςήσει.
Ὁ δ' εἶπεν· Οὔπω καιρός ἐςι τοῦ φεύγειν·
Ὃς τοῖς φίλοις πέποιθεν οὐκ ἄγαν σπεύδει.
Ὡς δ' αὖθις ἐλθὼν, ἡλίου θ' ὑπ' ἀκτίνων
Ἤδη ῥέοντα τὸν ςάχυν θεωρήσας,
Μισθὸν μὲν ἀμήτορσιν αὔριον πέμψειν,
Μισθὸν δὲ πᾶσι δραγματοφόροις δώσειν ἔλεγε (1),
Εἶπε χαραδριὸς πᾶσι νηπίοις οὕτως·
Νῦν ἐςιν ὥρη, παῖδες, ἀλλαχοῦ φεύγειν,
Ὅτ' αὐτὸς αὐτῷ, κοὐ φίλοισι (2), πιςεύει.

Ὁ μῦθος διδάσκει ἡμᾶς ἐπιμελεῖσθαι τῶν οἰκείων, ὅση δύναμις, καὶ μὴ καταφρονεῖν, θαῤῥοῦντας ταῖς τῶν φίλων συνδρομαῖς.

ΑΛΛΩΣ.

ΓΕΩΡΓΟΣ ΚΑΙ ΚΟΡΥΔΑΛΟΣ (3).

Κορυδαλὸς, ἐν ληΐῳ τὴν νεοττιὰν ἐπήξατο. Ἐπεὶ δὲ καιρὸς ἀμητοῦ ἦν, καὶ ὁ γεωργὸς ἐκέλευε τὸν ἴδιον παῖδα, πρὸς τοὺς

(1) Οὐκ ἔῤῥωται ὁ ςίχος οὗτος.

(2) Ἐγράφετο, Φίλοις.

(3) Τοῦτον ἡμεῖς συντεθείκαμεν τὸν μῦθον, πρὸ τοῦ τῆς Φλωρεντινῆς εὐπορῆσαι ἐκδόσεως, μιμησάμενοι τὸν Λατινιςὶ γεγραμμένον ὑπὸ τοῦ Αὔλου Γελλίου (Νυκτ. Ἀττικ. Β, κθ'). Ἐςιχούργησε δὲ πάλαι τοῦτον καὶ ὁ Βαβρίας, ἢ δῆλον ἐκ τῶν ἐν τῷ προτέρῳ μύθῳ σωζομένων ἀποσπασματίων, ἃ καὶ παρὰ τῷ Σουΐδᾳ εὕρηται (λέξ. Λόφος),

Καὶ παῖδας εἶχε ληΐου κόμῃ θρέψας,
Λοφῶντας ἤδη καὶ πτεροῖσιν ἀκμαίους.

καὶ (λέξ. Ἀμᾷν),

Νῦν ἐςιν ὄντως, παῖδες ἐκ τόπων φεύγειν,
Ὅτ' αὐτὸς ἀμᾷ, κοὐ φίλοισι πιςεύει.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

φίλους ἰόντα, παρακαλεῖν ἐπὶ τὸ συλλαβέσθαι σφίσι τοῦ θερισμοῦ, οἱ νεοττοὶ πυθόμενοι, ἐδέοντο τοῦ γεννήσαντος εἰς ἕτερον αὐτοὺς μεταγαγεῖν τόπον. Ὁ δὲ, Μὴ φοβεῖσθε, φησὶ, τέκνα· οὐ γὰρ ἥξουσιν οἱ κεκλημένοι τῶν φίλων. Τούτου δὲ, ὡς προειρήκει, γενομένου, ὁ γεωργὸς ἐπὶ τοὺς συγγενεῖς ἔπεμψε τὸν παῖδα, τῶν αὐτῶν δεησόμενον. Δεισάντων οὖν αὖθις τῶν νεοττῶν, καὶ καταλιπεῖν ἐπειγομένων τὸ λήϊον, θυμὸν ἔχειν ἀγαθὸν, ὡς μηδὲ τῶν συγγενῶν ἐλευσομένων, ὁ γεννήσας αὐτοῖς παρεκελεύετο. Καὶ τούτου πάλιν οὕτω συμβάντος, ὁ γεωργὸς, Ἀλλ' ἡμεῖς, ὦ παῖ, φησὶν, αὐτοὶ δι' αὐτῶν τὸν σῖτον ἀμήσομεν αὔριον, οἰκείοις καὶ συγγενέσι μακρὰ χαίρειν φράσαντες. Ὡς δὲ καὶ τοῦτο, τῶν νεοττῶν μηνυσάντων, ὁ κορυδαλὸς ἐπύθετο, Νῦν ὄντως, ὦ τέκνα, φησὶ, φευκτέον ἡμῖν ἐντεῦθεν, ἡνίκα, μηκέτι φίλοις μηδὲ συγγενέσι πιστεύων, αὐτὸς μετὰ τοῦ παιδὸς τέμνειν διανοεῖται τὸ λήϊον.

422. [ΦΛ. 380]. ΧΕΙΜΩΝ ΚΑΙ ΕΑΡ.

Χειμὼν ἔσκωψεν εἰς τὸ ἔαρ, καὶ αὐτὸ ὠνείδισεν, ὅτι εὐθὺς φανέντος ἡσυχίαν ἄγει ἔτι οὐδείς· ἀλλ' ὁ μέν τις ἐπὶ λειμῶνας, καὶ ἄλση γίνεται, ὅτῳ ἄρα φίλον δρέπεσθαι ἀνθέων, καὶ κρίνων, ἢ καὶ ῥόδον τι, περιαγαγεῖν τε τοῖς ἑαυτοῦ ὄμμασιν, καὶ παραθέσθαι *ἢ* παρὰ τὴν κόμην· ὁ δὲ, ἐπιβὰς νεὼς, καὶ διαβαίνων πέλαγος, εἰ τύχοι (1), παρ' ἄλλους ἤδη ἀνθρώπους ἔρχεται· καὶ ὅτι ἅπαντες ἀνέμων, ἢ πολλοῦ ἐξ ὄμβρων ὕδατος ἔχουσι φροντίδα οὐκέτι. Ἐγὼ [δὲ], ἔφη, ἄρχοντι καὶ αὐτοδεσπότῃ ἔοικα, καὶ οὐδὲ εἰς οὐρανὸν, ἀλλὰ κάτω που, καὶ εἰς τὴν γῆν ἐπιτάττω βλέπειν, καὶ δεδιέναι καὶ τρέμειν, καὶ ἀγαπητῶς διημερεύειν ἔστιν ὅτε οἴκοι ἠνάγκασα. Τοιγαροῦν, ἔφη

(1) Ἐγράφετο, Ἐν τύχῃ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

τὸ ἔαρ, σοῦ μὲν καὶ ἀπαλλαγεῖεν [ἂν] ἄνθρωποι ἀσμένως· ἐμοῦ δὲ αὐτοῖς καλὸν καὶ αὐτὸ εἶναι δοκεῖ τοὔνομα, καὶ νὴ μὰ Δία γε ὀνομάτων κάλλιστον· ὥστε καὶ ἀπόντος μέμνηνται, καὶ φανέντος ἐπαγάλλονται.

423. [φλ. 381]. ΧΕΛΙΔΩΝ ΚΑΙ ΚΟΡΩΝΗ (1).

Χελιδὼν ἔφη πρὸς τὴν κορώνην· Ἐγὼ παρθένος, καὶ Ἀθηναία, καὶ βασίλισσα, καὶ βασιλέως τῶν Ἀθηνῶν θυγάτηρ· προσέθηκε δὲ καὶ τοῦ Τηρέως τὴν βίαν, καὶ τὴν ἀποκοπὴν τῆς γλώττης. Καὶ ἡ κορώνη ἔφη· Τί ἂν ἐποίησας, εἰ τὴν γλῶτταν εἶχες, ὅπου τμηθείσης τοσαῦτα λαλεῖς;

Ὅτι οἱ διὰ τοῦ λόγου ἀλαζόνες ψευδολογοῦντες ἑαυτοῖς ἔλεγχος καθίστανται.

424. [φλ. 382]. ΨΥΛΛΑ ΚΑΙ ΒΟΥΣ (2).

Ψύλλα δή ποτε τὸν βοῦν οὕτως ἠρώτα· Τί δὴ παθὼν ἀνθρώποις ὁσημέραι δουλεύεις, καὶ ταῦτα ὑπερμεγέθης καὶ ἀνδρεῖος τυγχάνων, ἐμοῦ σάρκας αὐτῶν οἰκτίστως διασπώσης, καὶ τὸ αἷμα χανδὸν πινούσης; Καὶ ὅς, Οὐκ ἄχαρις ἔσομαί, φησι, μερόπων γένει· στέργομαι γὰρ παρ' αὐτῶν καὶ φιλοῦμαι ἐκτόπως, τρίβομαί τε συχνῶς μέτωπόν τε καὶ ὤμους. Ἡ δὲ, Ἀλλ' ἐμοί γοῦν τέως τῇ δειλαίᾳ ἡ σοὶ φίλη τρίψις οἴκτιστος μόρος, ὅτε καὶ τύχοι, συμβαίνει.

Ὅτι οἱ διὰ τοῦ λόγου ἀλαζόνες, καὶ ὑπὸ τοῦ εὐτελοῦς ἡττῶνται.

---

(1) Ἐκ τούτου τοῦ μύθου Γρηγόριος ὁ Θεολόγος ἔοικε πλάσαι τὸν ἐπιγραφόμενον «Χελιδόνες καὶ Κύκνοι», ὃν ἀνωτέρω (σελ. 220) κατεχωρίσαμεν.

(2) Ἐξ Ἰάμβων εἰς πεζὸν λόγον ἀμούσως συνεφορήθη καὶ οὗτος ὁ μῦθος· ὃν εἰς τὸ ἀρχαῖον ἀποκαταστῆσαι, μὴ οὐ πλεῖστα μετακινήσαντα τῆς γραφῆς, οὐχ οἷόν τε. Ἔστι δὲ καὶ τὸ ἐπιμύθιον ὅλως ἀπροσδιόνυσον.

425. [φλ. 423]. ΚΛΕΠΤΗΣ ΚΑΙ ΠΑΝΔΟΧΕΥΣ (1).

Κλέπτης κατέλυσεν ἔν τινι πανδοχείῳ· διέμεινε δὲ ἐκεῖ ἡμέρας τινὰς προσδοκῶν κλέψαι τι. Ὡς δὲ οὐκ ἐδύνατο τοῦτο ποιῆσαι, μιᾷ τῶν ἡμερῶν ἰδὼν τὸν πανδοχέα ἐνδυθέντα χιτῶνα ὡραῖον καὶ καινὸν (ἦν γὰρ ἑορτὴ), καὶ καθεζόμενον πρὸ τῆς πύλης τοῦ πανδοχείου, καὶ οὐδένα ἄλλον τυχόντα ἐκεῖ, ἀπελθὼν καὶ ὁ κλέπτης ἐκάθισε πλησίον τοῦ πανδοχέως, καὶ ἤρξατο διηγεῖσθαι μετ᾽ αὐτοῦ. Καὶ διηγούμενοι ὥρᾳ ἱκανῇ, ἐχασμήσατο ὁ κλέπτης, καὶ ὁμοῦ μετὰ τὸ χασμᾶσθαι (2) ὠρυᾶτο ὥσπερ λύκος. Ὁ δὲ πανδοχεύς φησι πρὸς αὐτόν· Τί οὕτως ποιεῖς; Καὶ ὁ κλέπτης ἀπεκρίθη· Νῦν ἀναγγέλλω σοι (3)· ἀλλὰ δέομαί σου ἵνα φυλάξῃς τὰ ἱμάτιά μου· ἐνταῦθα γὰρ καταλείψω. Ἐγὼ, κύριέ μου, οὐκ οἶδα πόθεν μοι ἐπέρχεται τὸ χασμᾶσθαι οὕτως, ἢ διὰ τὰς ἁμαρτίας μου, ἢ διὰ ποίαν αἰτίαν οὐ γινώσκω· ὅταν οὖν χασμηθῶ τρεῖς βολὰς, γίνομαι λύκος ἐσθίων ἀνθρώπους. Καὶ ταῦτα εἰπὼν ἐχασμήσατο ἐκ δευτέρου, καὶ πάλιν ὠρυᾶτο καθάπερ καὶ τὸ πρῶτον. Ἀκούσας οὖν ταῦτα ὁ πανδοχεὺς, καὶ πιςεύσας τῷ κλέπτῃ (4) ἐφοβήθη· καὶ ἀναςὰς ἠβούλετο φυγεῖν. Ὁ δὲ κλέπτης, δραξάμενος αὐτὸν τοῦ χιτῶνος, παρεκάλει αὐτὸν λέγων· Ἀνάμεινον, κύριέ μου, καὶ λαβὲ τὰ ἱμάτιά μου, ἵνα μὴ ἀπολέσω αὐτά. Καὶ παρακαλῶν αὐτὸν, ἀνοίξας τὸ ςόμα αὐτοῦ, ἤρξατο χασμᾶσθαι ἐκ τρίτου. Ὁ δὲ πανδοχεὺς, φοβηθεὶς μήπως φάγῃ αὐτὸν, κατέλιπε τὸν ἑαυτοῦ χιτῶνα, καὶ εἰσελθὼν δρο-

---

(1) Οὗτός ἐςιν ὁ τελευταῖος ὧν ἔφην (σελ. 262) μύθων 28 τῶν ἐκ τῆς Φλωρεντινῆς ληφθέντων ἐκδόσεως.

(2) Ἴσ. γρ. Μετὰ τοῦ χασμᾶσθαι.

(3) Γραπτέον, Ἀναγγελῶ σοι.

(4) Ἐγράφετο, Τοῦ κλέπτου.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

μαῖος (1) εἰς τὸ πανδοχεῖον, κατησφαλίσατο εἰς τὸ ἐνδότερον. Καὶ ὁ κλέπτης λαβὼν τὸν χιτῶνα ἀπῆλθεν.

Οὕτω πανθάνουσιν οἱ τὰ μὴ ἀληθῆ πιστεύοντες.

426. ΑΙΣΩΠΟΣ ΚΑΙ ΚΥΩΝ (2).

Αἴσωπον ἀπὸ δείπνου βαδίζονθ' ἑσπέρας
Θρασεῖα καὶ μεθύση τις ὑλάκτει κύων.
Κἄπειτ' ἐκεῖνος εἶπεν· Ὦ κύον, κύον,
Εἰ, νὴ Δί', ἀντὶ τῆς κακῆς γλώττης ποθὲν
Πυροὺς πρίαιο, σωφρονεῖν ἄν μοι δοκοῖς.

---

(1) Ἐγράφετο, Δρομέως.
(2) Ἐκ τοῦ Ἀριστοφάνους (Σφηκ. 1401).

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΟΙ ΠΑΡΑΛΕΙΦΘΕΝΤΕΣ

ΠΑΡΑΛΛΗΛΟΙ ΜΥΘΟΙ (1).

1. [ΦΛ. 1]. ΑΕΤΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.

Αετὸς καὶ Ἀλώπηξ, φιλίαν πρὸς ἀλλήλους ποιησάμενοι, πλησίον ἑαυτῶν οἰκεῖν διέγνωσαν, βεβαίωσιν φιλίας *καὶ* τὸ ἐν ταὐτῷ εἶναι ἡγούμενοι. Καὶ δὴ ὁ μὲν, ἀναβὰς ἐπί τι περίμηκες δένδρον, ἐνεαττοποιήσεν· ἡ δὲ, εἰσελθοῦσα εἰς τὸν ὑποκείμενον θάμνον, ἔτεκεν. Μετ᾽ οὐ πολλὰς δὲ ἡμέρας, ἐξελθούσης αὐτῆς ποτε ἐπὶ νομὴν, ἀπορῶν ὁ ἀετὸς τροφῆς, καταπτὰς εἰς τὸν θάμνον, καὶ τὰ γεννήματα ἁρπάσας, μετὰ τῶν ἑαυτοῦ νεοττῶν κατεθοινήσατο. Ἡ δὲ ἀλώπηξ ἐπανιοῦσα, ὡς ἔγνω τὸ πραχθὲν, οὐ μᾶλλον ἐπὶ τῷ τῶν νεοττῶν θανάτῳ ἐλυπήθη, ὅσον ἐπὶ τῇ ἀμύνῃ· χερσαία γὰρ οὖσα, πετεινὸν διώκειν ἠδυνάτει. Διόπερ πόῤῥωθεν ϛᾶσα, ὃ τοῖς ἀσθενέσι καὶ ἀδυνάτοις ὑπάρχει ἔργον, τὸν ἐχθρὸν (2) κατηρᾶτο. Συνέβη οὖν αὐτοῖς, ἀντὶ τῆς πολλῆς ἀγάπης, μεγίϛην ἔχθραν ἐσχηκέναι μεταξὺ ἀλλήλων. Ὁ δὲ θεὸς, τῆς εἰς τὴν φιλίαν γενομένης ἀσεβείας, οὐκ εἰς μακρὰν δίκην περιέσχε (3)· θυόντων γάρ τινων αἶγα ἐπ᾽ ἀγροῦ (4),

(1) Ἐνθάδε προσθεῖναι δεῖν ἔγνωκα καὶ τοὺς ἐξ ἑτέρων ἐκδόσεων, καὶ πρώτης τῆς Φλωρεντικῆς, μύθους, ὑπόθεσιν μὲν ἔχοντας ὁμοίαν ἢ παραπλησίαν πολλοῖς τῶν ἐκδεδομένων μοι 426 μύθων, διεννοχότας δὲ τῇ γραφῇ τε καὶ συνθήκῃ. — (2) Ἴσ. γρ. Τῷ ἐχθρῷ. — (3) Ἴσ. ἐγέγραπτο Παρέσχε, οὐχ ἧττον μὲν βαρβάρως, μᾶλλόν γε μὴν νοητῶς. — (4) Ἐγράφετο, Ἐπ᾽ ἀγρῷ.

ὁ ἀετὸς καταπτὰς, ἀπὸ τοῦ βωμοῦ σπλάγχνον ἔμπυρον ἀνήνεγκεν ἐπὶ τὴν καλιάν· οὗ κομισθέντος (1) ἐπὶ τῇ καλιᾷ, σφοδρὸς ἐμπεσὼν ἄνεμος (ὑπάρχουσα (2) δὲ ἡ καλιὰ ἐκ λεπτοῦ καὶ παλαιοῦ χόρτου), λαμπρὰν φλόγα ἀνῆψε. Καὶ διὰ τοῦτο καταφλεχθέντες οἱ νεοττοὶ, καὶ γὰρ ἦσαν ἔτι πτηνοὶ (3) ἀτελεῖς, ἐπὶ τὴν γῆν κατέπεσον· ἡ δὲ ἀλώπηξ προσδραμοῦσα, ἐν ὄψει τοῦ ἀετοῦ, πάντας αὐτοὺς κατέφαγεν.

Ὁ λόγος δηλοῖ, ὅτι οἱ φιλίαν παρασπονδοῦντες, κἂν τὴν ἐκ τῶν ἠδικημένων ἐκφύγωσι κόλασιν δι' ἀσθένειαν, ἀλλά γε τὴν ἐκ τοῦ Θεοῦ τιμωρίαν οὐ διακρούσονται.

ΑΛΛΩΣ (4).

Ἀετὸς καὶ Ἀλώπηξ, φιλεῖν ἀλλήλους συνθέμενοι, πλησίον ἑαυτῶν οἰκεῖν διέγνωσαν, βεβαίωσιν φιλίας τὴν συνήθειαν ποιούμενοι. Καὶ δὴ ὁ μὲν, ἀναβὰς ἐπί τι περίμηκες δένδρον, ἐτεκνοποιήσατο. Ἡ δὲ, εἰσελθοῦσα εἰς τὸν ὑποκείμενον θάμνον, ἔτεκεν. Ἐξελθούσης δέ ποτε αὐτῆς ἐπὶ νομὴν, ὁ ἀετὸς ἀπορῶν τροφῆς, καταπτὰς εἰς τὸν θάμνον, καὶ τὰ γεννήματα ἀναρπάσας, μετὰ τῶν αὐτοῦ νεοττῶν κατεθοινήσατο. Ἡ δὲ Ἀλώπηξ, ἐπανελθοῦσα, ὡς ἔγνω τὸ πραχθὲν, οὐ μᾶλλον ἐπὶ τῷ τῶν νεοττῶν θανάτῳ ἐλυπήθη, ὅσον ἐπὶ τῇ ἀμύνῃ· χερσαία γὰρ οὖσα πτηνὸν διώκειν ἠδυνάτει. Διὸ πόῤῥωθεν ςᾶσα, ὃ μόνον τοῖς ἀσθενέσι καὶ ἀδυνάτοις ὑπολείπεται, τῷ ἐχθρῷ κατηρᾶτο. Συνέβη δ' αὐτῷ τῆς εἰς τὴν φιλίαν ἀσεβείας οὐκ εἰς μακρὰν δίκη ὑπὸ [Θεοῦ]· θυόντων γάρ τινων αἶγα ἐπ' ἀγροῦ, καταπτὰς

(1) Ἐγράφετο, Κωλυθέντος.

(2) Γραπτέον, Ὑπῆρχε.

(3) Ἐγράφετο κακῶς, Πτῆναι.

(4) Ἐκ τῶν Συμμίκτων Φιλολογικῶν (Λειψ. 1809, Μέρ. Α, σελ. 16).

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ἀπὸ τοῦ βωμοῦ σπλάγχνα καὶ πῦρ ἀνήνεγκεν. Οὗ κομισθέντος εἰς τὴν καλιὰν, σφοδρὸς ἐμπεσὼν ἄνεμος ἐκ λεπτοῦ καὶ παλαιοῦ κάρφους λαμπρὰν φλόγα ἀνῆψε. Καὶ διὰ τοῦτο καταφλεχθέντες οἱ νεοττοὶ (καὶ γὰρ ἦσαν ἔτι πτηνοὶ ἀτελεῖς), ἐπὶ τὴν γῆν κατέπεσον. Καὶ ἡ ἀλώπηξ προσδραμοῦσα ἐν ὄψει τοῦ ἀετοῦ πάντας αὐτοὺς κατέφαγεν.

Ὁ λόγος δηλοῖ, ὅτι οἱ φιλίαν παρασπονδοῦντες, κἂν τὴν τῶν ἠδικημένων ἐκφύγωσι κόλασιν, δι' ἀσθένειαν, ἀλλ' οὖν γε τὴν ἐκ θεῶν τιμωρίαν διακρούονται οὐδ' ὅλως.

3. [ΦΛ. 2]. ΑΗΔΩΝ ΚΑΙ ΙΕΡΑΞ.

Ἀηδὼν ἐπί τινος δρυὸς ὑψηλῆς καθημένη, ᾖδε κατὰ τὸ σύνηθες. Ἱέραξ δὲ αὐτὴν θεασάμενος, ἀπορῶν τροφῆς, ἐπιπτὰς ἀνελάβετο αὐτήν. Ἡ δὲ, μέλλουσα ἀναιρεῖσθαι, ἐδέετο αὐτοῦ, λέγουσα μὴ βρωθῆναι αὐτὴν, ἐπειδὴ οὐχ ἱκανή ἐστιν ἱέρακος πληρῶσαι γαστέρα· δεῖ δὲ αὐτὸν, εἰ τροφῆς ἀπορεῖ, ἐπὶ τὰ μείζονα τῶν ὀρνέων τρέπεσθαι. Ὑπολαβὼν δὲ ὁ ἱέραξ ἔφη· Ἀλλ' ἔγωγε ἄφρων ἂν εἴην, εἰ τὴν ἐν χερσὶν ἑτοίμην βορὰν παρεὶς, τὰ μηδέπω φαινόμενα διώκοιμι.

Ὁ μῦθος δηλοῖ, ὅτι οὕτω καὶ τῶν ἀνθρώπων ἀλόγιστοί εἰσιν, οἵτινες δι' ἐλπίδα μειζόνων τὰ ἐν χερσὶν οὐ προσίενται.

4. [ΦΛ. 4]. ΑΛΩΠΗΞ ΚΑΙ ΤΡΑΓΟΣ.

Ἀλώπηξ πεσοῦσα εἰς φρέαρ βαθὺ, ἔμενε, πρὸς τὴν ἀνάβασιν ἀμηχανοῦσα. Τράγος δὲ, δίψει συνεχόμενος, ὡς ἐγένετο κατὰ τὸ αὐτὸ φρέαρ, θεασάμενος αὐτὴν, ἐπυνθάνετο εἰ καλὸν εἴη τὸ ὕδωρ. Ἡ δὲ τὴν δυστυχίαν ἀσμενισαμένη, πολὺν ἔπαινον τοῦ ὕδατος κατέτεινε, λέγουσα, ὡς χρηστὸν εἴη, καὶ διειδὲς πάνυ,

καταβῆναί τε παρῄνει. Τοῦ δὲ ἀμεταμελήτως καθαλλομένου (1), διὰ τὸ εἰς μόνην ὁρᾷν τότε τὴν ἐπιθυμίαν, καὶ τὸ τὴν δίψαν σβέσαι, ἅμα τῷ κορεσθῆναι τοῦ ὕδατος, σκοπουμένου τὴν ἄνοδον, χρήσιμόν τι ἡ ἀλώπηξ ἔφη ἐπινενοηκέναι εἰς τὴν ἀμφοτέρων σωτηρίαν. Ὁ τράγος ἔφη, Πῶς; Ἡ ἀλώπηξ εἶπε· Τοὺς ἐμπροσθίους σου πόδας τῷ τοίχῳ προσέρεισον, καὶ στῆθι ὀρθὸς, ἔγκλινον δὲ καὶ τὰ κέρατα. Ἀναδραμοῦσα τοίνυν ἐγὼ διὰ τοῦ σοῦ νώτου, καὶ ἀρθεῖσα ἄνωθεν, εὐθέως παραχρῆμα καὶ σὲ ἀνελκύσω ἔξω. Τοῦ δὲ πρὸς ταῦτα (2) ἑτοίμως τὴν παραίνεσιν ὑπηρετήσαντος, ἡ ἀλώπηξ ἀλλομένη (3) διὰ τῶν σκελῶν αὐτοῦ, ἐπὶ τὰ νῶτα ἀνέβη, καὶ ἀπ' ἐκείνου ἐπὶ τὰ κέρατα διερεισαμένη, καὶ γενναίως ἐκτινάξασα, ἐπὶ τοῦ στόματος τοῦ φρέατος εὑρέθη, καὶ ἀνελθοῦσα ἀπηλλάττετο. Ὀρχουμένης δὲ αὐτῆς, καὶ παιζούσης, ὁ τράγος μυκτηρίζων αὐτὴν, καὶ ὀνειδίζων, ὡς τὰς ὁμολογίας καὶ ὑποσχέσεις παραβαίνουσαν, ἐπιστραφεῖσα εἶπεν· Ὦ οὗτος, ἀλλ' εἰ τοσαύτας φρένας εἶχες, ὁπόσας ἐν τῷ πώγωνί σου τρίχας, οὐ πρότερον καταβέβηκας (4), πρὶν ἂν τὴν ἄνοδον διεσκέψω.

Ὁ μῦθος δηλοῖ, ὅτι οὕτω καὶ τὸν φρόνιμον ἄνθρωπον δεῖ πρότερον τὰ τέλη τῶν πραγμάτων σκοπεῖν, εἶθ' οὕτως αὐτοῖς ἐγχειρεῖν.

ΑΛΛΩΣ (5).

Ἀλώπηξ πεσοῦσα εἰς φρέαρ, ἐπ' ἀνάγκης (6) ἔμενε, πρὸς τὴν ἀνάβασιν ἀμηχανοῦσα. Τράγος δὲ, δίψῃ συνεχόμενος, ὡς ἐγένετο κατὰ τὸ αὐτὸ φρέαρ, θεασάμενος αὐτὴν ἐπυνθάνετο, εἰ καλὸν εἴη τὸ ὕδωρ. Ἡ δὲ, τὴν δυστυχίαν ἀσμενισαμένη, πολλὸν

(1) Γραπτέον, Ἀμελετήτως καθαλομένου.—(2) Γραπτέον, Πρὸς ταύτην.—(3) Γραπτέον, Ἁλομένη.—(4) Βαρβάρως, ἀντὶ τοῦ, Οὐ πρότερον ἂν κατέβης.—(5) Ἐκ τῶν Συμμίκτων φιλολογικῶν (Λειψ. 1809, Μερ. Α. σελ. 45).—(6) Ἴσως γρ. Ἐξ ἀνάγκης, ἢ διὰ μιᾶς λέξεως, Ἐπάναγκες.

ἔπαινον τοῦ ὕδατος κατέτεινε, λέγουσα, ὡς χρηςὸν εἴη, καὶ καταβῆναι αὐτῷ παρήνει. Ὁ δὲ ἀμελετήτως κατῆλθε διὰ μόνην ἐπιθυμίαν, καὶ ἅμα τῷ [τὴν] δίψαν σβέσαι, μετὰ τῆς ἀλώπεκος ἐσκόπει τὴν ἄνοδον. Καὶ ἡ ἀλώπηξ χρήσιμόν τι ἔφη ἐπινενοηκέναι εἰς τὴν ἀμφοτέρων σωτηρίαν. Εἰ γὰρ θελήσεις τοὺς ἐμπροσθίους πόδας τῷ τείχει προσερεῖσαι, ἐγκλίνας τὰ κέρατα, ἀναδραμοῦσα αὐτὴ διὰ τοῦ σοῦ νώτου, καὶ σὲ ἀναβιβάσω. Τοῦ δὲ, καὶ πρὸς τὴν δευτέραν παραίνεσιν ἑτοίμως ὑπηρετήσαντος, ἡ Ἀλώπηξ, ἁλομένη διὰ τῶν σκελῶν αὐτοῦ, ἐπὶ τὸν νῶτον ἀνέβη, καὶ ἀπ' ἐκείνου ἐπὶ τὰ κέρατα διερεισαμένη, ἐπὶ τὸ ςόμα τοῦ φρέατος ἀνελθοῦσα ἀπηλλάττετο. Τοῦ δὲ τράγου, μεμφομένου αὐτὴν, ὡς τὰς ὁμολογίας παραβαίνουσαν, ἐπιςραφεῖσα εἶπεν· Ὦ οὗτος, ἀλλ' εἰ τοσαύτας φρένας εἶχες, ὅσας ἐν τῷ πώγωνι τρίχας, οὐ πρότερον δὴ κατεβεβήκεις, πρὶν ἢ τὴν ἄνοδον ἐσκέψω.

Οὕτω καὶ τῶν ἀνθρώπων τοὺς φρονίμους δεῖ πρότερον τὰ τέλη τῶν πραγμάτων σκοπεῖν, εἶθ οὕτως αὐτοῖς ἐγχειρεῖν.

ΑΛΛΩΣ.

ΛΑΓΩΟΣ ΚΑΙ ΑΛΩΠΗΞ (1).

Λαγωός τις ἐδίψα, καὶ ἐν φρέατι κατῆλθε τοῦ ὕδωρ πιεῖν· ἀφ' οὗ καὶ πολὺ ἐπεπώκει. Ὅτε δὲ ἐκεῖθεν ἀνελθεῖν ἔμελλεν, ἀμηχανίᾳ συνεσχέθη περὶ τὴν ἄνοδον, καὶ τὰ μέγιςα ἠθύμει. Ἀλώπηξ δὲ ἐλθοῦσα, κἀκεῖσε τοῦτον εὑροῦσα, ἔφη πρὸς αὐτὸν, Μεγάλως ὄντως ἐσφάλης· πρότερον γὰρ ὤφειλες βουλεύσασθαι, πῶς ἔςαι σοι τοῦ φρέατος ἀνελθεῖν, καὶ εἶθ' οὕτως ἐν αὐτῷ κατελθεῖν.

Οὗτος ὁ μῦθος ἐλέγχει τοὺς αὐτοβούλως πράττοντας, καὶ μὴ πρότερον συμβουλευομένους.

---

(1) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. ι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

5. [ΦΛ. 7]. ΑΛΩΠΗΞ ΚΑΙ ΛΕΩΝ.

Αλώπηξ, μηδέποτε θεασαμένη λέοντα, ἐπειδὴ κατά τινα τύχην ὑπήντησεν αὐτῷ, τὸ μὲν πρῶτον ἰδοῦσα αὐτὸν, οὕτως ἐφοβήθη, ὡς μικροῦ καὶ ἀποθανεῖν. Ἐκ δευτέρου δὲ αὐτῷ περιτυχοῦσα, ἐφοβήθη μὲν, ἀλλ' οὐχ ὡς τὸ πρότερον. Ἐκ τρίτου δὲ θεασαμένη αὐτὸν, οὕτως κατεθάρσησεν, ὡς προσελθοῦσα αὐτῷ διαλεχθῆναι.

Ὁ μῦθος δηλοῖ, ὅτι καὶ τὰ φοβερὰ τῶν πραγμάτων ἡ συνήθεια καταπραΰνει.

7. [ΦΛ. 6]. ΑΛΩΠΗΞ ΚΟΛΟΥΡΟΣ.

Αλώπηξ ὑπό τινος παγίδος τὴν οὐρὰν ἀποκοπεῖσα, ἐξ αἰσχύνης ἀβίωτον τὸν βίον ἡγεῖτο. Ἔγνω δὲ καὶ τὰς ἄλλας ἀλώπεκας εἰς τὸ αὐτὸ περιαγαγεῖν, ἵνα τῷ κοινῷ πάθει, τὸ ἴδιον ἐλάττωμα συγκρύψῃ. Καὶ δὴ ἁπάσας ἀθροίσασα, παρῄνει αὐταῖς τὰς οὐρὰς ἀποκόπτειν, λέγουσα, ὡς οὐκ ἀπρεπὲς τοῦτο μόνον, ἀλλὰ καὶ περισσὸν αὐταῖς προσήρτηται βάρος. Τούτων δέ τις ὑπολαβοῦσα, ἔφη· Ὦ φίλη, ἀλλ' εἴ σοι μὴ τοῦτο συνέφερεν, οὐκ ἂν ἡμῖν αὐτὸ συνεβούλευες.

Ὁ μῦθος δηλοῖ, ὅτι οὗτος ὁ λόγος ἁρμόζει ἐκείνοις, οἳ τὰς συμβουλίας ποιοῦνται πρὸς τοὺς πέλας, οὐ δι' εὔνοιαν, ἀλλὰ διὰ τὸ αὐτοῖς συμφέρον.

ΑΛΛΩΣ (1).

Ἀλώπηξ, ὑπό τινος παγίδος τὴν οὐρὰν ἀποκοπεῖσα, ἐξ αἰσχύνης

---

(1) Ἐκ τοῦ προοιμίου τοῦ ἐκδόντος τοὺς Συντίπα μύθους Ματθαίου, εὑρόντος ἐν τῷ αὐτῷ, ἐν ᾧ ἦσαν καὶ οἱ τοῦ Συντίπα, ἀντιγράφῳ τόνδε τὸν μῦθον.

βίον ἀβίωτον ἔχειν ἐδόκει. Ἔγνω δὲ τρόπῳ (1) ὡς καὶ τὰς ἄλλας εἰς τὴν αὐτὴν παγίδα προσαγαγεῖν, ἵνα τὸ ἴδιον πάθος κοινὸν ἐλάττωμα γένηται καὶ αὐταῖς. Καὶ δὴ ἁπάσας συναθροίσασα παρῄνει αὐταῖς, τὰς οὐρὰς ἀποκόψαι, λέγουσα, ὡς οὐ μόνον ἀπρεπὴς ἐστὶν ἡ οὐρὰ, ἀλλὰ καὶ περισσὸν αὐταῖς προσήρτηται βάρος. Τούτων δέ τις ὑπολαβοῦσα ἔφη, Εἰ μὴ σοι τοῦτο συνέφερεν, οὐκ ἂν ἡμῖν αὐτὸ συνεβούλευες.

Ὁ μῦθος δηλοῖ, ὅτι αἱ παρὰ τῶν πολλῶν γινόμεναι συμβουλίαι, οὐ δι' εὔνοιάν τινα [γίνονται], ἀλλ' ἢ διὰ τὸ αὐτῶν συμφέρον.

8. [ΦΛ. 8]. ΑΛΩΠΗΞ ΚΑΙ ΒΑΤΟΣ.

Αλώπηξ, φραγμὸν ἀναβαίνουσα, ἐπειδὴ ὀλισθαίνειν ἔμελλεν, βάτου ἐπελάβετο πρὸς βοήθειαν. Ξυσθεῖσα δὲ τὸ πέλμα, καὶ δεινῶς πληγωθεῖσα, εἶπε πρὸς αὐτήν· Αἲ ἐμέ! καταφυγοῦσα γὰρ ἐπὶ σὲ, ὡς ἐπὶ βοήθειαν, χεῖρόν μοι ἐχρήσω. Ἀλλ' ἐσφάλης, ὦ φίλη, φησὶν ἡ βάτος, ἐμοῦ ἐπιλαβέσθαι βουληθεῖσα, ἥτις πάντων ἐπιλαμβάνεσθαι εἴωθα.

Ὁ μῦθος δηλοῖ, ὅτι οὕτω καὶ τῶν ἀνθρώπων μάταιοί εἰσιν, ὅσοι βοηθοῖς προστρέχουσιν, οἷς τὸ ἀδικεῖν μᾶλλον ἔμφυτον.

9. [ΦΛ. 9]. ΑΛΩΠΗΞ ΚΑΙ ΚΡΟΚΟΔΕΙΛΟΣ

Αλώπηξ καὶ κροκόδειλος περὶ εὐγενείας ἤριζον. Πολλὰ δὲ τοῦ κροκοδείλου διεξιόντος, καὶ ὑπερηφανευομένου περὶ τῆς τῶν προγόνων λαμπρότητος, ἡ ἀλώπηξ ὑπολαβοῦσα ἔφη· Ὦ οὗτος, ἀλλὰ κἂν σὺ μὴ εἴπῃς, τὸ γοῦν δέρμα σου δείκνυσιν, ὅτι ἀπὸ πολλῶν ἐτῶν εἶ γεγυμνασμένος.

Ὁ μῦθος δηλοῖ, ὅτι τῶν ψευδομένων (2) ἀνδρῶν ἔλεγχός ἐστι τὰ πράγματα.

---

(1) Ἴσ. γρ. Τρόπον.—(2) Ἐγράφετο, Ψευδωνύμων.

10. [ΦΛ. 16]. ΑΛΕΚΤΡΥΟΝΕΣ ΚΑΙ ΠΕΡΔΙΞ.

Αλεκτρυόνας τις ἐν τῇ οἰκίᾳ ἔχων αὐτοῦ, περιτυχὼν πέρδικι, καὶ τοῦτον ἐπαγοράσας, εἰσήνεγκεν ἐν τῇ οἰκίᾳ αὐτοῦ τοῦ συναναστραφῆναι τοῖς ὄρνισι. Τῶν δὲ, τυπτόντων αὐτὸν, καὶ ἐκδιωκόντων, ὁ πέρδιξ ἐλυπεῖτο σφόδρα, νομίζων διὰ τὸ εἶναι αὐτὸν ἀλλόφυλον, τούτου χάριν διώκεσθαι παρὰ τῶν ἀλεκτρυόνων. Μικρὸν δὲ ὅσον ὑποχωρήσας, θεωρεῖ τοὺς ἀλεκτρυόνας μαχομένους, καὶ συγκόπτοντας. Ταῦτα ὁ πέρδιξ ὁρῶν, ἀποθεραπευθεὶς ἔφη· Ἀλλ' ἔγωγε ἀπὸ τοῦ νῦν οὐ λυποῦμαι, ὁρῶ γὰρ αὐτοὺς καὶ ὑπ' ἀλλήλων (1) μαχομένους.

Ὁ μῦθος δηλοῖ, ὅτι ὁ λόγος πρὸς φρονίμους ἀνθρώπους, οἵτινες ῥᾳδίως φέρουσι τὰς ἐκ τῶν πέλας ὕβρεις, ὅταν ἴδωσιν αὐτοὺς μηδὲ τῶν οἰκείων ἀπεχομένους.

11. [ΦΛ. 11]. ΑΛΩΠΗΞ ΠΡΟΣ ΜΟΡΜΟΛΥΚΕΙΟΝ.

Αλώπηξ εἰσελθοῦσα εἰς οἰκίαν κιθαρῳδοῦ, καὶ ἕκαστον τῶν αὐτοῦ σκευῶν ἐρευνησαμένη, εὗρε κεφαλὴν μορμολυκείου εὐφυῶς κατεσκευασμένην. Ἀναλαβοῦσα δὲ αὐτὴν ταῖς οἰκείαις χερσὶν, ἔφη· Ὦ οἵα κεφαλὴ, ἐγκέφαλον οὐκ ἔχει!

Ὁ λόγος πρὸς ἄνδρας μεγαλοπρεπεῖς μὲν τὸ σῶμα, ἀλογίστους δὲ τὴν ψυχήν.

12. [ΦΛ. 27]. ΑΝΘΡΑΚΕΥΣ ΚΑΙ ΚΝΑΦΕΥΣ.

Ανθρακεὺς ἐπί τινος οἰκίας κατοικῶν, ὡς ἐθεάσατο κναφέα, παρεκάλει αὐτὸν ἐν τῷ ἅμα (2) κατοικῆσαι ἀμφοτέρους.

---

(1) Βαρβάρως, ἀντὶ τοῦ, Καὶ ἀλλήλοις.

(2) Ἐντεῦθεν τὸ ἐν τῇ συνηθείᾳ, Ἐντάμα.

Καὶ ὁ κναφεὺς ὑπολαβὼν ἔφη· Ἀλλ' ἔγωγε παντελῶς πρᾶξαι τοῦτο οὐ δύναμαι. Τοῦ δὲ, πυνθανομένου δι' ἣν αἰτίαν, ἔφη· Φοβοῦμαι μήπως ἃ ἐγὼ λευκαίνω, σὺ ἀποτεφροῖς (1).

Ὁ μῦθος δηλοῖ, ὅτι πᾶν τὸ ἀνόμοιον, ἀκοινώνητον.

13. [ΦΛ. 28]. ΑΛΙΕΙΣ.

Ἁλιεῖς σαγήνην εἷλκον. Βαρείας δὲ αὐτῆς οὔσης, ἔχαιρον, καὶ ὠρχοῦντο, πολλὴν εἶναι νομίζοντες τὴν ἄγραν. Ὡς δὲ εἴλκυσαν αὐτὴν, ἰχθύας μὲν εὗρον ὀλίγους, λίθον δὲ μέγιστον ἐν τῇ σαγήνῃ ἀνήγαγον. Οἱ δὲ ἁλιεῖς οὐ μετρίως ἐβαρυθύμουν, οὐ τοσοῦτον ἐπὶ τῇ τῶν ἰχθύων ὀλιγότητι, ὅσον ὅτι καὶ ἐναντία προσειλήφασιν· Εἷς δέ τις ἐξ αὐτῶν γηραιὸς, ἐξεῖπε· Μὴ ἀχθώμεθα, ὦ ἑταῖροι· χαρᾶς γὰρ, ὡς ἔοικεν, ἀδελφή ἐστιν ἡ λύπη, καὶ ἡμᾶς ἔδει τοσαῦτα προηδυνθέντας (2), πάντως τι λυπηθῆναι (3).

Ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ λυπεῖσθαι ἐπὶ ταῖς ἀποτυχίαις, γινώσκοντας τὰς τοῦ βίου τύχας.

14. [ΦΛ. 30]. ΚΟΜΠΑΣΤΗΣ.

Ἄνθρωπός τις ἀποδημήσας, ἧκε πάλιν εἰς τὴν ἰδίαν χώραν. Φρυαττόμενος δὲ, ἐκαυχᾶτο μεγάλως, ὡς ἀνδραγαθήσας εἰς διαφόρους τόπους. Ἐν δὲ τῇ Ῥόδῳ ἔφασκε πήδημα μέγα

---

(1) Ἀποτεφροῦν λέγεται τὸ πῦρ τὰ καιόμενα, ἡνίκα δαπανῶν εἰς τέφραν αὐτὰ μεταβάλλει. Χαίρειν οὖν φράσας τῇ βαρβάρῳ καταχρήσει, λέγε μᾶλλον, Ἀσβόλου πληροῖς, ὥσπερ εἴρηται ἐν τῷ ἡμετέρῳ 12 μύθῳ (σελ. 10), ἢ ἕτερόν τι τοιοῦτον.

(2) Ἐγράφετο, Προσηδυνθέντας.

(3) Ἄμεινον ὅλως γέγραπται τοῦδε ὁ ἡμέτερος μῦθος 13 (σελ. 10).

πηδήσας, ὅπερ οὐδεὶς τῶν ἀνθρώπων δύναται πηδῆσαι, καὶ μάρτυρας *ἔφασκεν* ἔχειν εἰς τοῦτο. Τῶν δὲ παρόντων τις ὑπολαβὼν ἔφη αὐτῷ· Ὦ οὗτος, εἰ τοῦτο ἀληθές ἐςιν, ἰδοὺ Ῥόδος, καὶ ἀποπήδησον.

Ὁ μῦθος δηλοῖ, ὅτι ἐὰν μὴ πρόχειρος ᾖ [ἡ] πεῖρα τοῦ πράγματος, πᾶς λόγος ἀργὸς, περιττός ἐςι.

15. [ΦΛ. 31]. ΑΔΥΝΑΤΑ ΕΠΑΓΓΕΛΛΟΜΕΝΟΣ.

Ἄνθρωπός τις πένης νοσῶν, καὶ κακῶς διακείμενος, ἐπειδὴ ἀπηλπίσθη παρὰ τῶν ἰατρῶν, διὰ τὸ μηδὲν ἔχειν δοῦναι αὐτοῖς, τοὺς θεοὺς παρεκάλει, καὶ ὑπισχνεῖτο αὐτοῖς, λέγων· Ὦ θεοὶ λαμπροί τε, καὶ μέγιςοι, ἐὰν τὴν ὑγείαν μοι παράσχητε, ἑκατὸν βόας προσάξω ὑμῖν εἰς θυσίαν. Τῆς δὲ γυναικὸς αὐτοῦ πυνθανομένης, Πόθεν σοι ταῦτα, ἐὰν συμβῇ ὑγιᾶναί σε; πρὸς αὐτὴν ἐκεῖνος ἔφη· Καὶ νομίζεις ἀναςῆναί με, ἵνα με ταῦτα οἱ θεοὶ ἀπαιτήσωσιν (1);

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ ῥαδίως κατεπαγγέλλονται, ἀποτελέσαι δὲ ἔργον (2) οὐ προσδοκῶσιν.

16. [ΦΛ. 32]. ΚΑΚΟΠΡΑΓΜΩΝ.

Ἀνὴρ κακοπράγμων πρὸς τὴν γνῶσιν ἐν Δελφοῖς ἧκε, βουλόμενος τὸν θεὸν ἐκπειρᾶσαι. Καὶ δὴ λαβὼν ςρουθίον ἐν τῇ χειρὶ, καὶ τοῦτο σκεπάσας τῷ ἱματίῳ αὐτοῦ, καὶ ἀντικρὺ αὐτοῦ ςὰς ἐν τῷ ἱερῷ, ἐπηρώτησεν αὐτὸν, Τί ἔχω εἰς τὰς χεῖράς μου, ἔμπνουν, ἢ ἄπνουν; βουλόμενος ὅτι ἐὰν ἄπνουν εἴπῃ,

(1) Σημειοῦ ὧδέ τε καὶ ἀνωτέρω (σελ. 11) τὸ, Ἵνα με οἱ θεοὶ ἀπαιτήσωσιν, ἀντὶ τοῦ, Ὥςε με τοὺς θεοὺς ἀπαιτῆσαι.

(2) Γράφε, Ἔργῳ, ἐκ τοῦ ἡμετέρου μύθου (σελ. 11).

ζῶν

ζῶν τὸ ϛρουθίον ὑποδείξῃ· εἰ δὲ ἔμπνουν, ἀποπνίξας προενέγκῃ (1). Γνοὺς δὲ ὁ Θεὸς τὴν κακότεχνον αὐτοῦ γνώμην, εἶπεν· Ὡς θέλεις ποίησον, ὦ οὗτος· ἐν σοὶ γάρ ἐϛι τὸ πρᾶξαι· θέλεις νεκρὸν, θέλεις ζῶν, ἀπόδειξον τοῦτο.

Ὁ μῦθος δηλοῖ, ὅτι τὸ θεῖον ἀπαρεγχείρητον, καὶ ἀλάθητόν ἐϛιν.

17. [ΦΛ. 35]. ΑΛΙΕΙΣ.

Ἁλιεῖς ἐπὶ ἄγραν ἐξελθόντες, καὶ πολὺν χρόνον κακοπαθήσαντες, καθεζόμενοι ἐτήκοντο τῷ λιμῷ, μηδέν τι πέρας δυνάμενοι ἐκτελέσαι. Λυπούμενοι δὲ, ἐβούλοντο ἀναχωρῆσαι ἄπρακτοι. Καὶ ἰδοὺ θύννος διωκόμενος παρὰ μεγίϛου ἰχθύος, ἀναπηδήσας εἰσῆλθεν ἐν τῷ πλοίῳ αὐτῶν· Λαβόντες δὲ αὐτὸν οἱ ἁλιεῖς, μετὰ χαρᾶς εἰσῆλθον ἐν τῇ πόλει, καὶ ἐπώλησαν αὐτίκα.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλάκις ἃ μὴ τέχνη παρέσχε, ταῦτα τύχη διεβράβευσεν.

18. [ΦΛ. 36]. ΦΕΝΑΞ.

Ἀνὴρ πένης, νοσῶν, ηὔξατο τοῖς θεοῖς λέγων· ὅτι Ἐὰν ὑγιάνω, ἑκατὸν βόας προσάξω ὑμῖν εἰς θυσίαν. Οἱ δὲ, πειράζειν αὐτὸν βουλόμενοι, ῥᾴδιον (2) ἀποκατέϛησαν. Ἐξαναϛὰς οὖν ὁ ἄνθρωπος, ἐπειδὴ βοῶν ἠπόρει, ϛεατίνους (3) ἑκατὸν ποιήσας βόας, ἐπὶ τοῦ βωμοῦ κατέκαυσεν, εἰπών· Ὦ δαίμονες, ἰδοὺ τὴν εὐχὴν ἀπετέλεσα. Οἱ δὲ Θεοὶ, βουλόμενοι αὐτὸν ἀνταμύνασθαι, ὄναρ ἐπιϛάντες αὐτῷ, εἶπον. Ἄπελθε εἰς τὸν

(1) Ἐγράφετο, Προσενέγκῃ.

(2) Ἴσ. γρ. Ῥᾷονα.

(3) Ἔπιθι περὶ τῆς λέξεως ταύτης τὰ ἀλλαχοῦ (Ἡλιοδώρ. Β, σελ. 218) σημειωθέντα μοι.

αἰγιαλὸν, εἰς τόνδε τὸν τόπον (1), καὶ εὑρήσεις ἐκεῖσε χρυσίου τάλαντα ἑκατόν. Ὁ δὲ, ἔξυπνος γενόμενος, μετὰ πολλῆς χαρᾶς ἦλθεν εἰς τὸν ὑποδειχθέντα αὐτῷ τόπον δρομαῖος, ψηλαφῶν (2) τὸ χρυσίον. Περιπεσὼν δὲ ἐκεῖσε λῃσταῖς συνελήφθη ὑπ' αὐτῶν. Ὁ δὲ παρεκάλει αὐτοὺς λέγων· Ἄφετέ με, καὶ ἐπιδιδῶ (3) ὑμῖν χρυσίου χίλια τάλαντα.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ ψευδεῖς τῶν ἀνθρώπων, ἐχθραίνουσι (4) τὸ θεῖον.

19. [ΦΛ. 38]. ΒΑΤΡΑΧΟΙ.

Βάτραχοι δύο ἐνέμοντο ἐν λίμνῃ. Ἐν ἡμέραις δὲ τοῦ θέρους, ἐξηράνθη ἡ λίμνη. Καὶ καταλείψαντες ἐκείνην, ἄλλην ἐπεζήτουν. Παραχρῆμα οὖν ἐνέτυχον φρέατι βαθεῖ. Εἶπε δὲ ὁ ἕτερος τῷ ἑτέρῳ· Συγκατέλθωμεν ἐνταῦθα, ὦ φίλε. Ὑπολαβὼν δὲ ὁ ἕτερος ἀντεῖπεν· Ἐὰν οὖν καὶ τὸ ἐνθάδε ὕδωρ ξηρανθῇ, πῶς δυνησόμεθα ἀνελθεῖν;

Ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ ἀπερισκέπτως προσέρχεσθαι τοῖς πράγμασι.

20. [ΦΛ. 50]. ΓΕΡΩΝ ΚΑΙ ΘΑΝΑΤΟΣ.

Γέρων ποτὲ ξύλα κόψας, καὶ ταῦτα ἐπὶ τῶν ὤμων ἄρας, πολλὴν ἐβάδισεν ὁδόν. Κεκοπιακὼς δὲ, καὶ ἀποθέμενος τὸν φόρτον, τὸν θάνατον ἐπεκαλεῖτο. Τοῦ δὲ θανάτου φανέντος, καὶ πυνθανομένου δι' ἣν αἰτίαν αὐτὸν ἐπεκαλεῖτο, ὁ γέρων ἔφη· Ἵνα τὸν φόρτον μοι ἄρῃς.

Ὁ μῦθος δηλοῖ, ὅτι πᾶς ἄνθρωπος φιλοζωεῖ, εἰ καὶ δυστυχεῖ λίαν· κἂν καὶ μυρίους κινδύνους ὑποστῇ.

---

(1) Ὧδέ τε καὶ ἀνωτέρω (σελ. 12) ἄμεινον ἂν ἐγράφετο, Εἰς τὸν δεῖνα τόπον.—(2) Βαρβάρως, ἀντὶ τοῦ, Ἐρευνῶν.—(3) Ἴσ. γρ. Ἐπιδώσω, ἢ Ἐπιδίδωμι.—(4) Βαρβ. ἀντὶ τοῦ, Εἰς ἔχθραν ἑαυτῶν παροξύνουσιν.

21. [ΦΛ. 46]. ΓΡΑΥΣ ΚΑΙ ΙΑΤΡΟΣ.

Γυνὴ πρεσβῦτις, τοὺς ὀφθαλμοὺς νοσοῦσα, ἰατρόν τινα ἐπὶ μισθῷ ἰατρεῦσαι αὐτὴν παρεκάλει, ςοιχήσασα αὐτὸν ἐνώπιον μαρτύρων, ὅτι ἐὰν θεραπεύσῃ αὐτῆς τοὺς ὀφθαλμοὺς, πολὺν λήψεται παρ' αὐτῆς τὸν μισθόν· ἐὰν δὲ μὴ θεραπεύσῃ, ἐπιμείνῃ δὲ ἡ ἀῤῥωςία, μηδὲν αὐτῷ παράσχῃ. Καὶ οὕτω γενομένου, ὅσον ὅσον ὁ ἰατρὸς ἐπετίθει τοῖς ὀφθαλμοῖς αὐτῆς τὴν ἰατρείαν, κατ' ὀλίγον ὀλίγον τὰ προσόντα αὐτῇ ἔκλεπτε. Μετ' οὐ πολὺ δὲ θεραπεύσας αὐτὴν, ἐζήτει τὸν ςοιχηθέντα μισθόν. Ἀναβλέψασα τοίνυν ἡ γραῦς, οὐδὲν τῶν προσόντων αὐτῇ ἐθεάσατο ἐν τῇ οἰκίᾳ αὐτῆς. Ὡς οὖν ἐπέμενεν ὁ ἰατρὸς ἐκβιάζων αὐτὴν, ἐκείνη δὲ ἀνεβάλλετο, ἀπήγαγεν αὐτὴν πρὸς τοὺς ἄρχοντας. Στᾶσα οὖν ἐνώπιον αὐτῶν ἔφη· Ὁ ἄνθρωπος οὗτος, καθὼς λέγει, ἀλήθειαν λέγει· ἐπηγγειλάμην γὰρ δοῦναι αὐτῷ τὸν μισθὸν, ἐὰν καλῶς ἀναβλέψω· εἰ δὲ ἐπιμείνω τῇ ἀῤῥωςίᾳ, ἵνα μηδὲν παρέξω αὐτῷ. Νῦν οὖν φάσκει, ὅτι ἐθεραπεύθην· ἐγὼ δὲ τοὐναντίον λέγω παθεῖν με. Ὅταν γὰρ τοὺς ὀφθαλμοὺς ἐνόσουν, τότε καὶ σκεύη διάφορα, καὶ χρήματα ἔβλεπον ἐν τῇ οἰκίᾳ μου· νυνὶ δὲ, ὅτε αὐτὸς φάσκει βλέπειν με, οὐδὲν δύναμαι ἄρτι (1) θεάσασθαι.

Ὁ μῦθος δηλοῖ, ὅτι οὕτω καὶ οἱ πονηροὶ τῶν ἀνθρώπων, διὰ πλεονεξίαν, λανθάνουσι καθ' ἑαυτῶν τὸν ἔλεγχον ἐπισπώμενοι.

22. [ΦΛ. 33]. ΓΕΩΡΓΟΣ ΚΑΙ ΠΑΙΔΕΣ ΑΥΤΟΥ.

Ἀνὴρ, τῇ τέχνῃ γεωργὸς ὑπάρχων, μέλλων καταλῦσαι τὸν βίον, καὶ βουλόμενος τοὺς παῖδας αὐτοῦ ἐμπείρους ποιῆσαι τῆς

(1) Ἴσ. γρ. Ἔτι.

γεωργικῆς, προσκαλεσάμενος ἔφη πρὸς αὐτούς· Τεκνία, ἐγὼ τοῦ βίου ὑπεξέρχομαι· πλὴν ἅπερ μοι ὑπάρχει, ἐν τῷ ἀμπελῶνι εὑρίσκετε (1) πάντα. Οἱ δὲ νομίσαντες θησαυρόν τινα ἐνταῦθα ἔχειν, μετὰ τὴν ἀποβίωσιν τοῦ πατρὸς αὐτῶν, λαβόντες δίκελλαν, ὕννας τε, κατέσκαψαν πᾶσαν τὴν γῆν ἐκ πόθου. Καὶ τὸν μὲν θησαυρὸν οὐχ εὗρον· ἡ δὲ ἄμπελος καλῶς κατασκαφθεῖσα, καὶ ὠφεληθεῖσα, πολυπλασίονα τὸν καρπὸν ἀπέδωκε, καὶ πλοῦτον ἀνήνεγκεν.

Ὁ μῦθος δηλοῖ, ὅτι ὁ κάματος θησαυρός ἐςι τοῖς ἀνθρώποις.

23. [ΦΛ. 43]. ΓΕΩΡΓΟΣ ΚΑΙ ΚΥΝΕΣ.

Γεωργός τις, χειμῶνος ὄντος, ἐναποληφθείς (2) ἐν τῷ προαςείῳ αὐτοῦ, ἀπορῶν τροφῆς, ἐπεὶ οὐκ ἐδύνατο προελθεῖν, καὶ ἑαυτῷ τροφὴν πορίσαι, τὰ πρόβατα αὐτοῦ κατέφαγεν. Ἐπεὶ δὲ ὁ χειμὼν ἔτι ἐπέμενε, καὶ τὰς αἶγας κατεθοινήσατο. Ἐκ τρίτου δὲ, ὡς οὐδεμία ἄνεσις ἐγένετο (3), καὶ ἐπὶ τοὺς ἀροτῆρας βόας ἐχώρησεν. Οἱ δὲ κύνες θεασάμενοι τὰ γινόμενα, ἔφασαν πρὸς ἀλλήλους· Παρέλθωμεν ἐντεῦθεν· ὡς ὁρῶμεν γὰρ, ὅτι (4) ὁ κύριος ἡμῶν τοὺς ἐργαζομένους βόας οὐκ ἐλέησεν (5), ἡμῶν πῶς φείσεται;

Ὁ μῦθος δηλοῖ, ὅτι τούτους μάλιςα ἐκφεύγειν καὶ φυλάττεσθαι χρὴ, οἵτινες οὐδὲ τῆς κατὰ τῶν οἰκείων ἀδικίας ἀπέχονται.

24. [ΦΛ. 47]. ΓΥΝΗ ΚΑΙ ΟΡΝΙΣ.

Γυνὴ χήρα ὄρνιν εἶχε, καθ' ἑκάςην ἡμέραν ὠὸν τίκτουσαν. Ὑπέλαβε δὲ ἡ γυνὴ, ὅτι, ἐὰν πλείονας κριθὰς δώσει τῇ ὄρνιθι,

---

(1) Γράφε, Εὑρήσετε.—(2) Ἐγράφετο, Ἐναπολειφθείς.—(3) Γράφε, Ἐγίνετο.—(4) Ἴσ. γρ. Ἐπεί.—(5) Γράφε, Ἠλέησεν.

τέξεται δὶς τῆς ἡμέρας. Ἡ δὲ, τοῦτο ποιήσασα, καὶ πίονος τῆς ὄρνιθος καὶ λιπαρᾶς γενομένης, οὐδὲ τὸ ἅπαξ ἔτικτεν.

Ὁ μῦθος δηλοῖ, ὅτι τῶν ἀνθρώπων διὰ πλεονεξίαν μειζόνων ἐπιθυμοῦντες καὶ τὰ προσόντα ἀπώλεσαν πολλοί.

25. [ΦΛ. 55]. ΚΥΝΟΔΗΚΤΟΣ.

Δηχθεὶς τις ὑπὸ κυνὸς, περιῄει ζητῶν τὸν τοῦτο ἰάσασθαι δυνάμενον. Καί τις τῶν παρατυχόντων ἀκούσας, ἔφη αὐτῷ· Ὦ οὗτος, εἰ θέλεις σώζεσθαι, λαβὼν ἄρτον, τὸ αἷμα ἐκμάξας τῆς πληγῆς, τῷ δακόντι κυνὶ ἐπίδος. Ὁ δὲ, γελάσας, ἔφη· Ἀλλ' ἐὰν τοῦτο πράξω, δέον ἐςὶν, ἵνα ὑπὸ πάντων τῶν ἐν τῇ πόλει κυνῶν δηχθήσωμαι.

Ὁ μῦθος δηλοῖ, ὅτι οὕτω καὶ τῶν ἀνθρώπων οἱ πονηρίᾳ δελεαζόμενοι, ἔτι μᾶλλον ἀδικεῖν παροξύνονται.

26. [ΦΛ. 60]. ΝΕΑΝΙΣΚΟΙ ΚΑΙ ΜΑΓΕΙΡΟΣ.

Δύο νεανίσκοι ἐν ταὐτῷ κρέας ὠνήσαντο. Καὶ δὴ τοῦ μαγείρου (1) περισπασθέντος, εἷς ἐξ αὐτῶν ὑφελόμενος (2) μέρος τι τοῦ κρέατος, εἰς τὸν τοῦ ἑτέρου κόλπον καθῆκεν. Ἐπιςραφεὶς δὲ ὁ μάγειρος, καὶ ἐπιζητῶν αὐτὸ, ὁ μὲν εἰληφὼς, ὤμνυε μὴ ἔχειν· ὁ δὲ ἔχων, μὴ εἰληφέναι. Καὶ ὁ μάγειρος, αἰσθόμενος

(1) Τὸ, Μαγείρου, ἐπὶ τοῦ Κρεωπώλου, τοῦ ἰδιωτικώτερον καλουμένου Μακελλαρίου, ἐνθάδε τετάχθαι ὑπείληφεν ὁ Φλωρεντινὸς ἐκδότης τῶν μύθων. Καὶ τοῦτο μὲν πιθανώτερον ἢ ἐπὶ τοῦ συνήθους ἐκλαμβάνειν τὴν λέξιν· τὸ δὲ προηγούμενον, Ὠνήσαντο, εἰς τὸ, Ὠνοῦντο μεταποιητέον. Ὅπως ποτε δ' ἂν ἔχῃ τὰ τῆς γραφῆς, ἀμούσως πάνυ διεσκεύαςαι ὁ μῦθος.

(2) Ἐγράφετο, Ἀφελόμενος.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

τὴν κακοτεχνίαν αὐτῶν, ἔφη, Ἀλλὰ κἂν ἐμὲ λάθητε, τῷ ἐπιορκουμένῳ Θεῷ οὐκ ἀγνοηθήσεσθε·

Ὁ μῦθος δηλοῖ, ὅτι κἂν ἀνθρώπους διακρουσώμεθα ἐπιορκοῦντες, ἀλλὰ Θεὸν οὐδαμῶς· ἐπὶ ὅρκου (1) γὰρ τὸ Θεῖον.

27. [ΦΛ. 58]. ΕΧΘΡΟΙ.

Δύο τινὲς, πρὸς ἀλλήλους ἔχθραν ἔχοντες, ἐν μιᾷ νηῒ ἔπλεον. Βουλόμενοι δὲ πολὺ ἀπ' ἀλλήλων διεζεῦχθαι (2), ὥρμησεν ὁ μὲν εἷς ἐπὶ τὴν πρῶραν, ὁ δὲ ἕτερος ἐπὶ τὴν πρύμναν, καὶ ἐνταῦθα ἔμενον. Χειμῶνος δὲ σφοδροῦ καταλαβόντος, καὶ τῆς νηὸς καταποντίζεσθαι μελλούσης, ὁ ἐπὶ τῇ πρύμνῃ καθήμενος, ἐπυνθάνετο τῷ κυβερνήτῃ (3) λέγων· Ὦ οὗτος, ποῖον μέρος μέλλει πρότερον καταποντίζεσθαι τοῦ σκάφους; τοῦ δὲ εἰπόντος, Ἡ πρῶρα, ἔφη· Ἀλλ' ἔμοιγε οὐκέτι λυπηρὸς ὁ θάνατος ἔσται, εἴγε ὁρᾷν μέλλω τὸν ἐχθρόν μου προαποπνιγόμενον.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ τῶν ἀνθρώπων διὰ τὴν πρὸς τοὺς ἐχθροὺς μῆνιν, αἱροῦνται τὸ πρῶτον ἰδεῖν αὐτοὺς ἐπὶ συμφοράν, διὰ τὴν δυσμένειαν· ἔπειτα καὶ αὐτοὶ μετὰ ταῦτα ἐάν τι δεινὸν πάσχωσιν, ὑπομένουσι.

28. [ΦΛ. 67]. ΑΙΛΟΥΡΟΣ ΚΑΙ ΜΥΕΣ.

Ἔν τινι οἰκίᾳ πολλοὶ μύες ἦσαν. Αἴλουρος δὲ, τοῦτο γνοὺς, ἧκεν ἐνταῦθα, καὶ συλλέγων ἕνα καθ' ἕνα κατήσθιεν. Οἱ δὲ μύες,

(1) Οὕτω διώρθωκεν ὁ Φλωρεντινὸς ἐκδότης, ἀντὶ τοῦ μονολέκτου, Ἐπίορκον. Καὶ τοῦτο μὲν ὅλως ἀνόητον· τὸ δὲ, Ἐπὶ ὅρκου, δυσνόητον.

(2) Ἐγράφετο, Διαζεῦχθαι.

(3) Γράφε, Τοῦ κυβερνήτου.

συνεχῶς ἀναλισκόμενοι, εἶπον πρὸς ἑαυτούς· Οὐκ ἔτι μὴ (1) κατέλθωμεν κάτω, ἀλλ' ἐπὶ τῶν ὀπῶν δύνωμεν, ἵνα μὴ παντελῶς ἀπολεσθῶμεν· τοῦ γὰρ αἰλούρου μηκέτι δυναμένου ἐφικνεῖσθαι (2) ἐκεῖσε, ἡμεῖς διασωθησόμεθα. Ὁ δὲ, μὴ δυνάμενος αὐτῶν ἐφικέσθαι (3), δεῖν ᾠήθη καὶ ἔγνω δι' ἐπινοίας καὶ μηχανῆς αὐτοὺς ἐκκαλεῖσθαι. Ἀναβὰς γὰρ ἐπί τινα πάσσαλον, καὶ ἑαυτὸν ἔνθεν ἀποκρημνίσας τε καὶ κρεμάσας (4), προσεποιεῖτο αὐτὸν νεκρὸν εἶναι. Τῶν δὲ μυῶν τις παρακύψας, ὡς ἐθεάσατο αὐτὸν, ἔφη· Ὦ οὗτος, κἂν θύλαξ γένῃ *σὺ*, οὐ προελευσόμεθά σοι (5).

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ φρόνιμοι τῶν ἀνθρώπων, ὅταν τῆς ἐνίων μοχθηρίας πειραθῶσιν, οὐκέτι αὐτῶν ταῖς ὑποκρίσεσιν ἐξαπατῶνται.

29. [ΦΛ. 69]. ΑΛΩΠΗΞ ΚΑΙ ΠΙΘΗΞ.

Ἐν συνόδῳ τῶν ἀλόγων ζώων ὠρχήσατο πίθηξ, καὶ εὐδοκιμήσας, βασιλεὺς ὑπ' αὐτῶν ἐχειροτονήθη. Ἀλώπηξ δὲ αὐτῷ φθονήσασα, ἐθεάσατο ἔν τινι πάγῃ κρέας κείμενον. Ἀγαγοῦσα οὖν αὐτὸν ἐνταῦθα, ἔλεγεν, ὡς εὑροῦσα τοῦτο αὐτὴ (6), κατὰ τὸν νόμον, οὐκ ἐχρήσατο διὰ τὴν βασιλείαν, τὸ γέρας δὲ αὐτῷ τῆς βασιλείας τετήρηκε· καὶ παρῄνει αὐτῷ, ὡς ἂν τοῦτο αὐτὸς λάβῃ. Τοῦ δὲ, ἀμεταμελήτως (7) ἐλθόντος, καὶ ὑπὸ τῆς πάγης

---

(1) Ἀντὶ τοῦ ἀδιανοήτου, Ἕτοιμοι, ἔγραψα, Οὐκ ἔτι μή.

(2) Ἐγράφετο, Ἀφικνεῖσθαι.

(3) Ἐγράφετο, Ἀφικέσθαι.

(4) Γραπτέον ἴσως ἀντὶ τῶν τεσσάρων λέξεων, Ἀποκρημνίσας τε καὶ κρεμάσας, μίαν τήνδε, Ἀποκρεμάσας.

(5) Γραπτέον, Οὐ προσελευσόμεθά σοι.

(6) Ἐγράφετο, Αὔτη.

(7) Ἴσ. γρ. Ἀμελετήτως, τουτέστιν Ἀπερισκέπτως, ὡς πέφρασται ἐν τοῖς πρόσθεν (σελ. 283, στ. 2).

συλληφθέντος, ἠτιᾶτο παρ' αὐτοῦ ἡ Ἀλώπηξ, ὡς δελεάσασα, καὶ ἐνεδρεύσασα αὐτῷ. Ἐκείνη δὲ πρὸς αὐτὸν, ἔφη· Ὦ πίθηκε, σὺ τοιαύτην μωρίαν ἔχων (1), τῶν ἀλόγων ζώων βασιλεύσεις (2);

Ὁ μῦθος δηλοῖ, ὅτι οὕτω καὶ οἱ τοῖς πράγμασιν ἀπερισκέπτως ἐπιχειροῦντες, ἐπὶ τῷ δυςυχεῖν καὶ γέλωτα ὀφλισκάνουσιν.

30. [ΦΛ. 85]. ΘΥΝΝΟΣ ΚΑΙ ΔΕΛΦΙΝ (3).

35. [ΦΛ. 86] ΚΥΩΝ ΚΑΙ ΛΥΚΟΣ.

Κύων πρό (4) τινος ἐπαύλεως ἐκοιμᾶτο. Λύκος δὲ, τοῦτον θεασάμενος, ἔδραμεν ἐπ' αὐτὸν, μέλλων αὐτὸν καταφαγεῖν. Ὁ δὲ κύων ἐδέετο αὐτοῦ, ὅπως μὴ θύσῃ αὐτὸν, λέγων. Νῦν, ὦ κύριέ μου, μὴ φάγῃς με, ὅτι λεπτός εἰμι, καὶ ἰσχνὸς, καὶ πτωχός· μικρὸν δὲ ἀνάμεινόν με. Μέλλουσι γὰρ οἱ ἐμοὶ δεσπόται γάμους ποιῆσαι· καὶ ἐὰν ἄρτι ἐάσῃς με, φαγὼν περισσότερον, λιπαρώτερος γενήσομαι, καὶ τότε κρείττων τίς σοι φανήσομαι. Ὁ δὲ, πεισθεὶς τοῖς λόγοις αὐτοῦ, τότε μὲν κατέλιπεν αὐτόν. Μεθ' ἡμέρας δὲ ὀλίγας ἐλθὼν, ἐζήτει αὐτὸν, καὶ εὑρίσκει αὐτὸν ἐπὶ τοῦ δώματος κοιμώμενον· ὁ δὲ, ςαθεὶς κάτω, ἐπεκαλεῖτο αὐτὸν, ὑπομιμνήσκων αὐτὸν τῶν συνθηκῶν. Ὑπολαβὼν δὲ ὁ κύων, ἔφη αὐτῷ· Ὦ λύκε, ἐὰν ἀπὸ τοῦ νῦν πρὸ τῆς ἐπαύλεως ἴδῃς με, μηκέτι γάμους ἀναμείνῃς.

Ὁ μῦθος δηλοῖ, ὅτι οὕτως οἱ φρόνιμοι τῶν ἀνθρώπων, ὅταν περί τι κινδυνεύσαντες ἐκφύγωσιν, ὕςερον ταῦτα φυλάττονται.

---

(1) Οὕτω διορθοῦν παρήνεκεν ὁ Φλωρεντινὸς ἐκδότης ἐκ τῶν πρόσθεν (σελ. 20), ἀντὶ τοῦ, Σὺ τοιαύτην μοίραν τύχην ἔχων.

(2) Κακῶς ἐγράφετο, Βασιλεύεις.

(3) Ἀπαραλλάκτως μὲν, οὐ μὴν ἐντελῶς, φέρεται καὶ ἐν τῷ τοῦ Φλωρεντινοῦ ἐκδότου ἀντιγράφῳ ὁ μῦθος ὅδε.

(4) Ἐγράφετο, Πρός.

36. [φλ. 88] ΚΥΩΝ ΑΛΕΚΤΩΡ ΚΑΙ ΑΛΩΠΗΞ.

Κύων καὶ ἀλέκτωρ, φιλίαν πρὸς ἀλλήλους ποιησάμενοι, ἐν τῷ ἅμα ὥδευον. Τῆς δὲ νυκτὸς καταλαβούσης, ἐν τόπῳ ἀλσώδει ἐλθόντων, ὁ μὲν ἀλεκτρυὼν ἐπὶ τὸ δένδρον (1) ἀναβὰς, ἐν τοῖς κλάδοις ἐκάθισεν· ὁ δὲ κύων κάτωθεν τῆς ῥαγάδος τοῦ δένδρου ἀφύπνωσε. Καὶ τῆς νυκτὸς παρελθούσης, καὶ αὐγῆς (2) καταλαβούσης, ὁ ἀλέκτωρ κατὰ τὸ σύνηθες, μεγάλα ἐκεκράγει. Ἀλώπηξ δὲ τούτου ἀκούσασα, καὶ βουλομένη αὐτὸν καταθοινήσασθαι, ἐλθοῦσα, καὶ ϛᾶσα κάτωθεν τοῦ δένδρου, ἐϐόα πρὸς αὐτόν· Ἀγαθὸν ὄρνεον εἶ, καὶ χρηϛὸν τοῖς ἀνθρώποις· κατάϐηθι δὲ, ὅπως ᾄσωμεν τὰς νυκτερινὰς ᾠδὰς, καὶ συνευφρανθῶμεν ἀμφότεροι. Ὁ δὲ ἀλέκτωρ, ὑπολαϐὼν, ἔφη αὐτῇ· Ἄπελθε, φίλε, κάτωθεν πρὸς τὴν ῥίζαν τοῦ δένδρου, καὶ φώνησον τὸν παραμονάριον (3), ὅπως κρούσῃ τὸ ξύλον. Τῆς δὲ ἀλώπεκος ἀπελθούσης τοῦ φωνῆσαι αὐτὸν, ὁ κύων ἄφνω πηδήσας, καὶ τὴν ἀλώπεκα δραξάμενος, διεσπάραξεν αὐτήν.

Ὁ μῦθος δηλοῖ, ὅτι οὕτω καὶ τῶν ἀνθρώπων οἱ φρόνιμοι, ὁπόταν τι κακὸν αὐτοῖς ἐπέλθῃ, ῥᾳδίως πρὸς αὐτὸ ἀντιπαρατάσσονται (4).

---

(1) Γράφε, Ἐπί τι δένδρον. — (2) Σημειοῦ τὴν Αὐγὴν ἐπὶ τῆς ἕω, ὡς καὶ παρ' ἡμῖν νῦν. — (3) Καὶ ὁ Παραμονάριος τῶν Βυζαντινῶν συγγραφέων λέξις ἐϛὶ, ταὐτὸν σημαίνουσα τῷ παρὰ τοῖς ἀρχαίοις Νεωκόρῳ. Σημειοῦ καὶ τὸ Φώνησον, ἀντὶ τοῦ Καλεσον, ὡς καὶ τὸ παρ' ἡμῖν, Φωνάζω. Τὸ δὲ Ξύλον ἱερατικὴ λέξις ἐϛὶ συνώνυμος τῷ Σήμαντρον, οὗ τῇ κρούσει συνεκάλουν εἰς ἐκκλησίαν προσευξομένους κοινῇ τοὺς χριϛιανούς. Τῶν Μοναχῶν τις ἔοικεν εἶναι ὁ τὸν μῦθον διασκευάσας. — (4) Ἐγράφετο, Ἀντιπαρατάξονται.

37. [ΦΛ. 90]. ΛΕΩΝ ΚΑΙ ΒΑΤΡΑΧΟΣ.

Λέων, ἀκούσας βατράχου μέγα κεκραγότος, ἐστράφη πρὸς τὴν φωνὴν, οἰόμενος μέγα τι ζῶον εἶναι. Προσμείνας δὲ αὐτὸν μικρὸν χρόνον, ὡς ἐθεάσατο τοῦτον ἐκ τῆς λίμνης ἀπελθόντα, προσελθὼν κατεπάτησεν αὐτὸν, εἰπών· Μηδένα ἀκοὴ ταραττέτω πρὸ τῆς θέας (1).

Ὁ μῦθος οὗτος πρὸς ἄνδρα γλωσσώδη, μηδὲν πλέον τοῦ λαλεῖν δυνάμενον.

38. [ΦΛ. 109]. ΛΕΩΝ ΟΝΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.

Λέων καὶ ὄνος καὶ ἀλώπηξ, κοινωνίαν πρὸς ἀλλήλους ποιησάμενοι, ἐξῆλθον πρὸς ἄγραν. Πολλὴν οὖν θήραν συλλαβόντες, ἦλθον εἰς τὸ φαγεῖν. Προσέταξε γοῦν τῷ ὄνῳ ὁ λέων διελεῖν αὐτήν. Τοῦ δὲ, τρεῖς μοίρας ἐξ ἴσου ποιήσαντος, καὶ ἐκλέξασθαι παραινοῦντος αὐτοῖς (2), ὁ λέων ἀγανακτήσας, κατεθοινήσατο τὸν ὄνον. Εἶτα προσέταξε τῇ ἀλώπεκι μοιράσαι. Ἡ δὲ ἅπαντα εἰς μίαν μερίδα συνῆξε, καταλιποῦσα μικρὰν καὶ οὐδαμινὴν μερίδα ἑαυτῇ. Ὁ δὲ λέων ἔφη· Ὦ φίλη, τίς σε οὕτως διανέμειν ἐδίδαξεν; ἡ δὲ ἀλώπηξ ἔφη· Ἡ τοῦ ὄνου συμφορά.

Ὁ μῦθος δηλοῖ, ὅτι σωφρονισμοὶ τοῖς ἀνθρώποις γίνονται τὰ τῶν πέλας δυστυχήματα.

---

(1) Ἐγράφετο, Πρὸ τῆς θέας, ἤγουν μηδεὶς πρὸ τοῦ ἰδεῖν ταραττέσθω ὑπό τινος. Ἀλλ' αἱ ὀκτὼ τελευταῖαι λέξεις, διάφορός εἰσι γραφὴ, ἢ γοῦν, ὡς ἔδοξε τῷ πρὸ ἡμῶν, ἐπεξήγησις τῶν πρὸ αὐτῶν.

(2) Ἐγράφετο, Αὐτούς.

39. [φλ. 96] ΛΕΩΝ ΑΡΚΤΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.

Λέων καὶ ἄρκτος, ἐλάφου νεβρὸν (1) εὑρόντες, περὶ τούτου ἐμάχοντο. Δεινῶς οὖν ὑπ' ἀλλήλων διατεθέντων, καὶ ἐκ τῆς πολλῆς μάχης ἀμφοτέρων σκοτισθέντων, καὶ ἡμιθανῶν κειμένων, ἀλώπηξ παριοῦσα (2), ὡς ἐθεάσατο τοὺς μὲν παρειμένους, τὸν δὲ νεβρὸν (3) ἐν μέσῳ κείμενον, εἰσελθοῦσα διὰ μέσου αὐτῶν, ἀραμένη τοῦτον, δρομαῖος (4) ᾤχετο. Οἱ δὲ ἰδόντες αὐτὴν, καὶ ἀναστῆναι μὴ δυνάμενοι, εἶπον· Ἄθλιοι ἡμεῖς, ὅτι δι' ἀλώπεκα ἐμοχθοῦμεν.

Ὁ λόγος (5) διδάσκει, ὅτι εὐλόγως ἐκεῖνοι ἄχθονται, οἱ τῶν ἰδίων καμάτων τοὺς τυχόντας ὁρῶσι τὰς ἐπικαρπίας ἀποφερομένους. Ἢ (6), ὅτι πολλοὶ μόχθον καὶ κόπον ἑτέρων ποιοῦνται ἴδιον κέρδος.

40. [φλ. 113]. ΜΑΝΤΙΣ

Μάντις ἐπὶ τῆς ἀγορᾶς καθεζόμενος, ἠργυρολόγει. Ἐλ-

---

(1) Ἐκ τῆς βαρβάρου λέξεως, Βουνεύρῳ, διορθώσαντες ἐν τοῖς πρόσθεν (σελ. 25) ἐγράψαμεν, Ὁμοῦ νεβρῷ. Καὶ πιστοῦται νῦν (κατά γε τὴν ἔννοιαν) τὴν ἡμετέραν διόρθωσιν ὁ παρὼν μῦθος, ἐν ᾧ διορθοῦντες αὖθις ἐγράψαμεν, Ἐλάφου νεβρὸν, καὶ οὐχ, ὡς ἐν τῇ Φλωρεντινῇ ἐκδόσει, Ἐλάφου νεῦρον.

(2) Ἐν μὲν τοῖς πρόσθεν (σελ. 25) καλῶς εἶχε τὸ Περιιοῦσα, διὰ τὸ, Κύκλῳ· ἐνταῦθα δὲ τὸ ἀπροσδιόνυσον Περιοῦσα τρεπτέον ἔδοξέ μοι εἶναι εἰς τὸ Παριοῦσα.

(3) Ἀνωτέρω μὲν (σελ. 25) διώρθωκα γράψας, Τὸν νεβρὸν, ἀντὶ τοῦ, Τὸ βούνευρον· ἐνταῦθα δὲ, Τὸν δὲ νεβρὸν, ἀντὶ τοῦ, Τὸ δὲ νεῦρον.

(4) Ἐγράφετο, Τοῦτο δρομαίως.

(5) Ἔτρεψα κἀνταῦθα τὸ βάρβαρον, Ὅλως, εἰς τὸ, Ὁ λόγος.

(6) Διπλοῦν ἐπιμύθιον δηλονότι.

θόντος δέ τινος αἰφνίδιον πρὸς αὐτὸν, καὶ ἀπαγγείλαντος, ὡς τῆς οἰκίας αὐτοῦ αἱ θύραι ἀναπεπταμέναι (1) εἰσὶ, καὶ πάντα τὰ ἔνδον ἐκφορημένα (2), ἐκταραχθεὶς ἀνεπήδησε, καὶ στενάξας ἀπήει δρομαῖος, τὸ γεγονὸς ὀψόμενος. Τῶν δὲ παρατυχόντων καὶ θεασαμένων τις εἶπεν· Ὦ οὗτος, ὁ τὰ ἀλλότρια πράγματα προειδέναι ἐπαγγελόμενος, [τὰ] ἑαυτοῦ οὐ προεμαντεύου;

Τούτῳ τῷ λόγῳ χρήσαιτο ἄν τις πρὸς ἐκείνους τοὺς ἀνθρώπους, οἵτινες τὸν ἑαυτῶν βίον φαύλως διοικοῦντες, τῶν μηδὲν προσηκόντων προνοῆσαι πειρῶνται.

41. [ΦΛ. 118] ΜΥΡΜΗΞ ΚΑΙ ΠΕΡΙΣΤΕΡΑ.

Μύρμηξ διψήσας, κατελθὼν εἰς πηγὴν, καὶ βουλόμενος πιεῖν, ἀπεπνίγετο. Περιστερὰ δὲ, καθεζομένη ἐν τῷ παρεστηκότι (3) δένδρῳ, ἐθεάσατο αὐτὸν, καὶ κόψασα φύλλον ἀπὸ τοῦ δένδρου, ἔῤῥιψεν εἰς τὴν πηγὴν, δι' οὗ ἐπιβὰς ὁ μύρμηξ, ἐσώθη. Ἰξευτὴς δέ τις, παραστὰθεὶς, καὶ συνθεὶς τοὺς καλάμους, τὴν περιστερὰν συλλαβεῖν ἐβουλήθη. Ὁ δὲ μύρμηξ, θεασάμενος, ἔδακε τὸν πόδα τοῦ ἰξευτοῦ. Ὁ δὲ, ἀλγήσας, ῥίψας τοὺς καλάμους, ἐποίησε φυγεῖν τὴν περιστεράν.

Ὁ μῦθος δηλοῖ, ὅτι εἰ καὶ τὰ ἄλογα ζῶα αἴσθησιν ἔχουσι τοῦ καλοῦ, πῶς οὐ δεῖ ἡμᾶς τοὺς εὐεργέτας ἀμείβεσθαι; Ἢ (4), Δύνανται καὶ τὰ μικρὰ τοῖς εὐεργέταις μεγάλας ἀμοιβὰς παρέχειν.

42. [ΦΛ. 124]. ΝΥΚΤΕΡΙΣ ΚΑΙ ΒΑΤΟΣ ΚΑΙ ΑΙΘΥΙΑ.

Νυκτερὶς καὶ βάτος καὶ αἴθυια, πρὸς ἀλλήλας φιλίαν

---

(1) Ἐγράφετο, Ἀναπεπτασμέναι.—(2) Ἢ, Ἀφῃρημένα, ὡς ἐν τοῖς πρόσθεν (σελ. 26), ἢ, Ἐκπεφορημένα, γραπτέον.

(3) Ἐγράφετο κακῶς, Περιεστηκότι.

(4) Διπλοῦν ἐπιμύθιον δηλονότι.

ποιήσασαι, ἐμπορεύεσθαι ἔγνωσαν. Καὶ ἡ μὲν νυκτερὶς, ἀργύριον δανεισαμένη, εἰς τὸ μέσον τοῦτο κατέθηκεν, ἡ δὲ βάτος ἐσθῆτα ἐνεβάλλετο, ἡ δὲ αἴθυια, χαλκὸν (1)· καὶ εὐθέως ἀπέπλευσαν. Χειμῶνος δὲ σφοδροῦ γενομένου, καὶ τῆς νεὼς περιτραπείσης, πάντα ἀπολέσασαι, αὐταὶ ἐπὶ (2) τὴν γῆν διεσώθησαν. Καὶ ἀπὸ τῶν τότε ἡ αἴθυια παρὰ τὸ χεῖλος τῆς θαλάσσης ἐνεδρεύει, μήπως ἡ θάλασσα τὸν χαλκὸν ἐξαγάγῃ· ἡ δὲ νυκτερὶς, τοὺς δανειςὰς φοβουμένη, ἡμέρας μὲν οὐ φαίνεται, νυκτὸς δὲ ἐπὶ νομὴν ἔξεισιν· ἡ δὲ βάτος τῶν ἐσθήτων ἐπιλαμβάνεται τῶν παριόντων, ζητοῦσα τὸ ἴδιον ἱμάτιον ἐπιγνῶναι.

Ὁ μῦθος δηλοῖ, ὅτι περὶ ταῦτα μᾶλλον σπουδάζομεν ὕςερον, περὶ ἃ πρότερον πέσωμεν.

ΑΛΛΩΣ.

ΝΥΚΤΕΡΙΣ ΚΕΠΦΟΣ ΚΑΙ ΒΑΤΟΣ (3).

Νυκτερὶς, κέπφος καὶ βάτος πρὸς ἀλλήλους κοινωνίαν ἔθεντο, τοῦ ἐπί τινα δῆθεν ἐμπορίαν ἀπελθεῖν. Καὶ ἡ μὲν χρυσὸν, τὸ δὲ (4) χαλκὸν, ἡ δὲ ὑφάσματα δανειακῶς ἐξελάβοντο, καὶ ἐν πλοίῳ ἀποθέμενοι, τοῦ πλοὸς εὐθὺς εἴχοντο. Ἄφνω δὲ ζάλη καὶ καταιγὶς διαπνεύσασα εἰς κλύδωνα μέγιςον τὸ πέλαγος αἴρει, καὶ τὸ σκάφος διασπαράττει, καὶ τὰ ἐν αὐτῷ πάντα τῷ βυθῷ παραδίδωσιν. Ἐξ ἐκείνου δὲ, ἡ μὲν νυκτερὶς, τοὺς δανειςὰς δεδιῶσα, καὶ ἑαυτὴν ὑποςέλλουσα, μόνη τῇ νυκτὶ ἐξέρ-

---

(1) Ὧδέ τε καὶ κατωτέρω Χαλκὸν ἔγραψα, ὡς καὶ ἐν τοῖς πρόσθεν (σελ. 27) ἀντὶ τοῦ βαρβάρου Χαλκοῦν.

(2) Μεταβαλὼν καὶ τὴν ςίξιν, καὶ τὴν ἀντωνυμίαν, ἔγραψα, Ἀπολέσασαι, αὐταὶ ἐπὶ, ἀντὶ τοῦ, Ἀπολέσασαι αὗται, ἐπί. Τὸ δὲ, Αὐταὶ, ἴσον δύναται τῷ Μόναι.—(3) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. λς΄.—(4) Βαρβάρως, Τὸ δὲ, ἀντὶ τοῦ, Ὁ δέ.

χεται· τὸ δὲ κέπφος (1) ἐπὶ τῆς θαλάσσης τὰς διατριβὰς ἔχει τὸν χαλκὸν ἀναζητοῦν· ἡ δὲ βάτος τοῖς ἱματισμοῖς τῶν παραπορευομένων συμπλέκεται, τὰ ὑφάσματα εὑρεῖν διόλου σπουδάζουσα.

Ὁ μῦθος δηλοῖ, ὡς τῶν ἀνθρώπων ἕκαστον χρὴ μετὰ τὴν ἔκβασιν τῶν ἐπικινδύνων πράξεων προσεκτικῶς ἐξ αὐτῶν ἔχειν, ὥστε μὴ αὖθις τοῖς ἐκ τούτων ὁμοίοις κακοῖς περιπετῆ γίνεσθαι.

43. [ΦΛ. 126] ΝΟΣΩΝ ΚΑΙ ΙΑΤΡΟΣ.

Νοσῶν τις καὶ ὑπὸ τοῦ ἰατροῦ ἐπερωτώμενος, Πῶς ἐτηρήθης (2); ἔφη, πλέον τοῦ δέοντος ἱδρωκέναι. Ὁ δὲ, ἀγαθὸν τοῦτο εἶναι ἔφη. Ἐκ δευτέρου δὲ ἐρωτηθεὶς παρ' αὐτοῦ, πῶς ἔχεις; ἔφη, Φρίκῃ συσχεθεὶς, σφοδρῶς διετινάχθην. Ὁ δὲ, καὶ τοῦτο ἀγαθὸν φήσας εἶναι, ἐκ τρίτου ἠρώτησεν αὐτὸν, Πῶς ἐτηρήθης; Ὁ δὲ ἔφη, Ὑδρείᾳ (3) περιπέπτωκα. Κἀκεῖνος πάλιν ἀγαθὸν τοῦτο ἔφησε. Μετὰ ταῦτα δὲ, τῶν οἰκείων τινὸς ἐρωτήσαντος αὐτὸν, Πῶς ἔχεις; Ἐγὼ, ἀδελφὲ, εἶπεν, ὑπὸ τῶν ἀγαθῶν ἀπόλλυμαι.

Ὁ μῦθος δηλοῖ, ὅτι τινὲς τῶν ἀνθρώπων θέλουσι κατὰ χάριν λέγειν τισὶν, ἃ μάλιστα αὐτοὺς βλάπτουσιν.

44. [ΦΛ. 127]. ΞΥΛΕΥΟΜΕΝΟΣ ΚΑΙ ΕΡΜΗΣ.

Ξυλευόμενός τις παρά τινα ποταμὸν, τὸν ἑαυτοῦ πέλεκυν ἀπεβάλετο (4). Τοῦ δὲ ῥεύματος παρασύραντος αὐτὸν,

(1) Βαρβάρως, ὡς καὶ παρὰ τῷ σχολιαστῇ τοῦ Νικάνδρου, ἀντὶ τοῦ, Ὁ δὲ κέπφος.—(2) Ἀντὶ τοῦ, Ἐτηρήθης, ὧδέ τε κἀν τοῖς ἑξῆς, γραπτέον ἴσως, Ἐκρίθης.—(3) Βαρβάρως ἀντὶ τοῦ, Ὑδέρῳ, ἢ Ὕδρωπι.—(4) Ἐγράφετο, Ἀπεβάλλετο. Ἄμεινον δὲ γράφειν, Ἀπέβαλε.

ὑπὸ πολλῆς συσχεθεὶς θλίψεως, καθήμενος παρὰ τὰς ἀκτὰς (1) τοῦ ποταμοῦ, ὠδύρετο. Ἑρμῆς δὲ, ὁ τοῦ ποταμοῦ θεὸς, ἐλεήσας αὐτὸν, ἧκε, μαθεῖν θέλων παρ' αὐτοῦ τὴν αἰτίαν, δι' ἣν ἔκλαιε. Τοῦ δὲ, εἰπόντος αὐτῷ, καταβὰς ὁ Ἑρμῆς, χρυσοῦν πέλεκυν ἀνήνεγκεν ἐκ τοῦ ποταμοῦ, καὶ ἐπυνθάνετο, εἰ τοῦτον ἀπώλεσεν. Ἀρνησαμένου δὲ αὐτοῦ, ἐκ δευτέρου καταβὰς, ἀργυροῦν ἀνήνεγκεν. Ὁ δὲ πάλιν ἠρνήσατο κἀκεῖνον μὴ εἶναι αὐτοῦ. Καταβὰς δὲ ἐκ τρίτου, τὴν ἰδίαν ἀξίνην ἐκόμισεν· ἐπηρώτησε δὲ τοῦτον καὶ πάλιν, εἰ ταύτην ἀπώλεσεν. Ὁ δὲ, Ἀληθῶς ταύτην ἀπώλεσα, εἶπεν. Ὁ δὲ Ἑρμῆς, ἀποδεξάμενος αὐτοῦ τὴν δικαιοσύνην καὶ τὸ ἀληθὲς, πάσας αὐτῷ ἐχαρίσατο. Παραγενόμενος οὖν πρὸς τοὺς ἑταίρους αὐτοῦ, διηγήσατο αὐτοῖς τὰ συμβάντα αὐτῷ. Εἷς δέ τις ἐξ αὐτῶν τοῦτον ἐπιφθονήσας, ἐβουλήθη καὶ αὐτὸς τὸ ἴσον παραγενόμενος ἐκεῖσε διαπράξασθαι. Διόπερ, ἀναλαβὼν πέλεκυν, παρεγένετο ἐπὶ τὸν αὐτὸν ποταμὸν ξυλευσόμενος, καὶ ἐπιτηδείως (2) τὴν ἑαυτοῦ ἀξίνην ῥίψας ἐν τῷ ποταμῷ, ἐκαθέζετο κλαίων. Αὐτίκα οὖν τοῦ Ἑρμοῦ ἐπιφανέντος, καὶ τὴν αἰτίαν τῶν θρήνων πυνθανομένου, ἔφη, ὅτι Πέλεκυν ἀπώλεσα ἐν τῷ ποταμῷ· ὅπερ ἀκούσας ὁ Ἑρμῆς, καταβὰς, χρυσοῦν πέλεκυν ἀνήγαγε. Καὶ δὴ φήσαντος αὐτοῦ, εἰ τοῦτον ἀπώλεσεν, ἔφη μετὰ χαρᾶς, Ναὶ ἀληθῶς οὗτός ἐστιν. Ἰδὼν οὖν ἐκεῖνος τὴν ἀναίδειαν καὶ τὸ ψεῦσμα αὐτοῦ, οὐ μόνον τοῦτον οὐκ ἐδωρήσατο αὐτῷ, ἀλλ' οὐδὲ τὸν ἴδιον ἀπέδωκε πέλεκυν.

Ὁ μῦθος διδάσκει, ὅτι ὅσον τοῖς δικαίοις συναγωνίζεται τὸ θεῖον, τοσοῦτον τοῖς ἀδίκοις ἐναντιοῦται.

---

(1) Ἴσως γρ. Ὄχθας· ἴσως δὲ καὶ κατεχρήσατο τῇ λέξει, ἀπὸ τῆς θαλάσσης ἐπὶ τοὺς ποταμοὺς μετενεγκών. Δυσχερὲς γὰρ ἐν οὕτω χυδαίοις συγγραφεῦσι τα συγγραφικὰ τῶν γραφικῶν ἁμαρτημάτων διακρίνειν.—(2) Γράφε, Ἐπίτηδες.

45. [ΦΛ. 132]. ΟΝΟΣ ΚΑΙ ΒΥΡΣΟΔΕΨΗΣ.

Ονος κηπωρῷ δουλεύων, ἐπειδὴ ὀλίγα μὲν ἤσθιε, πολλὰ δὲ ἐκακοπάθει, ηὔξατο τῷ Διῒ, ὅπως τοῦ κηπωροῦ αὐτὸν ἀπαλλάξῃ, καὶ ἑτέρῳ δεσπότῃ αὐτὸν ἐκδώσῃ (1). Ὁ δὲ Ζεὺς πέμψας (2), ἐκέλευσεν εἰς κεραμέα πωλῆσαι. Πάλιν δὲ αὐτοῦ δυσφοροῦντος, ἐπειδὴ πολὺ πλέον ἀχθοφορεῖν ἠναγκάζετο ἐν τῷ πηλῷ καὶ τῇ πλινθείᾳ (3), πάλιν τὸν Δία παρεκάλει. Ὁ δὲ Ζεὺς παρεσκεύασε πραθῆναι αὐτὸν εἰς βυρσοδέψην. Ὁ δὲ ὄνος, εἰς χείρονα δεσπότην ἐμπεσὼν, καὶ ὁρῶν τὰ παρ' αὐτοῦ πραττόμενα, ἔφη μετὰ στεναγμοῦ· Οὐαί μοι τῷ τάλανι! αἱρετώτερον ἦν μοι παρ' ἐκείνοις τοῖς δεσπόταις εἶναι· ἐπεὶ οὗτος, ὡς ὁρῶ, καὶ τὸ δέρμα μου μέλλει ἀνελεῖν (4).

Ὁ μῦθος δηλοῖ, ὅτι μάλιστα τοὺς πρώτους δεσπότας τότε ποθοῦσιν οἱ οἰκέται, ὅταν πεῖραν λάβωσιν ἑτέρων.

46. [ΦΛ. 146]. ΟΡΝΙΘΟΘΗΡΑΣ ΚΑΙ ΚΟΡΥΔΑΛΟΣ.

Ορνιθοθήρας πτηνοῖς παγίδας ἵστα. Κορυδαλὸς δὲ τοῦτον θεασάμενος, ἠρώτα, μακρόθεν ἑστὼς, Τί ἐργάζῃ; τοῦ δὲ, εἰπόντος, Πόλιν κτίζω, καὶ μικρὸν ὑποχωρήσαντος, καὶ κρυβέντος, ὁ κορυδαλὸς, πεισθεὶς τοῖς λόγοις τοῦ ἀνδρὸς, προσῆλθε τῷ τόπῳ, καὶ τὸ δέλεαρ ἐσθίων, ἔλαθεν ἐμπεσεῖν (5)

(1) Ἐκ διορθώσεως τοῦ Φλωρεντινοῦ ἐκδότου, ἀντὶ τοῦ, Ἐκδώσει.

(2) Ἔγραψα, Πέμψας, ἀντὶ τοῦ (βαρβάρως ἐνεργητικοῦ), Μέμψας.

(3) Γραφικὴ φράσις (Ἐξόδ. α', 14) τὸ, Πηλῷ καὶ τῇ πλινθείᾳ· ἐξ ἧς εἰκάσαι πάρεστι τοῦ τῶν Μοναχῶν τάγματος γεγονέναι τὸν διασκευαστὴν τοῦ μύθου.

(4) Γραπτέον, Ἀφελεῖν.

(5) Ἐμπεσὼν, ὤφειλεν εἰπεῖν.

εἰς

εἰς τοὺς βρόχους. Ὁ δὲ ὀρνιθοθήρας δραμὼν, ἀνελάβετο αὐτόν. Καὶ ὁ κορυδαλὸς, Ὦ οὗτος, ἔφη, ἐὰν τοιαύτας πόλεις κτίζῃς, πολλοὺς (1) ἐνοικοῦντας εὑρήσεις.

Ὁ λόγος (2) δηλοῖ, ὅτι τότε μάλιστα καὶ οἶκοι καὶ πόλεις ἐρημοῦνται, ὅταν οἱ προεστῶτες χαλεποὶ ὦσιν (3).

47. [ΦΛ. 156]. ΟΔΟΙΠΟΡΟΣ ΚΑΙ ΕΡΜΗΣ.

Ὁδοιπόρος, πολλὴν ἀνύων ὁδὸν, ηὔξατο λέγων· ὅτι Ὦ Ἑρμῆ, ἐὰν εὕρω τί, σοὶ τὸ ἥμισυ ἀναθήσω. Περιτυχὼν δὲ πήρᾳ, ἐν ᾗ ἀμύγδαλα ἦσαν, καὶ φοίνικες, ταύτην ἀνείλετο, οἰόμενος ἀργύριον εἶναι. Ἐκτινάξας δὲ εὗρε τὰ ἐνόντα. Καταφαγὼν δὲ ταῦτα, καὶ λαβὼν τῶν ἀμυγδάλων τὰ λέπη, καὶ τῶν φοινίκων τὰ ὀστᾶ, ἐπί τινος βωμοῦ ἔθηκεν, εἰπών· Ἀπέχεις, ὦ Ἑρμῆ, τὴν εὐχήν· καὶ γὰρ τὰ ἐντὸς, καὶ τὰ ἐκτὸς πρὸς σὲ ἀνέθηκα.

Ὁ λόγος πρὸς ἄνδρα φιλάργυρον, τὸν καὶ θεοὺς διὰ πλεονεξίαν κατασοφιζόμενον.

48. [ΦΛ. 159]. ΠΑΙΣ ΚΛΕΠΤΗΣ ΚΑΙ ΜΗΤΗΡ.

Παῖς ἐκ τοῦ διδασκαλείου τὴν τοῦ συμφοιτητοῦ δέλτον κλέψας, τῇ ἑαυτοῦ μητρὶ ἐπιδέδωκε· τῆς δὲ, μὴ ἐπιπληξάσης αὐτὸν, ἀλλὰ μᾶλλον ὑποδεξαμένης (4), προϊόντος τοῦ χρόνου, ὁ παῖς, ὡς

(1) Οὐ πολλοὺς, μετὰ τῆς ἀρνήσεως ἀνωτέρω (σελ. 29), ἣν κἀνταῦθα προσθετέον.

(2) Ὁ λόγος, καὶ αὖθις ἔγραψα ἀντὶ τοῦ, Ὅλως.

(3) Ἐπιμύθιον ἀπροσφυὲς καὶ ἀνόητον, ὥσπερ τὰ πλεῖστα τῶν ἀμαθεστάτων μυθογράφων τούτων.

(4) Γράφε, Αὐτῷ, ἀλλὰ μᾶλλον ἀποδεξαμένης.

νεανίας ἤδη γέγονεν, ἤρξατο καὶ τὰ μείζονα κλέπτειν. Ληφθεὶς οὖν ποτε ἐπ' αὐτοφώρῳ, καὶ περιαγκωνισθεὶς, ἐπὶ τὸν δήμιον ἀπήγετο. Τῆς δὲ μητρὸς ἐπακολουθούσης αὐτῷ, καὶ στερνοκτυπούσης, εἶπεν ὁ παῖς πρὸς τοὺς δημίους· Ἐάσατέ με λαλῆσαι τῇ μητρί μου πρὸς τὸ οὖς λόγον ἕνα. Τῆς δὲ, ταχέως ἐλθούσης, καὶ τὸ οὖς αὐτῆς τῷ στόματι τοῦ υἱοῦ αὐτῆς ἐπιθείσης, τοῖς ὀδοῦσιν αὐτοῦ τὸ ὠτίον αὐτῆς γενναίως δραξάμενος, ἀπέκοψεν αὐτό. Τῆς δὲ, βοησάσης, καὶ εἰπούσης, ὡς ἤδη πεπλημμέληκεν, οὐδὲ μὴν (1) ἀλλὰ καὶ τοῦ λαοῦ κατηγοροῦντος αὐτοῦ, ὡς μὴ ἀρκεσθέντος τοῖς προτέροις κακοῖς, ἀλλὰ καὶ εἰς τὴν ἰδίαν μητέρα ἠσέβησεν (2), ἔφη ἐκεῖνος· Αὕτη μοι ἐγένετο τῆς ἐμοῦ ἀπωλείας αἰτία· εἰ γὰρ, ἡνίκα τὴν τοῦ συμφοιτητοῦ μου δέλτον ἔκλεψα, καὶ ἤνεγκα αὐτῇ, ἐπέπληξέ μοι, οὐκ ἂν μέχρι τούτων ἐχώρησα, καὶ ἐπὶ τὸν θάνατον ἠγόμην.

Ὁ μῦθος δηλοῖ, ὅτι τὸ κακὸν, κατ' ἀρχὰς μὴ κολαζόμενον, ἐπὶ μεῖζον αὔξεται.

49. [ΦΛ. 164]. ΠΟΙΜΗΝ ΚΑΙ ΘΑΛΑΣΣΑ.

Ποιμὴν, ἔν τινι τόπῳ παραθαλασσίῳ ποίμνια νέμων, ὡς ἐθεάσατο τὴν θάλασσαν γαληνήν τε καὶ πραεῖαν, ἐπεθύμησε πλεῦσαι. Διόπερ πωλήσας αὐτοῦ τὰ πρόβατα, καὶ φοίνικας ἀγοράσας, ναῦν ἐμφορτωσάμενος (3), ἀνήχθη. Χειμῶνος δὲ σφοδροῦ γενομένου, καὶ τῆς νηὸς περιτραπείσης, πάντα ἀπολέσας, αὐτὸς μόλις ἐπὶ τῆς γῆς διεσώθη. Μετ' οὐ πολλὰς οὖν ἡμέρας, τῆς θαλάσσης γαληνιώσης, ὡς ἐθεάσατό τινα παρ-

(1) Γραπτέον, Οὐ μήν. — (2) Γράφε, Ἠσέβηκεν. — (3) Ἔπιθι τὰ εἰς τὸν Ἡλιόδωρον (Μέρ. Β. σελ. 121) σημειωθέντα μοι περὶ τοῦ Φορτόω.

ιόντα, καὶ ἐπαινοῦντα τῆς θαλάσσης τὴν ἠρεμίαν, ἔφη· Ὦ οὗτος, αὐτὴ (1) γάρ σοι φοινίκων ἐπιθυμεῖ.

Οὕτω πολλάκις τὰ παθήματα τοῖς φρονίμοις γίνεται μαθήματα.

50. [ΦΛ. 176]. ΡΟΙΑ ΜΗΛΕΑ ΚΑΙ ΒΑΤΟΣ.

Ροιὰ καὶ μηλέα περὶ κάλλους ἤριζον. Πολλῆς δὲ φιλονεικίας παρὰ *τῶν* ἀμφοτέρων γεγονυίας, βάτος ἐκ τοῦ πλησίον φραγμοῦ ἀκούσασα, εἶπεν· Ὦ φίλαι, παυσώμεθά ποτε μαχόμεναι.

Ὁ μῦθος δηλοῖ, ὅτι οὕτως παρὰ τὰς τῶν ἀμεινόνων ςάσεις, καὶ οἱ μηδενὸς ἄξιοι πειρῶνται εἶναί τι.

51. [ΦΛ. 177]. ΣΠΑΛΑΞ (2) ΚΑΙ ΜΗΤΗΡ.

Σπάλαξ (ἔςι δὲ τοῦτο τὸ ζῶον τυφλὸν) λέγει τῇ μητέρι αὐτοῦ ὅτι, Βλέπω. Κἀκείνη, πειράζουσα αὐτὸν, χόνδρον λιβανωτοῦ δοῦσα αὐτῷ, ἐπηρώτα, τίποτε εἴη. Τοῦ δὲ, εἰπόντος ψηφίδα, εἶπεν· Ὦ τέκνον, οὐ μόνον τοῦ βλέπειν ἐςέρησαι, ἀλλὰ καὶ τὰς ὀσφρήσεις ἀπώλεσας.

Οὕτως ἔνιοι τῶν ἀλαζόνων, καὶ τὰ ἀδύνατα κατεπαγγέλλονται, καὶ ἐν τοῖς ἐλαχίςοις ἐλέγχονται.

52. [ΦΛ. 178]. ΣΦΗΚΕΣ ΠΕΡΔΙΚΕΣ ΚΑΙ ΓΕΩΡΓΟΣ.

Σφῆκές ποτε καὶ πέρδικες, δίψει συνεχόμενοι, ἧκον πρὸς γεωργὸν, καὶ παρ' αὐτοῦ ποτὸν ᾔτουν, ἐπαγγελλόμενοι ἀντὶ

(1) Γραπτέον Αὕτη, δεικτικῶς, ἢ ὡς ἀνωτέρω (σελ. 31) Αὖθις.

(2) Τοῦ παρακμάζοντος ἑλληνισμοῦ ὁ Σπάλαξ, ἀντὶ τοῦ, Ἀσπάλαξ, καθὰ καὶ παρὰ τὸν Ἀσπάραγον τὸ παρ' ἡμῖν Σπαράγιον, ἢ Σπαράγγιον.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

τοῦ ὕδατος χάριν αὐτῷ ποιῆσαι. Καὶ οἱ μὲν πέρδικες περισκάψαι τοὺς ἀμπελῶνας, καὶ τοὺς βότρυας εὐπρεπεῖς ποιῆσαι, αἱ δὲ σφῆκες, κύκλῳ περιιοῦσαι, τοῖς κέντροις τοὺς κλέπτας ἀπώσασθαι ἔλεγον. Κἀκεῖνος ὑποτυχὼν ἔφη· Ἀλλ' ἔμοιγέ εἰσι δύο βόες, οἵτινές μοι μηδὲν κατεπαγγελλόμενοι, πάντα ποιοῦσιν, οἷς ἄμεινόν ἐςιν ἢ ὑμῖν ποτὸν παρέχειν.

Οὗτος ὁ λόγος πρὸς ἄνδρα ἀχάριςον.

53. [ΦΛ. 183]. ΤΑΩΣ ΚΑΙ ΚΟΛΟΙΟΣ.

Τῶν ὀρνέων βουλομένων ποιῆσαι βασιλέα, ταὼς ἠξίου ἑαυτὸν χειροτονεῖσθαι βασιλέα διὰ τὸ κάλλος. Ἀρεσθέντων (1) δὲ πάντων ἐπὶ τούτῳ τῶν ὀρνέων, κολοιὸς αὐτῷ εἶπεν· Ἀλλ', ἐὰν σοῦ βασιλεύοντος ἀετὸς ἡμᾶς καταδιῶξαι ἐπιχειρήσῃ, πῶς ἡμῖν ἐπαρκέσεις;

Ὁ λόγος (2) δηλοῖ, ὅτι ἀεὶ τοὺς δυνάςας μὴ κάλλει, ἀλλὰ φρονήσει, καὶ δυνάμει δεῖ κοσμεῖσθαι.

ΑΛΛΩΣ.

ΠΤΗΝΩΝ ΒΟΥΛΗ (3).

Ποτὲ τῶν πτηνῶν εἰς κοινὴν βουλὴν ἐπὶ τὸ αὐτὸ συνελθόντων, ἕκαςον αὐτῶν, τίνι τῶν ἄλλων ἐφαρμόζει τὸ βασιλεύειν, πρὸς ἀλλήλους ἐβουλεύοντο. Ὁ δὲ ταὼν ἔφη τοῖς λοιποῖς, ὡς Ἔμοιγε προσήκει ἡ βασιλεία, ἅτε κάλλει καὶ ὡραιότητι σεμνυνομένῳ. Τῶν δὲ ἑτέρων πτηνῶν ἐπαρεσθέντων τῷ ταῶνι, παρελθὼν εἰς μέσον ὁ κόραξ ἀντέφησεν, Ἐὰν σὺ τὴν βασιλείαν παρα-

(1) Ἐγράφετο, Τρεσθέντων.—(2) Ἐγράφετο, Ὅλως.—(3) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. νγ'.

λάβῃς, ἆρά γε, τοῦ ἀετοῦ ἡμῖν ἐπερχομένου, δύνασαι ἡμᾶς τῆς ἐκείνου ἐξαιρεῖσθαι προσβολῆς;

ὁ μῦθος δηλοῖ, ὡς τὸ βασιλεύειν οὐ τοῖς τῷ κάλλει φαιδρυνομένοις ἁρμόττει, ἀλλὰ τοῖς ῥωμαλέοις καὶ ἐν γενναιότητι διαπρέπουσιν.

54. [ΦΛ. 185]. ΥΣ ΑΓΡΙΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.

Υς ἄγριος, ἑςὼς παρά τι δένδρον, τοὺς ὀδόντας ἠκόνα. Ἀλώπεκος δὲ αὐτὸν ἐρωτησάσης τὴν αἰτίαν, ὅτι Μηδεμιᾶς ἀνάγκης οὔσης, μήτε κυνηγοῦ, μήτε κινδύνου ἐφεςῶτος, τοὺς ὀδόντας τί θήγεις; ἔφη· Ἀλλ' οὐ ματαίως τοῦτο ποιῶ· ἐὰν γάρ με κίνδυνος καταλάβῃ, οὐ τότε περὶ τὸ ἀκονᾷν ἀσχοληθήσομαι, ἑτοίμοις δὲ οὖσι χρήσομαι.

ὁ μῦθος δηλοῖ, ὅτι δεῖ πρὸ τῶν κινδύνων τὰς παρασκευὰς ποιεῖν.

56. [ΦΛ. 120]. ΝΕΒΡΟΣ ΚΑΙ ΕΛΑΦΟΣ.

Νεβρὸς (1) δέ ποτε πρὸς τὴν ἔλαφον εἶπε,
Σὺ τῷ μεγέθει μείζων κυνὸς τυγχάνεις,
Καὶ ταχυτάτη, καὶ ὀξεῖα πρὸς δρόμον,
Κέρατα δὲ πρὸς ἄμυναν κατέχεις·
Καὶ τί, ὦ μήτερ, οὕτω φοβῇ τοὺς κύνας;
Ἡ δὲ πρὸς αὐτὸν ἔφη γελῶσα οὕτως·
Ὅτι μὲν ἐγὼ ταῦτα ἅπαντα ἔχω,
Εὖ οἶδα σαφῶς καὶ γινώσκω, ὦ τέκνον·
Ἐπὰν δὲ κυνὸς [τῆς] ὑλακῆς ἀκούσω,

(1) Οὕτω διορθώσας ἔγραψεν ὁ Φλωρεντινὸς ἐκδότης, ὁρμηθεὶς ἐκ τῆς Πλανουδείου συλλογῆς ἀνωτέρω (σελ. 33), ἀντὶ τοῦ, Μόσχος. Καὶ ἔςι μὲν ἀληθὲς τὸ κυριολεκτεῖσθαι τὸν Νεβρὸν ἐπὶ τῆς νέας ἐλάφου· οὐδέν γέ μην ἧττον καὶ ὁ Μόσχος ἂν λέγοιτο ἐπὶ ταύτης, καθὰ καὶ ἐπ' ἄλλων.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Σκοτοῦμαι... καὶ πρὸς φυγὴν τρέπομαι (1).

Ὁ μῦθος δηλοῖ, ὅτι τοὺς ἀνθρώπους τοὺς φύσει δειλοὺς οὐδεμία παραίνεσις ἀνθρώπου ἐπιῤῥώννυσι.

57. [ΦΛ. 89]. ΛΑΓΩΟΙ ΚΑΙ ΒΑΤΡΑΧΟΙ.

Λαγωοὶ, καταγνόντες ἑαυτῶν δειλίαν, ἔγνωσαν δεῖν ἑαυτοὺς κατακρημνίσαι. Καὶ παραγενόμενοι ἐπί τινα λίμνην, τοῦ βαλεῖν ἑαυτοὺς ἐν αὐτῇ, βάτραχοι τοῦ ψόφου ἀκούσαντες, ἑαυτοὺς εἰς τὰ βάθη τῆς λίμνης ἐδίδοσαν. Εἷς δέ τις τῶν λαγωῶν, θεασάμενος αὐτοὺς, ἔφη πρὸς τοὺς ἑτέρους· Μηκέτι ἑαυτοὺς κατακρημνίσωμεν· ἰδοὺ γὰρ εὕρηνται καὶ ἡμῶν δειλότερα ζῶα.

Οὕτως καὶ τοῖς ἀνθρώποις αἱ τῶν ἄλλων συμφοραὶ τῶν ἰδίων δυςυχημάτων παραμύθιον γίνονται.

[ΦΛ. 150]. ΑΛΛΩΣ.

Οἱ λαγωοὶ πάντες συνελθόντες, ἐβόων ταῦτα πρὸς ἀλλήλους θρηνοῦντες· Ἵνα τί δεινὸς ὁ βίος ἡμῶν ἐςι; καὶ γὰρ ἀετοὶ, ἄνθρωποί τε καὶ κύνες, ἅπαντες ἡμᾶς πειρῶνται καταθῦσαι. Βέλτιον οὖν ἐςιν ἡμῖν θανατῶσαι ἑαυτοὺς, καὶ μὴ ζῆν οὕτω κακίςως ἐν φόβῳ. Ταῦτά γε (2) τούτων πρὸς ἀλλήλους εἰπόντων, ὥρμησαν εἰς λίμνην ἑαυτοὺς ἐμβαλεῖν. Οἱ δὲ βάτραχοι τούτους εὐθὺς ἰδόντες, ἀπεῤῥίφησαν παρευθὺς εἰς τὸ ὕδωρ. Εἷς δὲ λαγωὸς ςρατηγέτης τυγχάνων, ἐμειδίασε, καὶ πρὸς αὐτοὺς ἐβόησε· Στῆτε, ἀδελφοὶ, μηδὲν κακὸν ποιήσητε (3)· ὡς γὰρ ὁρᾶτε,

(1) Τὸν μῦθον, πεζοῦ λόγου δίκην ἐφεξῆς γεγραμμένον, εἰς ἰαμβεῖα κατεμέλισα, ἄμετρα μὲν καὶ ἄμουσα, οὕτω δὲ πάλαι συντεθέντα ὑπὸ τοῦ διασκευάσαντος αὐτόν.—(2) Γράφε, Ταῦτα δέ.—(3) Εγράφετο, Ποιήσετε.

δειλότερα τυγχάνουσι ταῦτα τὰ ζῶα ὑπὲρ ἡμᾶς ἅπαντας (1).

Ὁ μῦθος δηλοῖ, ὅτι τοῖς δυςυχοῦσιν οὐ τὴν τυχοῦσαν παραμυθίαν φέρει τὸ καὶ ἑτέρους ὁρᾷν κακοπαθοῦντας.

58. [ΦΛ. 151]. ΟΝΟΣ ΚΑΙ ΙΠΠΟΣ.

Ονος ποτὲ ἐμακάριζεν ἵππον, διὰ τὴν τροφὴν αὐτοῦ, καὶ τὴν θεραπείαν, τὴν δὲ ἑαυτοῦ τύχην ἐμυκτήριζεν, ὡς ἀχθοφοροῦντος πολλὰ, καὶ κοπιῶντος, καὶ οὐδὲ ἄχυρον εἰς κόρον λαμβάνοντος. Ἐπεὶ δὲ ἐπέςη καιρὸς πολέμου, καὶ ὁ ςρατιώτης σὺν τοῖς ὅπλοις ἐπέβη ἐπὶ τὸν ἵππον, καὶ ὧδε κἀκεῖσε τοῦτον ἤλαυνεν, ὡς εἰς μέσον ἔβη τῶν πολεμούντων ξιφήρης, ὁ ἵππος [πληγεὶς] ἔκειτο ἐπ' ἐδάφους. Ὡς οὖν ἑώρα τοῦτον ὁ ὄνος, εὐθὺς μετεβάλετο (2), καὶ τὸν ἵππον ἠλέει.

Ὁ μῦθος δηλοῖ, ὅτι καὶ τοὺς πλουσίους καὶ ἄρχοντας οὐ δεῖ ζηλοῦν· ἀλλὰ, τὸν κατ' ἐκείνων φθόνον καὶ κίνδυνον ἀναλογιζομένους, ἀγαπᾷν τὴν πενίαν, τὴν μητέρα τῆς ἡσυχίας.

59. [ΦΛ. 188]. ΦΙΛΑΡΓΥΡΟΣ.

Φιλάργυρός τις, τὴν οὐσίαν ἐξαργυρισάμενος (3), βῶλον χρυσοῦν ὠνήσατο, καὶ τοῦτον πρὸ τοῦ τοίχου κατορύξας, διετέλει συνεχῶς ἐρχόμενος καὶ ἐπισκεπτόμενος. Τῶν δὲ περὶ [τὸν] τόπον ἐργατῶν τις, παρατηρησάμενος αὐτοῦ τὰς ἀφίξεις, ὑπενόησε τὸ ἀληθές. Ἀπαλλαγέντος οὖν αὐτοῦ, τὸ χρυσίον ἀνείλετο. Ὁ δὲ, ὡς ἐπανελθὼν εὗρε τὸν τόπον κενὸν, ἔκλαιε,

---

(1) Ἐξ ἰαμβείων, ἢ γοῦν δωδεκασυλλάβων ςίχων συνέςηκε καὶ οὗτος ὁ μῦθος, ὃν ἀποκαταςῆσαι εἰς τὸ ἀρχαῖον μὴ οὐ πολλὰ μετακινήσαντα τῆς γραφῆς οὐχ οἷόν τε.—(2) Ἐγράφετο, Μετεβάλλετο. —(3) Ἐγράφετο, Ἐξαργυριζόμενος.

καὶ τὰς τρίχας ἔτιλλεν. Ἰδὼν δέ τις αὐτὸν ὑπερπαθοῦντα (1), καὶ τὴν αἰτίαν μαθὼν, ἔφη πρὸς αὐτόν· Μὴ λυποῦ, ἀλλὰ λαβὼν λίθον [ἐν] τῷ αὐτῷ τόπῳ κατάθες, καὶ νόμιζε τὸ χρυσίον κεῖσθαι· οὐδὲ γὰρ, ὅτε ἦν, ἐχρῶ αὐτῷ.

Ὁ μῦθος δηλοῖ, ὅτι οὐδέν ἐςιν ἡ κτῆσις, ἐὰν μὴ καὶ χρῆσις τις ἐπάρῃ (2).

60. [ΦΛ. 191]. ΧΗΝΕΣ ΚΑΙ ΓΕΡΑΝΟΙ.

Χῆνες καὶ γέρανοι τὸν αὐτὸν λειμῶνα ἐνέμοντο. Ἐπιφανέντων δὲ αὐτοῖς θηρευτῶν, οἱ μὲν γέρανοι, ἐλαφροὶ ὄντες, ταχέως ἀπέπτησαν, καὶ διεσώθησαν· αἱ δὲ χῆνες μείνασαι, διὰ τὸ βάρος τῶν σωμάτων, συνελήφθησαν.

Οὕτω καὶ ἐπὶ τῶν ἀνθρώπων ἐπὶ ἐπαναςάσεσι πόλεων γίνεται· οἱ μὲν πένητες, διὰ τὸ ἀκτήμονες εἶναι, ῥᾳδίως μεταβαίνουσιν ἀπὸ πόλεως εἰς πόλιν, οἱ δὲ πλούσιοι, διὰ τὴν τῶν ὑπαρχόντων ὑπερβολὴν μένοντες, πολλάκις δουλεύουσι.

61. [ΦΛ. 193]. ΧΕΛΩΝΗ ΚΑΙ ΑΕΤΟΣ.

Χελώνη, θεασαμένη ἀετὸν πετόμενον, ἐπεθύμησε καὶ αὐτὴ πετᾶσαι. Προσελθοῦσα δὲ τοῦτον παρεκάλει, ἐφ' ᾧ βούλεται μισθῷ, διδάξαι αὐτήν. Τοῦ [δὲ], λέγοντος ἀδύνατον εἶναι, καὶ ἔτι αὐτῆς ἐπικειμένης καὶ ἀξιούσης, ἄρας αὐτὴν, καὶ μετέωρος ἀρθεὶς, ἀφῆκεν ἐπί τινος πέτρας, ὅθεν κατενεχθεῖσα διεῤῥάγη καὶ ἀπέθανεν.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ τῶν ἀνθρώπων ἐν ταῖς φιλονεικίαις τῶν φρονιμωτέρων αὐτῶν παρακούσαντες, ἑαυτοὺς καταβλάπτουσιν.

---

(1) Ἐγράφετο, Ὑπερπαθόντα.

(2) Γράφ. Ἐὰν μὴ ἡ χρῆσις παρῇ (ἢ, προσῇ), ὥσπερ ἀνωτέρω (σελ. 36).

62. [ΦΛ. 194]. ΨΥΛΛΑ ΚΑΙ ΑΘΛΗΤΗΣ.

Ψύλλα ποτὲ πηδήσασα, ἐκάθισεν ἐπὶ πόδα ἀνδρὸς ἀθλητοῦ σοβοῦντος, καὶ ἀλλομένη ἐνῆκε δῆγμα. Ὁ δὲ, ἀκροχολήσας (1), ἠυτρέπισε τοὺς ὄνυχας, ὅπως συνθλάσῃ ταύτην. Ἡ δὲ, ἐφ' ὁρμῆς (2) φυσικῆς πήδημα λαβοῦσα, ἀπέδρα, τοῦ θανεῖν ἀπαλλαγεῖσα. Καὶ ὃς, στενάξας εἶπεν· Ὦ Ἡράκλεις, διὰ τί ἐπὶ κακοὺς ἀνταγωνιστὰς οὐκ εἶ συνεργός;

Ὁ λόγος (3) δηλοῖ, ὅτι οὐ δεῖ ἐπὶ τὰ ἐλάχιστα καὶ ἀκίνδυνα πράγματα *ἐπ'* εὐθὺς τοὺς θεοὺς ἐπικαλεῖσθαι, ἀλλ' ἐπὶ ταῖς μείζοσιν ἀνάγκαις καὶ συμφοραῖς.

63. [ΦΛ. 63]. ΕΛΑΦΟΣ.

Ἔλαφος, πηρωθεῖσα τὸν ἕτερον τῶν ὀφθαλμῶν, παρεγένετο εἴς τινα αἰγιαλὸν, καὶ ἐνταῦθα ἐνέμετο, τὸν μὲν ὁλόκληρον ὀφθαλμὸν πρὸς τὴν γῆν ἔχουσα, καὶ τὴν τῶν κυνηγῶν ἔφοδον παρατηρουμένη, τὸν δὲ πεπηρωμένον πρὸς τὴν θάλασσαν· ἔνθεν γὰρ οὐδένα κίνδυνον ὑφωρᾶτο (4). Καὶ δή τινες, παραπλέοντες ἐκεῖνον τὸν τόπον, καὶ θεασάμενοι αὐτὴν, κατευστοχήσαντο (5). Ἐπεὶ δὲ ἐλειποψύχει, εἶπε πρὸς ἑαυτήν· Ἀλλ' ἔγωγε ἀθλία,

---

(1) Ἐγράφετο, Ἀκροχολέσας.
(2) Ἴσως γρ. Ἀφ' ὁρμῆς.
(3) Ἐγράφετο, Ὅλως.
(4) Ἐγράφετο, Ἐφωρᾶτο.
(5) Περιεῖλον τὴν ἑπομένην ἐπεξήγησιν, Ἤγουν κατετόξευσαν, ἣν ἐτήρησεν ὁ Φλωρεντινὸς ἐκδότης, καίπερ εἰδὼς ἐπεξήγησιν οὖσαν τοῦ βαρβάρου, Κατευστοχήσαντο.

ἥτις τὴν γῆν ὡς ἐπίβουλον ἐφυλαττόμην, πολὺ δὲ χαλεπωτέραν ἔσχον τὴν θάλασσαν, ἐφ' ἣν κατέφυγον.

Οὕτω πολλάκις παρὰ (1) τὴν ἡμετέραν ὑπόληψιν τὰ μὲν χαλεπὰ τῶν πραγμάτων δοκοῦντα εἶναι, ὠφέλιμα εὑρίσκονται· τὰ δὲ σωτήρια νομιζόμενα, ἐπιβλαβῆ.

64. [ΦΛ. 64]. ΕΛΑΦΟΣ ΚΑΙ ΛΕΩΝ.

Ελαφος, κυνηγοὺς φεύγουσα, ἐγένετο κατά τι σπήλαιον, ἐν ᾧ ἦν λέων· ἐνταῦθα εἰσιοῦσα (2) κρυβησομένη. Συλληφθεῖσα δὲ ὑπὸ τοῦ λέοντος, καὶ ἀναιρουμένη, ἔφη· Βαρυδαίμων ἐγὼ, ἥτις, ἀνθρώπους φεύγουσα, ἐμαυτὴν θηρίῳ ἐνεχειρισάμην.

Οὕτως ἔνιοι τῶν ἀνθρώπων, διὰ φόβον ἐλαττόνων κινδύνων, ἑαυτοὺς εἰς μείζονα κακὰ εἰσιᾶσιν (3).

65. [ΦΛ. 65]. ΕΛΑΦΟΣ ΚΑΙ ΑΜΠΕΛΟΣ.

Ελαφος, διωκομένη ὑπὸ κυνηγῶν, ἐκρύβετο ὑπό (4) τινα ἄμπελον. Διελθόντων δὲ τῶν κυνηγῶν, κατήσθιε ϛραφεῖσα (5) τὰ φύλλα τῆς ἀμπέλου. Εἷς δέ τις τῶν κυνηγῶν ϛραφεὶς, καὶ θεασάμενος, ᾧ εἶχεν ἀκοντίῳ βαλὼν, ἔτρωσεν αὐτήν. Ἡ δὲ, μέλλουσα τελευτᾷν, ϛενάζουσα πρὸς ἑαυτὴν ἔφη· Δίκαια πάσχω, ὅτι τὴν σώσασάν με ἄμπελον ἠδίκησα.

Οὗτος ὁ λόγος λεχθείη ἂν κατ' ἀνδρῶν, οἵτινες τοὺς εὐεργέτας ἀδικοῦντες, ὑπὸ θεοῦ κολάζονται.

---

(1) Ἐγράφετο, Περί.

(2) Γράφε, Καὶ ἐνταῦθα εἰσῄει.

(3) Εἰσιᾶσιν ἔγραψα, ὧδέ τε καὶ ἀνωτέρω (σελ. 39) ἀντὶ τοῦ Εἰσίασιν.

(4) Ἐγράφετο, Ἐπί.

(5) Ἐγράφετο, Τραφεῖσα.

66. [ΦΛ. 70]. ΟΝΟΣ ΑΛΕΚΤΡΥΩΝ ΚΑΙ ΛΕΩΝ.

Ἐν τινι ἐπαύλει (1) ὄνος καὶ ἀλεκτρυὼν ἦσαν. Λέων δὲ λιμώττων, ὡς ἐθεάσατο τὸν ὄνον, οἷός τε ἦν (2), εἰσελθὼν *ἤμελλε* καταθοινήσασθαι. Περὶ δὲ τὸν ψόφον ἀλεκτρυόνος φθεγξαμένου, καταπτήξας (φασὶ γὰρ τοὺς λέοντας πτύρεσθαι πρὸς τὰς τῶν ἀλεκτρυόνων φωνάς), εἰς φυγὴν ἐτράπη. Καὶ ὁ ὄνος, ἀναπτερωθεὶς κατ' αὐτοῦ, εἴγε ἀλεκτρυόνα ἐφοβήθη, ἐξῆλθεν ὡς ἀποδιώξων αὐτόν. Ὁ δὲ, ὡς μακρὰν ἐγένετο, κατέφαγεν αὐτόν.

Οὕτω καὶ τῶν ἀνθρώπων ἔνιοι, ταπεινουμένους τοὺς (3) ἑαυτῶν ἐχθροὺς ὁρῶντες, καὶ διὰ τοῦτο καταθρασυνόμενοι, λανθάνουσιν ὑπ' αὐτῶν ἀναλισκόμενοι.

69. [ΦΛ. 186]. ΥΣ ΚΑΙ ΚΥΩΝ.

Ὗς καὶ κύων περὶ εὐτοκίας ἤριζον. Τῆς δὲ κυνὸς εἰπούσης, ὅτι πάντων τετραπόδων ταχέως (4) ἀποκύει, ἡ ὗς ὑποτυχοῦσα ἔφη· Ἀλλ' ὅταν τοῦτο λέγῃς, γίνωσκε ὅτι τυφλὰ γεννᾷς.

Ὁ λόγος (5) δηλοῖ, ὅτι οὐκ ἐν τῷ τάχει τὰ πράγματα, ἀλλ' ἐν τῇ τελειότητι κρίνεται.

70. [ΦΛ. 231]. ΟΦΙΣ ΚΑΙ ΚΑΡΚΙΝΟΣ (6).

(1) Ἐγράφετο, Ἐπαύλῃ. — (2) Ἢ τὸ, Οἷός τε ἦν, ἢ τὸ, Ἤμελλε, διαγραπτέον. — (3) Ἐγράφετο, Ταπεινοὺς μὲν τούς. — (4) Γράφε, Ὅτι μόνη τῶν τετραπόδων ταχέως, ὡς ἀνωτέρω (σελ. 42), ἤ, Ὅτι πάντων τετραπόδων τάχιστα. — (5) Ἐγράφετο, Ὅλως. — (6) Τούτῳ τῷ μύθῳ (ὃν ἐκ τῆς Πλανουδείου συλλογῆς ἠρανίσατο καὶ ὁ Φλωρεντινὸς ἐκδότης) μαρτύριον οἱ πρὸ ἡμῶν παρέθεντο τὸ τοῦ Ἀλκαίου τοδί·

Ὁ δὲ καρκῖνος ὧδ' ἔφη, χαλᾷ τὸν ὄφιν λαβών,
Εὐθέα χρὴ τὸν ἑταῖρον ἔμεν, καὶ μὴ σκολιὰ φρονεῖν.

76. [ΦΛ. 192]. ΧΕΛΙΔΩΝ ΚΑΙ ΚΟΡΩΝΗ.

Χελιδὼν καὶ κορώνη περὶ κάλλους ἤριζον. Ὑποτυχοῦσα δὲ ἡ κορώνη, πρὸς αὐτὴν εἶπεν· Ἀλλὰ τὸ μὲν σὸν κάλλος τὴν ἐαρινὴν ὥραν ἀνθεῖ, τὸ δὲ ἐμὸν σῶμα καὶ χειμῶνι ἀντιτάσσεται.

Ὁ λόγος (1) δηλοῖ, ὅτι ἡ παράτασις (2) τοῦ σώματος, εὐπρεπείας καλλίων ἐςί (3).

79. [ΦΛ. 44]. ΓΥΝΗ ΚΑΙ ΘΕΡΑΠΑΙΝΑΙ.

Γυνὴ χήρα φιλεργὸς, θεραπαινίδας ἔχουσα, ταύτας εἰώθει νυκτὸς ἐπὶ τὰ ἔργα διεγείρειν πρὸς ἀλεκτοροφωνίαν. Αἱ δὲ, συνεχῶς καταπονούμεναι, ἔγνωσαν δεῖν τὸν ἐπὶ τῆς οἰκίας ἀλέκτορα ἀποπνίξαι· ἐκεῖνον γὰρ ᾤοντο τῶν κακῶν αἴτιον εἶναι, νύκτωρ ἐγείροντα τὴν δέσποιναν. Τούτου γοῦν γενομένου, ἡ κυρία αὐτῶν νυκτιώτερον (4) αὐτὰς ἤγειρεν, ἀγνοοῦσα τὴν τῶν ἀλεκτρυόνων ὥραν.

Οὕτω πολλοῖς ἀνθρώποις τὰ ἴδια βουλεύματα, κακῶν αἴτια γίνονται.

80. [ΦΛ. 45]. ΓΥΝΗ ΜΑΓΟΣ.

Γυνὴ μάγος, ἐπῳδὰς καὶ καταθέσεις θείων μηνιμάτων (5)

(1) Ἐγράφετο, Ὅλως.

(2) Ἐγράφετο, Παράταξις. Παράτασιν δὲ λέγει τὴν διαμονὴν, ἢ διάρκειαν.

(3) Τοῦ Φλωρεντινοῦ ἐκδότου διόρθωσις, ἀντὶ τοῦ Καλλονή·

(4) Ἐγράφετο, « Νυκτιάτερον, ἤγουν ταχυνώτερον ». Τὴν μὲν πρώτην λέξιν τρέπειν δεῖν οἶμαι εἰς τὸ Νυκτιώτερον, ἢ Νυκτιαίτερον· τὰς λοιπὰς δὲ δύο, ὡς ἐπεξήγησιν οὔσας τῆς πρώτης (συνέντος τοῦτο καὶ τοῦ Φλωρεντινοῦ ἐκδότου), ἐξέωστέ τοῦ χωρίου.

(5) Ἐγράφετο, Μηνυμάτων.

ἐπαγγελλομένη, διετέλει πολλὰ τελοῦσα, [καὶ] ἐκ τούτων οὐ μικρὰ βίῳ (1) πορίζουσα. Ἐπὶ τούτοις γραψάμενοί τινες αὐτὴν, ὡς καινοτομοῦσαν περὶ (2) τὰ θεῖα, εἰς δίκην ὑπήγαγον, καὶ κατηγορήσαντες, κατεδίκασαν αὐτὴν θανάτῳ. Θεασάμενος δέ τις αὐτὴν ἀπαγομένην ἐκ τῶν δικαστηρίων, ἔφη αὐτῇ· Οὐ τὰς τῶν δαιμόνων ὀργὰς ἀποτρέπειν ἐπηγγέλλου; πῶς οὐδὲ ἀνθρώπους πεῖσαι ἠδυνήθης (3);

Ὁ λόγος οὗτος πρὸς ἀπατεῶνας, καὶ μεγάλα ὑποσχομένους· εἶτα οὗτοι ἐν μικροῖς ἐλέγχονται.

81. [ΦΑ. 49]. ΓΑΛΗ.

Γαλῆ, εἰσελθοῦσα εἰς χαλκέως ἐργαστήριον, τὴν ἐκεῖ κειμένην ῥίνην περιέλειχε. Συνέβη δὲ, ἐκτριβομένης τῆς γλώσσης, πολὺ αἷμα φέρεσθαι. Ἡ δὲ ἐτέρπετο, ὑπονοοῦσά τι τοῦ σιδήρου ἀφαιρεῖσθαι, μέχρι παντελῶς ἀπέβαλε τὴν γλῶσσαν.

Ὁ λόγος εἴρηται πρὸς τοὺς ἐν φιλονεικίαις ἑαυτοὺς καταβλάπτοντας.

82. [ΦΑ. 51]. ΓΕΩΡΓΟΣ ΚΑΙ ΤΥΧΗ.

Γεωργός τις χρυσίον εὑρὼν ἐν γαίῃ σκάπτων, ἔστεφε (4) τὴν γῆν καθ' ἡμέραν, ὡς εὐεργετηθεὶς παρ' αὐτῆς. Τούτῳ δὲ ἐπιστᾶσα ἡ τύχη φησίν· Ὦ οὗτος, τί τῇ γῇ τὰ ἐμὰ δῶρα προστίθης, ἅπερ ἐγώ σοι δέδωκα, πλουτίσαι βουλομένη σε; ἂν

---

(1) Ἴσ. γρ. Μικρὸν βίον, ἢ, Μικρὰ τῷ βίῳ.

(2) Ἐγράφετο, Κενοτομοῦσαν ἐπί.

(3) Ἄμεινον ἂν γράφοις καὶ στίζοις, Σὺ ἡ (ἢ Σὺ ἥτις) τὰς τῶν... ἐπηγγέλλου, πῶς κ. τ. λ.

(4) Ἔγραψα, (ὡς γέγραπται σελ. 49) Ἔστεφε, ἀντὶ τοῦ Ἔστρεφε. Τὸ δὲ ποιητικὸν, Γαίῃ, ὑπονοεῖν παρέχει, ὅτι διὰ στίχων καὶ οὗτος ὁ μῦθος ἐγέγραπτο πάλαι.

γὰρ ὁ καιρὸς μεταλλάξῃ τὴν φύσιν, καὶ εἰς ἄλλας χρείας (1) μοχθηρὰς ἀναλώσῃ (2), πάλιν τὴν τύχην μέμψῃ.

Ὁ λόγος διδάσκει, ὅτι χρὴ γινώσκειν τὸν εὐεργέτην, καὶ τούτῳ χάριτας ἀποδιδόναι.

89. [ΦΛ. 68]. ΜΥΙΑΙ.

Ἐν τινι ταμιείῳ μέλιτος ἐκχυθέντος, μυῖαι περιστᾶσαι κατήσθιον· διὰ δὲ τὴν γλυκύτητα τοῦ καρποῦ, οὐκ ἀφίσταντο. Ἐμπαγέντων δὲ αὐτῶν τῶν ποδῶν, ὡς οὐκ ἠδύναντο ἀναπτῆναι, ἀποπνιγόμεναι ἔφασαν· Ἄθλιαι ἡμεῖς, αἳ διὰ βραχεῖαν ἡδονὴν ἀπολλύμεθα.

Οὕτω πολλοῖς ἡ λιχνεία πολλῶν κακῶν αἰτία γίνεται.

94. [ΦΛ. 74]. ΕΡΙΦΟΣ ΚΑΙ ΛΥΚΟΣ.

Ἔριφος, ὑστερήσας ἀπὸ ποίμνης ποτὲ, ὑπὸ λύκου κατεδιώκετο. Ἐπιστραφεὶς δὲ ὁ ἔριφος λέγει τῷ λύκῳ· Ἀληθῶς πέπεισμαι, ὅτι σὸν βρῶμά εἰμι· ἀλλ' ἵνα μὴ ἀδόξως ἀποθάνω, αὔλησον, ὅπως ὀρχήσωμαι. Αὐλοῦντος δὲ τοῦ λύκου, καὶ τοῦ ἐρίφου ὀρχουμένου, ἀκούσαντες οἱ κύνες, κατεδίωξαν τὸν λύκον. Ἐπιστραφεὶς δὲ ὁ λύκος λέγει τῷ ἐρίφῳ· Ταῦτα ἐμοὶ, ὦ ἔριφε, ὅτι μακελλάριον ὄντα με, αὐλητὴν μιμεῖσθαι πεποίηκας.

105. [ΦΛ. 79]. ΖΕΥΣ.

Ζεὺς γαμῶν, τὰ ζῶα πάντα εἱστία. Μόνης δὲ χελώνης ὑστε-

(1) Οὐ διάφορος γραφὴ τοῦ ἀνωτέρω (σελ. 49) Χεῖρας, τὸ, Χρείας, ἀλλὰ διάφορος τοῦ μύθου διασκευή.
(2) Ἴσ. γρ. Ἀναλώσῃς.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ρησάσης, διαπορῶν τὴν αἰτίαν τῇ ὑςεραίᾳ (1) ἐπυνθάνετο αὐτῆς, διὰ τί μόνη ἐπὶ τὸ δεῖπνον οὐκ ἦλθε. Τῆς δὲ, εἰπούσης, Οἶκος φίλος, οἶκος ἄριςος, ἀγανακτήσας κατ' αὐτῆς, παρεσκεύασεν αὐτὴν τὸν οἶκον βαςάζουσαν ἐπιφέρειν.

Οὕτω πολλοὶ τῶν ἀνθρώπων αἱροῦνται μᾶλλον [ἐν] λιτῷ οἴκῳ μένειν, ἢ παρ' ἄλλοις (2) πολυτελῶς διαιτᾶσθαι.

107. [ΦΛ. 108]. ΛΑΓΩΟΙ ΚΑΙ ΑΛΩΠΕΚΕΣ (3).

Λαγωοί ποτε πολεμοῦντες ἀετοῖς, παρεκάλουν εἰς συμμαχίαν ἀλώπεκας. Αἱ δὲ ἔφασαν· ἐβοηθήσαμεν ἂν ὑμῖν, εἰ μὴ εἴδειμέν τινες ἦτε, καὶ τισι πολεμεῖτε.

Ὁ μῦθος τοῦτο δηλοῖ, ὅτι οἱ φιλονεικοῦντες τοῖς κρείττοσι, τῆς ἑαυτῶν σωτηρίας καταφρονοῦσι.

108. [ΦΛ. 116]. ΜΥΡΜΗΞ.

Μύρμηξ ὁ νῦν, τὸ πάλαι ἄνθρωπος ἦν· καὶ τῇ γεωργίᾳ προσέχων, τοῖς ἰδίοις πόνοις οὐκ ἠρκεῖτο, ἀλλὰ καὶ τοῖς [τῶν] ἀλλοτρίων ἐφορμῶν, διετέλει τοὺς τῶν γειτόνων καρποὺς ἀφαιρούμενος. Ὁ δὲ Ζεὺς, ἀγανακτήσας κατὰ τῆς πλεονεξίας αὐτοῦ, μετεμόρφωσεν αὐτὸν εἰς τοῦτο τὸ ζῶον, ὃ καλεῖται Μύρμηξ. Ὁ δὲ, τὴν μορφὴν ἀλλάξας, τὴν διάθεσιν οὐ μετεβάλετο (4)·

---

(1) Ἴσ. γρ. Τῆς Ὑςερείας (παρὰ τὸ Ὑςερεύω), ἢ ὡς ἀνωτέρω (σελ. 59), Τῆς ὑςερήσεως.

(2) Ἐγράφετο, Παρ' ἄλλην.

(3) Σχεδόν τι ἀπαράλλακτος τῷ ἐν τοῖς πρόσθεν (σελ. 60) μύθῳ.

(4) Ἐγράφετο, Μετεβάλλετο.

μέχρι γὰρ νῦν κατὰ τὰς ἀρούρας περιιὼν, τοὺς πόνους τῶν ἄλλων συλλέγει, καὶ ἑαυτῷ ἀποθησαυρίζει.

Ὁ λόγος (1) δηλοῖ, ὅτι οἱ φύσει πονηροὶ, κἂν τὰ μάλιςα κολάζωνται, τὸν τρόπον οὐ μετατίθενται.

109. [ΦΛ. 125]. ΝΥΚΤΕΡΙΣ ΚΑΙ ΓΑΛΗ.

Νυκτερὶς, ἐπὶ τῆς γῆς πεσοῦσα, ὑπὸ γαλῆς συνελήφθη. Μέλλουσα δὲ ὑπ' αὐτῆς ἀναιρεῖσθαι, περὶ τῆς σωτηρίας ἑαυτῆς παρεκάλει. Τῆς δὲ, λεγούσης, ὡς οὐ δύναται αὐτὴν ἀπολῦσαι (φύσει γὰρ πᾶσι πολεμεῖ (2) πτηνοῖσιν), ἔφησεν αὐτὴν μὴ ὄρνεον εἶναι, ἀλλὰ μῦν· καὶ οὕτως ἀφείθη. Ὕςερον δὲ πάλιν πεσοῦσα, καὶ συλληφθεῖσα ὑπὸ ἑτέρας γαλῆς, ἐδέετο ὅπως μὴ θύσῃ αὐτήν. Τῆς δὲ, εἰπούσης ἅπασι μυσὶ διεχθρεύειν, ἔλεγεν ἑαυτὴν μὴ μῦν εἶναι, ἀλλὰ νυκτερίδα· καὶ πάλιν ἀπελύθη. Οὕτω τε συνέβη αὐτὴν, δὶς ἐναλλαξαμένην τὸ ὄνομα, τῆς σωτηρίας περιγενέσθαι (3).

Ἀτὰρ οὖν καὶ ἡμᾶς δεῖ μὴ ἀεὶ [τοῖς] αὐτοῖς ἐπιμένειν, λογιζομένους (4), ὅτι οἱ πρὸς τοὺς καιροὺς μετασχηματιζόμενοι, πολλάκις καὶ τὰς σφοδρὰς τῶν κινδύνων ἐφόδους ἐκφεύγουσι.

111. [ΦΛ. 136]. ΟΝΟΣ ΑΓΡΙΟΣ.

Ὄνος ἄγριος, ὄνον ἥμερον θεασάμενος ἔν τινι εὐηλίῳ τόπῳ, προσελθὼν ἐμακάριζεν αὐτὸν ἐπί τε τῇ εὐεξίᾳ (5) τοῦ σώματος,

(1) Ἐγράφετο, Ὅλως.

(2) Γράφε, Πολεμεῖν, ὡς ἀνωτέρω (σελ. 61). Τὸ δὲ, Πτηνοῖσιν, ςιχηρῶς πάλαι γεγραμμένον ἐλέγχει τὸν μῦθον.

(3) Ἐγράφετο, Παραγενέσθαι.

(4) Ἀντὶ τοῦ, Λογιζόμενοι, ἔγραψα, ὡς ἀνωτέρω (σελ. 61) Λογιζομένους.

(5) Ἔγραψα, Ἐπί τε τῇ εὐεξίᾳ, ὡς ἀνωτέρω (σελ. 62), ἀντὶ τοῦ, Ἐπί τε ἐξουσίᾳ.

ματος, καὶ τῇ τῆς τροφῆς ἀπολαύσει. Ὕςερον δὲ ἰδὼν αὐτὸν ἀχθοφοροῦντα, καὶ τὸν ὀνηλάτην ὄπισθεν ἐρχόμενον, καὶ ῥοπάλοις παίοντα, εἶπεν· Οὐκέτι σε εὐδαιμονίσω (1)· ὁρῶ γὰρ, ὅτι οὐκ ἄνευ κακῶν μεγάλων τὴν ἀφθονίαν ἔχεις.

Οὕτως οὐκ ἔςι ζηλωτὰ (2), τὰ μετὰ *τῶν* κινδύνων καὶ ταλαιπωριῶν γινόμενα κέρδη.

112. [ΦΛ. 138]. ΟΝΟΙ ΠΡΟΣ ΤΟΝ ΔΙΑ.

Ὄνοι ποτὲ, ἀχθόμενοι ἐπὶ τῷ συνεχῶς ἀχθοφορεῖν καὶ ταλαιπωρεῖν, πρέσβεις ἔπεμψαν πρὸς τὸν Δία, λύσιν τινὰ τῶν πόνων αἰτούμενοι. Ὁ δὲ, ἐπιδεῖξαι βουλόμενος, ὅτι τοῦτο ἀδύνατόν ἐςιν, ἔφη τότε αὐτοὺς ἀπαλλαγήσεσθαι (3) τῆς κακοπαθείας, ὅταν οὐροῦντες ποταμὸν ποιήσωσι. Κἀκεῖνοι, ἀληθεύειν αὐτὸν ὑπολαβόντες, ἀπ' ἐκείνου καὶ μέχρι νῦν, ἔνθεν ἂν ἀλλήλων οὖρον ἴδωσιν, ἢ ἑτέρου (4) ὑγρὸν, καὶ αὐτοὶ παραςάντες οὐροῦσιν.

Ὁ λόγος (5) δηλοῖ, ὅτι ἑκάςῳ τὸ πεπρωμένον ἀθεράπευτον.

113. [ΦΛ. 141]. ΟΝΟΣ ΛΕΟΝΤΗΝ ΦΕΡΩΝ.

Ὄνος, ἐνδυσάμενος λέοντος δορὰν, περιῄει ἐκφοβῶν τὰ ἄλογα ζῶα. Καὶ θεασάμενος ἀλώπεκα, ἐπειρᾶτο καὶ ταύτην δεδίττεσθαι. Ἡ δὲ, ὡς ἔτυχεν ἀκούσασα αὐτοῦ φθεγξαμένου, ἔφη·

(1) Γράφε, Εὐδαιμονίζω, ὡς ἐν τοῖς πρόσθεν (σελ. 62).

(2) Ἔγραψα οὕτως ἐκ τῶν πρόσθεν (σελ. 62) ἀντὶ τοῦ, Ζηλωτόν.

(3) Ἔγραψα, ὥσπερ ἀνωτέρω (σελ. 62) ἀντὶ τοῦ, Αὐτοὶ ἀπαλλαγήσεσθε.

(4) Ἴσ. γρ. Ἕτερον.

(5) Ἔγραψα κἀνταῦθα, Ὁ λόγος, ἀντὶ τοῦ, Ὅλως.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ἀλλ' εὖ ἴσθι, ὡς κἀγὼ ἄν σε ἐφοβήθην, εἰ μὴ ὀγκούμενον *ἂν* σε ἤκουσα (1).

Οὕτως ἔνιοι τῶν ἀνθρώπων, τοῖς ἔξωθεν τύφοις δοκοῦντές τινες εἶναι, ὑπὸ τῆς ἰδίας γλωσσαλγίας ἐλέγχονται.

114. [ΦΛ. 142]. ΟΝΟΣ ΚΑΙ ΒΑΤΡΑΧΟΙ.

Ονος, ξύλων γόμον φέρων, λίμνην διέβαινεν. Ὡς δὲ ὀλισθήσας κατέπεσεν, ἐξαναστῆναι μὴ δυνάμενος, ὠδύρετο, καὶ ἔστενεν. Οἱ δὲ ἐν τῇ λίμνῃ βάτραχοι, ἀκούσαντες αὐτοῦ τῶν στεναγμῶν, ἔφησαν· Ὦ οὗτος, καὶ τί ἂν ἐποίησας, εἰ τοσοῦτον χρόνον διέτριβες ἐνταῦθα, ὅσον ἡμεῖς, ὅτι (2) πρὸς ὀλίγον πεσὼν ὀδύρῃ;

Τούτῳ τῷ λόγῳ χρήσαιτο ἄν τις πρὸς ἄνδρα ῥᾴθυμον, ἐπ' ἐλαχίστοις πόνοις δυσφοροῦντα, αὐτὸς τοὺς πλείονας ῥᾳδίως ὑφιστάμενος.

115. [ΦΛ. 143]. ΟΝΟΣ ΚΟΡΑΞ ΚΑΙ ΛΥΚΟΣ.

Ονος, ἡλκωμένος τὸν νῶτον, ἔν τινι λειμῶνι ἐτρέφετο. Κόρακος δὲ ἐπικαθίσαντος αὐτῷ, καὶ τὸ ἕλκος κρούοντος, ὁ ὄνος ἀλγῶν ὠγκᾶτο, καὶ ἐσκίρτα. Τοῦ δὲ ὀνηλάτου πόῤῥωθεν ἑστῶτος, καὶ γελῶντος, λύκος παριὼν ἐθεάσατο, καὶ πρὸς αὐτὸν ἔφη· Ἄθλιοι ἡμεῖς, οἳ, κἂν αὐτῷ μόνον (3) ὀφθῶμεν, διωκόμεθα, τούτους δὲ καὶ προσιόντας προσγελῶσιν.

Ὁ λόγος (4) δηλοῖ, ὅτι οἱ κακοῦργοι τῶν ἀνθρώπων καὶ ἐξ ἀπροόπτου δῆλοι εἰσίν.

---

(1) Οὗτος καὶ ὁ ἀνωτέρω (σελ. 62) ἐκτεθεὶς μῦθος μικρὸν διαφέρουσι τῶν ἐν τοῖς ἑξῆς (σελ. 169-170) μύθων ἕξ.

(2) Γράφε, Ὅτε, καθὰ ἀνωτέρω (σελ. 63), ἢ Ὅστις.

(3) Διώρθωκα ἐκ τῶν πρόσθεν (σελ. 63), ἀντὶ τοῦ Μόνῳ.

(4) Καὶ πάλιν ἔτρεψα τὸ βάρβαρον, Ὅλως, εἰς τὸ, Ὁ λόγος.

116. [ΦΛ. 144]. ΟΝΟΣ ΑΛΩΠΗΞ ΚΑΙ ΛΕΩΝ.

Ονος καὶ ἀλώπηξ, κοινωνίαν συνθέμενοι πρὸς ἀλλήλους, ἐξῆλθον ἐπὶ ἄγραν. Λέοντος δὲ αὐτοῖς παρατυχόντος, ἡ ἀλώπηξ ὁρῶσα τὸν ἐπηρτημένον κίνδυνον, προσελθοῦσα τῷ λέοντι, ὑπέσχετο παραδώσειν αὐτῷ τὸν ὄνον, ἐὰν αὐτῇ τὸ ἀκίνδυνον ἐπαγγέλληται (1). Τοῦ δὲ, αὐτὴν ἀπολύειν (2) φήσαντος, προσαγαγοῦσα τὸν ὄνον, εἰς τὴν παγίδα πεσεῖν παρεσκεύασε. Καὶ ὁ λέων, ὁρῶν ἐκεῖνον φυγεῖν μὴ δυνάμενον, πρώτην τὴν ἀλώπεκα συνέλαβεν, εἶθ' οὕτως ἐπὶ τὸν ὄνον ἐτράπη.

Οὕτως οἱ τοῖς κοινωνοῖς ἐπιβουλεύοντες λανθάνουσι πολλάκις καὶ ἑαυτοὺς συναπολλύντες.

117. [ΦΛ. 145]. ΟΡΝΙΣ ΚΑΙ ΧΕΛΙΔΩΝ.

Ορνις, ὄφεως ᾠὰ εὑροῦσα (3), καὶ ταῦτα ἐπιμελῶς ἐκθερμάνασα, ἐξεκόλαψε (4). Χελιδὼν δὲ, αὐτὴν θεασαμένη, ἔφη· Ὦ ματαία, τί ταῦτα ἀνατρέφεις, ἅπερ, ἂν αὐξηθῇ, ἀπὸ σοῦ πρώτης τοῦ ἀδικεῖν (5) ἄρξονται;

Οὕτως ἀτιθάσσευτός ἐςιν ἡ πονηρία, κἂν τὰ μάλιςα εὐεργετῆται.

---

(1) Ἔγραψα ἐκ τῶν πρόσθεν (σελ. 64), Ἐπαγγέλληται, ἀντὶ τοῦ Ἀπαγγέλληται. Ἄμεινον δ' ἂν γράφοις ἑκατέρωθι κατ' ἀόριςον, Ἐπαγγέληται.

(2) Γράφε, Ἀπολύσειν, ὡς ἐν τοῖς πρόσθεν (σελ. 64).

(3) Εὑροῦσα, ἔγραψα, ὡς ἀνωτέρω, ἀντὶ τοῦ Εὑρῶν.

(4) Ἐγράφετο, Ἐξεκάλυψε.

(5) Ἐκ τῶν πρόσθεν διώρθωκα γράψας, Τοῦ ἀδικεῖν, ἀντὶ τοῦ, Τὸ ἀδικεῖν.

118. [ΦΛ. 148]. ΚΑΜΗΛΟΣ.

Οτε πρῶτον κάμηλος ὤφθη, οἱ ἄνθρωποι φοβηθέντες, καὶ τὸ μέγεθος καταπλαγέντες, ἔφυγον. Ὡς δὲ χρόνου προϊόντος συνιδόντες (1) αὐτῆς τὸ πρᾷον, ἐθάῤῥησαν μέχρι τοῦ προσελθεῖν. Αἰσθόμενοι δὲ κατὰ μικρὸν, ὡς χολὴν τὸ ζῶον οὐκ ἔχει, εἰς τοσοῦτον καταφρονήσεως (2) ἦλθον, ὥςε καὶ χαλινοὺς αὐτῇ περιθέντες, παισὶν ἐλαύνειν ἔδωκαν.

ὁ λόγος (3) δηλοῖ, ὅτι τὰ φοβερὰ τῶν πραγμάτων [ἡ] συνήθεια καταπραΰνει.

119. [ΦΛ. 149] ΟΦΙΣ ΠΑΤΟΥΜΕΝΟΣ.

Οφις, ὑπὸ πολλῶν πατούμενος ἀνθρώπων, τῷ Διῒ ἐνετύγχανεν. Ὁ δὲ Ζεὺς πρὸς αὐτὸν εἶπεν· Ἀλλ' εἰ τὸν πρότερόν σε πατήσαντα ἔπληξας, οὐκ ἂν ὁ δεύτερος ἐπεχείρησέ σοι τοῦτο ποιῆσαι.

ὁ λόγος (4) δηλοῖ, ὅτι τοῖς πρώτοις ἀνθρώποις (5) ἀμυνόμενοι, τοῖς ἄλλοις φοβεροὶ γίνονται.

120. [ΦΛ. 160]. ΠΕΡΙΣΤΕΡΑ ΔΙΨΩΣΑ.

Περιστερά ποτε, δίψει συνεχομένη, ὡς ἐθεάσατο ἔν τινι πίνακι κρατῆρα ὕδατος γεγραμμένον, ὑπέλαβεν ἀληθῆ εἶναι. Διόπερ πολλῷ ῥοίζῳ ἐνεχθεῖσα, ἔλαθεν ἑαυτὴν τῷ πίνακι ἐν-

---

(1) Γράφε, Συνεῖδον, ὥσπερ ἀνωτέρω (σελ. 65).

(2) Καταφρονήσεως, ἔγραψα ἐκ τῶν ἀνωτέρω, ἀντὶ τοῦ, Φρονήσεως.

(3) Ἐγράφετο, Ὅλως.

(4) Ἐγράφετο, Ὅλως.

(5) Γράφε ἧττον βαρβάρως, Ὅτι οἱ τοὺς πρώτους ἀνθρώπους.

τινάξασα. Συνέβη οὖν αὐτῇ, τῶν πτερῶν περιθραυσθέντων, ἐπὶ τὴν γῆν καταπεσοῦσαν, ὑπό τινος τῶν παρατετυχηκότων συλληφθῆναι.

Οὕτως ἔνιοι τῶν ἀνθρώπων, διὰ σφοδρᾶς ἐπιθυμίας, ἀπερισκέπτως τοῖς πράγμασιν ἐπιχειροῦντες, ἑαυτοὺς εἰς ὄλεθρον περιβάλλουσιν (1).

121 [ΦΛ. 161]. ΠΕΡΙΣΤΕΡΑ ΚΑΙ ΚΟΡΩΝΗ.

Περιστερά, ἔν τινι περιστερεῶνι τρεφομένη, ἐν πολυτεκνίᾳ ἐφρυάττετο. Κορώνη δέ, ἀκούσασα αὐτῆς τῶν λόγων, ἔφη· Ὦ αὕτη, πέπαυσο ἐπὶ τούτῳ ἀλαζονευομένη· ὅσῳ γὰρ ἂν πλείονα τέκνα ἔχῃς, τοσούτῳ περισσότερον δουλείᾳ στενάζεις.

Οὕτως καὶ τῶν οἰκετῶν δυστυχέστεροί εἰσιν, ὅσοι ἐν τῇ δουλείᾳ τεκνοποιοῦσι.

122. [ΦΛ. 163]. ΘΥΓΑΤΗΡ ΚΑΙ ΘΡΗΝΟΥΣΑΙ.

Πλούσιος δύο θυγατέρας ἔχων, τῆς ἑτέρας ἀποθανούσης, τὰς θρηνούσας ἐμισθώσατο. Τῆς δὲ ἑτέρας παιδὸς εἰπούσης πρὸς τὴν μητέρα, Ἄθλιαι ἡμεῖς, ὅτι ἡμεῖς μέν, ὧν τὸ πάθος ἐστί, θρηνεῖν οὐκ ἴσμεν, αἱ δὲ μηδὲν προσήκουσαι οὕτω σφόδρα κόπτονται καὶ κλαίουσιν, ἡ μήτηρ ἔφη· Ἀλλὰ μὴ θαύμαζε, τέκνον, εἰ οὕτως οἰκτρῶς αὗται θρηνοῦσιν· ἐπὶ γὰρ ἀργυρίῳ τοῦτο ποιοῦσιν.

Οὕτως ἔνιοι τῶν ἀνθρώπων διὰ φιλαργυρίαν οὐκ ὀκνοῦσι καὶ ἀλλοτρίας συμφορὰς ἐργολαβεῖν (2).

---

(1) Γράφε, Παραβάλλουσιν. — (2) Ἔγραψα, ὡς ἀνωτέρω (σελ. 67) Ἐργολαβεῖν, ἀντὶ τοῦ, Ἔργον λαβεῖν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

123. [ΦΛ. 165]. ΠΟΙΜΗΝ ΚΑΙ ΠΡΟΒΑΤΑ.

Ποιμην, ἐλάσας τὰ πρόβατα εἴς τινα δρυμῶνα, ὡς ἐθεάσατο δρῦν παμμεγέθη μεστὴν βαλάνων, ὑποστρώσας τὸ ἱμάτιον, ἐπὶ ταύτην ἀνέβη, καὶ τὸν καρπὸν ἀνέσειε (1). Τὰ δὲ πρόβατα ἐσθίοντα τὰς βαλάνους, ἔλαθε διαῤῥῆξαι (2) καὶ τὰ ἱμάτια (3). Ὁ δὲ ποιμὴν καταβὰς, ὡς ἐθεάσατο τὸ γεγονὸς, εἶπεν· Ὦ κάκιστα ζῶα, ὑμεῖς τοῖς λοιποῖς ἔρια εἰς ἐσθῆτα παρέχετε, ἐμοῦ δὲ τοῦ τρέφοντος καὶ τὸ ἱμάτιον ἀφείλεσθε (4).

Οὕτως καὶ τῶν ἀνθρώπων [πολλοὶ] δι' ἄγνοιαν τοὺς μηδὲν προσήκοντας εὐεργετοῦντες, κατὰ τῶν οἰκείων φαῦλα ἐργάζονται.

124. [ΦΛ. 20]. ΑΛΙΕΥΣ ΚΑΙ ΣΜΑΡΙΣ.

Αλιευς, τὸ δίκτυον καθεὶς, ἀνήνεγκε σμαρίδα. Σμικρὰ δὲ οὖσα, ἱκέτευεν αὐτὸν λέγουσα· Μὴ λάβῃς με πρὸς τὸ παρὸν, ἀλλ' ἔασον, ἐπειδήπερ σμικρὰ τυγχάνω· ὅτε (5) δὲ αὐξηθῶ, καὶ μεγάλη γένωμαι, λάβῃς (6) με· ἐπεὶ καὶ εἰς μείζονά σοι ὠφέλειαν τότε γενήσομαι. Καὶ ὁ ἁλιεὺς εἶπεν· Ἀλλ' ἔγωγε μωρὸς

---

(1) Ἐγράφετο, Ἐπὶ ταύτῃ, ἀνέβη, καὶ τὸν καρπὸν ἀντέσειε.

(2) Γράφε, Διαῤῥήξαντα.

(3) Ἄμεινον γράφοις ἂν, Τὸ ἱμάτιον, συνέντος τοῦτο καὶ τοῦ Φλωρεντινοῦ ἐκδότου.

(4) Ἀφείλεσθε, ὡς ἐν τοῖς πρόσθεν (σελ. 67) ἔγραψα, ἀντὶ τοῦ, Ἀφείλασθε.

(5) Βαρβάρως ἀντὶ τοῦ, Ὅταν.

(6) Βαρβάρως ἀντὶ τοῦ, Λήψῃ.

ἂν εἴην, εἰ, τὸ ἐν χερσὶ κέρδος παρείς, κἂν μικρὸν ᾖ, τὸ ἐν ἐλπίσι διώκοιμι, κἂν μέγα ὑπάρχῃ.

Ὁ μῦθος δηλοῖ, ὅτι αἱρετώτερόν ἐςι τὸ παρὸν κέρδος κρατεῖν, κἂν μικρὸν ᾖ, ἢ τὸ προσδοκώμενον, κἂν μέγα ὑπάρχῃ.

125. [ΦΛ. 24]. ΙΠΠΟΣ ΚΑΙ ΟΝΟΣ.

Ἄνθρωπος πάλιν (1) ἵππον εἶχε καὶ ὄνον· ἐπεφόρτισε δὲ πλείω τὴν ὄνον. Ἥτις δὴ, καὶ ὁδεύσασα μετὰ πολλοῦ τοῦ βάρους, πρὸς τὸν ἵππον ἐβόα· Λάβε ἀπὸ τοῦ βάρους, καὶ κούφισόν με ὀλίγον· οὐ γὰρ δύναμαι ταῦτα πάντα βαςάζειν. Καὶ εἰ μὲν βούλει, ζήσομεν ἐν τῷ βίῳ· εἰ δ᾽ οὐ πεισθῇς μοι, ὄψει με τεθνηκυῖαν. Ὁ δὲ οὐκ ἐπείσθη ἐλεῆσαι τὴν ὄνον· καὶ παραχρῆμα θανοῦσα ἐπεπτώκει. Τοῦ δὲ κυρίου θέντος πάντα τῷ ἵππῳ, οὗτος θρηνῶν ἐβόα· οὐαὶ οἴμοι (2) τῷ παναθλίῳ! Τί μοι συνέβη ἄρτι τῷ ταλαιπώρῳ; μὴ θελήσας γὰρ μικρὸν λαβεῖν ἐκ τοῦ βάρους, ἰδοὺ ἅπαντα βαςάζω σὺν τῷ σάκκῳ (3).

Ὁ μῦθος δηλοῖ, ὅτι τοῖς σμικροῖς οἱ μεγάλοι συγκοινωνοῦντες, *οἱ* ἀμφότεροι σωθήσονται ἐν τῷ βίῳ.

ΑΛΛΩΣ (4).

Ἀνήρ τις ὄνου τε καὶ ἵππου κύριος ἦν. Μακρὰν οὖν ςελλομένων πορείαν, ὁ ὄνος ἦν βιαίως ἀχθηφορῶν. Διὸ ἔφησε πρὸς

---

(1) Ἴσ. γρ. Πάλαι.—(2) Γράφε, Οὐαί μοι, ὡς ἐν τῷ ἑξῆς μύθῳ.—(3) Ὁ τὸν μῦθον διασκευάσας τόνδε μικρά τινα καταλέλοιπε χωλιάμβων ἴχνη· οἷόν ἐςι τὸ,

Οὐ γὰρ δύναμαι ταῦτα πάντα βαςάζειν,

καὶ τὸ,

Τί μοι συνέβη ἄρτι τῷ ταλαιπώρῳ;

—(4) Ἐκ τῶν Σημ. καὶ Παρεκβολ. τῆς ἐν Παρισ. Φιλολογ. Ἀκαδημ. Τομ. Β, σελ. 707.

τὸν ἵππον, Συγκάμφθητί μοι, καὶ ἆρον μικρόν τι ἐκ τοῦ φορτίου μου, εἰ μὴ θανεῖν με βούλει παρὰ καιρόν. Τοῦ ἵππου δὲ μὴ πεισθέντος, ἡ προφητεία τοῦ ὄνου εἰς ἔργον ἀπέβη· καὶ ἐθανατώθη ὁ ὄνος, κατάκοπος γεγονώς. Ἅπαν τοίνυν τὸ βάρος μετὰ καὶ τῆς τοῦ τεθνηκότος δορᾶς ὁ ἵππος ἦρε, καὶ μὴ βουλόμενος. Ὅθεν καὶ ἀπεκλαίετο λέγων, Οἴμοι ὁ ἄθλιος! τί πέπονθα; μικρᾶς τινος γὰρ βοηθείας τὸν ὄνον μὴ ἀξιώσας, ἐμαυτῷ μεγάλης ἀχθηφορίας παραίτιος γέγονα. Πείσομαι δή ποτε καὶ αὐτὸς τὸ τοῦ ὄνου, καὶ ἀώρως ἐξ ἀμετρίας ϛερηθήσομενος (1) τῆς ζωῆς.

Ὅτι οἱ ἔνδοξοι τοῖς ταπεινοῖς κοινωνοῦντες ἐν βίῳ σώζουσί τε καὶ σώζονται.

ΑΛΛΩΣ.

[ΦΛ. 133]. ΟΝΟΣ ΚΑΙ ΗΜΙΟΝΟΣ.

Ονηλάτης, ἐπιθεὶς ὄνῳ καὶ ἡμιόνῳ γόμους, ἤλαυνεν. Ὁ δὲ ὄνος, μέχρι μὲν πεδίον ἦν, ἀντεῖχε πρὸς τὸ βάρος. Ὡς δὲ ἐγένοντο κατά τι ὄρος, μὴ δυνάμενος ὑποφέρειν, παρεκάλει τὴν ἡμίονον, μέρος τι τοῦ γόμου αὐτοῦ προσδέξασθαι, ἵνα τὸ λοιπὸν αὐτὸς διακομίσαι δυνηθῇ. Τῆς δὲ, παρ᾽ οὐδὲν θεμένης αὐτοῦ τοὺς λόγους, ὁ μὲν κατακρημνισθεὶς διεῤῥάγη. Ὁ δὲ ὀνηλάτης, ἀπορῶν τὸ τί ποιήσῃ, οὐ μόνον τοῦ ὄνου τὸν γόμον τῇ ἡμιόνῳ προσέθηκεν, ἀλλὰ καὶ τὴν βύρσαν τοῦ ὄνου ἐπεσώρευσεν. Ἡ δὲ, οὐ μετρίως καταπονηθεῖσα, ἔφη· Δίκαια πέπονθα· εἰ γὰρ παρακαλοῦντι μικρὸν κουφίσασθαι ἐπείσθην, οὐκ ἂν νῦν μετὰ τοῦ αὐτοῦ φορτίου, καὶ αὐτὸν ἔφερον.

Οὕτως καὶ τῶν δανειϛῶν ἔνιοι, διὰ φιλαργυρίαν, ἵνα μικρὰ ἐπιτόμια λάβωσι, πολλάκις καὶ αὐτὸ τὸ κεφάλαιον προσαπόλλουσιν (2).

---

(1) Γραπτέον, Στερηθήσομαι.

(2) Γράφε, Προσαπολλύουσιν.

126. [ΦΛ. 26]. ΑΝΘΡΩΠΟΣ ΚΑΙ ΣΑΤΥΡΟΣ.

Ανθρωπός τις καὶ σάτυρος, φιλίαν πρὸς ἀλλήλους ποιησάμενοι, ἐκάθισαν ἀμφότεροι τοῦ ἐσθίειν (1). Χειμῶνος δὲ καταλαβόντος, καὶ ψύχους γενομένου, ὁ ἄνθρωπος προσφέρων τὰς χεῖρας τῷ ςόματι αὐτοῦ ἀπέπνει. Τοῦ δὲ σατύρου ἐπερωτήσαντος, Δι' ἣν αἰτίαν πράττεις τοῦτο, φίλε; ἔφη· Τὰς χεῖρας θερμαίνω ἐκ τοῦ κρύους. Μετὰ μικρὸν δὲ, ἐδέσματος θερμοῦ προσενεχθέντος, ὁ ἄνθρωπος πάλιν, ἐπιφέρων τῷ ςόματι τὸ βρῶμα, ἐφύσα τοῦτο. Πυνθανομένου δὲ πάλιν τοῦ σατύρου, Δι' ἣν αἰτίαν τοῦτο πάλιν πράττεις; ἔφη· Τὸ ἔδεσμα καταψύχω. Ὑπολαβὼν δὲ ἐκεῖνος ἔφη· Ἀλλ' ἔγωγε ἀπὸ τοῦ νῦν ἀποτάσσομαί σου τῇ φιλίᾳ, ὅτι ἐκ τοῦ αὐτοῦ ςόματος τὸ ψυχρὸν καὶ τὸ θερμὸν ἐξάγεις.

Ὁ μῦθος δηλοῖ, ὅτι οὕτω δεῖ καὶ ἡμᾶς ἀποφεύγειν τὰς φιλίας, ὧν ἀμφίβολός ἐςιν ἡ ἀντίθεσις (2).

127. [ΦΛ. 10]. ΑΛΩΠΗΞ ΚΑΙ ΔΡΥΟΤΟΜΟΣ.

Ἀλώπηξ, κυνηγοὺς φεύγουσα, καὶ ἐν ἐρήμῳ πολλῇ τὸν δρόμον ἀνύουσα, αὐτίκα ἄνδρα εὑρίσκει δρυοτόμον ἐνταῦθα, ὃν καὶ καθικέτευε τοῦ κρύψαι αὐτήν. Ὁ δὲ ὑπέδειξεν αὐτῇ τὴν

---

(1) Τῆς τῶν Μοναχῶν, ἢ τῶν ἱερωμένων, ἀγέλης ἦν ἴσως ὁ διασκευάσας τὸν μῦθον. Τοῦτο γὰρ ὑπονοεῖν παρέχει ἡ γραφικὴ φράσις, παραπλησία τῇ ἐν τοῖς Ἑβδομήκοντα (Ἐξοδ. λϐ', 6), Ἐκάθισεν ὁ λαὸς φαγεῖν καὶ πιεῖν.

(2) Ἡ διάθεσις, ὤφειλεν εἰπεῖν, ὡς πέφραςαι καὶ ἐν τῷ ἡμετέρῳ μύθῳ 126 (σελ. 69). Ἐνδέχεται μέντοι τὸν βάρβαρον διασκευαςὴν προελέσθαι τὸ τῆς Ἀντιθέσεως ὄνομα, διὰ τὴν τοῦ ψυχροῦ καὶ θερμοῦ ἐναντιότητα. Οὐδὲν γὰρ ὅ, τι μὴ λεκτὸν μηδὲ γραπτὸν τοῖς δίχα νοῦ λέγουσι καὶ γράφουσι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ἑαυτοῦ καλύβην. Ἡ δὲ, εἰσελθοῦσα ἐκρύπτετο ἐν γωνίᾳ. Τῶν δὲ κυνηγῶν ἐλθόντων, καὶ ἐρωτώντων τὸν ἄνδρα, τῇ μὲν φωνῇ ἠρνεῖτο μηδὲν εἰδέναι, τῇ δὲ χειρὶ αὐτοῦ τὸν τόπον ὑπεδείκνυεν. Αὐτοὶ δὲ μὴ προσέχοντες, ἀπῆλθον παραχρῆμα. Ὡς οὖν εἶδεν αὐτοὺς ἡ ἀλώπηξ ἀπελθόντας, ἐξῆλθε[ν οὐ] προσφωνοῦσα. Ἐμέμφετο δὲ αὐτὴν ὁ ἄνθρωπος ἐκεῖνος, λέγων· Δι' ἐμοῦ πάντως ἐσώθης, καὶ χάριν μοι οὐκ ἔχεις. Ἡ δὲ ἀλώπηξ ἐπαναςραφεῖσα, εἶπε πρὸς αὐτόν· Ὦ οὗτος, ἀλλ' ἔγωγε εὐχαρίςησα ἄν σοι, εἰ τοῖς λόγοις ὅμοια καὶ τὰ ἔργα τῆς χειρὸς, [καὶ] τοὺς τρόπους εἶχες.

Ὁ λόγος πρὸς ἐκείνους τοὺς ἀνθρώπους, τοὺς χρηςὰ μὲν ἐπαγγελλομένους διὰ λόγων, δι' ἔργων δὲ φαῦλα ποιοῦντας.

128. [ΦΛ. 21]. ΑΝΘΡΩΠΟΣ ΚΑΤΑΘΡΑΥΣΑΣ ΑΓΑΛΜΑ.

Ἄνθρωπός τις ξύλινον θεὸν ἔχων, καθικέτευεν αὐτὸν τοῦ ἀγαθοποιῆσαι. Ὡς οὖν ταῦτα ἔπραττε, καὶ πλείω τούτων, μᾶλλον ὁ αὐτὸς διῆγεν ἐν πενίᾳ· καὶ δὴ θυμωθεὶς, ἄρας αὐτὸν ἀπὸ τῶν σκελῶν, ἔῤῥιψεν ἐν τοίχῳ προσκρούσας. Τῆς δὲ κεφαλῆς αὐτοῦ παραυτίκα κλασθείσης, ἔῤῥευσε χρυσὸς πολὺς παραχρῆμα· ὅνπερ συνάγων ὁ ἄνθρωπος ἐβόα· Στρεβλὸς τυγχάνεις, ὡς οἶμαι, καὶ ἀγνώμων· τιμῶντά σε γὰρ, οὐδὲν ὠφέλησάς με, τυπτήσαντα δὲ πολλοῖς καλοῖς ἠμείψω (1).

Ὁ μῦθος δηλοῖ, ὅτι οὐκ ὠφεληθῇ (2) τις τιμῶν πονηρὸν ἄνδρα· αὐτὸν δὲ τύπτων πλεῖον ὠφεληθῇ (3).

---

(1) Ἐκ χωλιάμβων καὶ οὗτος τὸ πάλαι συνειςήκει, ἦ μάλιςα δῆλον ἐκ τῶν τελευταίων, Στρεβλὸς τυγχάνεις κ. τ. λ.—(2) Βαρβάρως ἀντὶ τοῦ, Οὐ μὴ ὠφεληθῇ.—(3) Βαρβάρως ἀντὶ τοῦ, Ὠφεληθήσεται.

129. [ΦΛ. 22]. ΚΥΩΝ ΕΣΤΙΩΜΕΝΟΣ.

Ανθρώπου τινὸς δεῖπνον παρετοιμάζοντος, εἰς τὸ καλέσαι φίλον αὐτοῦ οἰκεῖον, καὶ ὁ κύων τούτου ἄλλον κύνα ἐκάλει, λέγων· Ὦ φίλε, δεῦρο δείπνησον ὧδε. Ὁ δὲ προσελθὼν, χαίρων ἵςατο. Βλέπων δὲ τὸ μέγα δεῖπνον, ἐβόα ἐν τῇ καρδίᾳ· Βαβαὶ, πόση με χαρὰ ἄρτι κατέσχεν! ἐπεὶ ἐξαπίνης ἂν τοῦτο (1) ἐφάνη· τραφήσομαι γὰρ, καὶ εἰς κόρον δειπνήσω, ἵνα αὔριον μὴ πεινάσω καθόλου. Ταῦτα οὖν λέγων καθ' ἑαυτὸν ὁ κύων, ἔσειε τὴν κέρκον, καθορῶν εἰς τὸν φίλον τὸν κεκληκότα αὐτὸν ἐπὶ τὸ δεῖπνον. Ὁ οὖν μάγειρος, τοῦτον εὐθὺς ὡς εἶδεν ὧδε κἀκεῖσε τὴν οὐρὰν περιςρέφοντα, κατασχὼν αὐτοῦ τὰ σκέλη, παραχρῆμα ἔῤῥιψεν αὐτὸν ἔξωθεν τῶν θυρίδων. Ὁ δὲ κατιὼν, ἀπήει ἀνακράζων. Τῶν δὲ κυνῶν αὐτῷ προσυπαντώντων, καὶ κατεπερωτώντων, Πῶς ἐδείπνησας φίλε; οὗτος πρὸς αὐτοὺς ὑπογελῶν, ἐβόα· Ὡς γὰρ ἔπιον, μεθυσθεὶς ὑπὲρ κόρον, οὐδὲ τὴν ὁδὸν, ὅθεν ἐξῆλθον, εἶδον (2).

Ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ θαῤῥεῖν τοῖς μηδὲν ἀνύουσιν.

ΑΛΛΩΣ (3).

Δεῖπνον τὶς ἐτέλει λαμπρόν. Ὁ δὲ τούτου κύων ἕτερον κύνα διὰ φιλίας εἰς τὸ δεῖπνον μετεκαλεῖτο. Τοῦ δὲ κεκλημένου κατα-

(1) Ἴσως γρ. Ἐξαπιναίως τοῦτο. Ἐνδέχεται μέντοι καὶ τῆς τοῦ διασκευάσαντος βαρβαρότητος σημεῖον εἶναι τὸν σύνδεσμον, Ἄν. Δηλοῖ δὲ καὶ ἡ τῶν ἑπομένων ἄμουσος σύνταξις, καὶ μάλιςα τὸ ἀπροσφυὲς ἐπιμύθιον.

(2) Ἰαμβείων ἐφθαρμένων ἴχνη ἐν τοῖς τελευταίοις τοῦ μύθου τούτου, οὐ χαλεπὰ συνιδεῖν.

(3) Ἐκ τῶν Σημ. καὶ Παρεκβολ. τῆς ἐν Παρισ. Φιλολογ. Ἀκαδημ. Τόμ. Β, σελ. 721.

λαβόντος, καὶ ἐν τῷ ὀπτανείῳ περιπολοῦντος, ὁ ὀψοποιὸς τοῦτον ἐκ τοῦ σκέλους λαβὼν, τῆς πύλης ἔξωθεν ἐσφενδόνησεν. Ὁ δὲ ἀναστὰς πρὸς φυγὴν ἐτράπετο. Τῶν δὲ ὑπαντώντων κυνῶν ἐπερομένων αὐτὸν, πῶς τῷ δείπνῳ ἐπανεπαύσατο, εἶπε, Τῇ τρυφῇ καρωθεὶς οὐδὲ τὴν ὁδὸν εἶδον, ὅθεν ἐξῆλθον.

Ὅτι πολλάκις διὰ λόγου τινὲς τὴν ἀτιμίαν αὐτῶν πειρῶνται διασκεδάζειν.

130. [ΦΛ. 34]. ΑΛΙΕΥΣ.

Αλιευς, ἁλιευτικῆς ἄπειρος, ἀναλαβὼν αὐλοὺς, καὶ δίκτυα, παρεγένετο εἰς τὴν θάλασσαν. Καὶ στὰς ἐπί τινος πέτρας, τὸ μὲν πρῶτον ηὔλει, νομίζων πρὸς ἡδυφωνίαν τοὺς ἰχθύας ἐξαλλεσθαι (1). Ὡς δὲ αὐτὸς ἐπὶ πολὺ διατεινόμενος οὐδὲν ἠνύετο, ἀποθέμενος τοὺς αὐλοὺς, ἀνείλετο τὸ ἀμφίβληστρον, καὶ βαλὼν κατὰ τοῦ ὕδατος, πολλοὺς ἰχθύας ἤγρευσεν. Ἐκβαλὼν δὲ αὐτοὺς ἀπὸ τοῦ δικτύου; ὡς εἶδεν αὐτοὺς πηδῶντας, ἔφη· Ὦ κάκιστα ζῶα, ὅτε μὲν ηὔλουν, οὐκ ὠρχεῖσθε· νῦν δὲ, ὅτε πέπαυμαι, τοῦτο πράττετε.

Ὁ μῦθος οὗτος δηλοῖ τοὺς παρὰ λόγον καὶ παρὰ καιρόν τι πράττοντας.

131. [ΦΛ. 41]. ΒΟΥΚΟΛΟΣ.

Βουκόλος, ἀγέλην ταύρων βόσκων, ἀπώλεσε μόσχον. Περιελθὼν δὲ πᾶσαν τὴν ἔρημον, διέτριβεν ἐρευνῶν. Ὡς δὲ οὐδὲν εὑρεῖν ἐδυνήθη, ηὔξατο τῷ Διὶ οὕτως, ὅτι, Ἐὰν τὸν κλέπτην τὸν λαβόντα τὸν μόσχον ὑποδείξῃς μοι, ἔριφόν σοι εἰς θυσίαν προσάξω. Καὶ δὴ, διερχομένου αὐτοῦ εἴς τινα δρυμὸν (2),

(1) Ἴσ. γρ. Ἐξαλέσθαι.—(2) Δρυμὸν, ἐκ τοῦ ἀνωτέρω (σελ. 73) μύθου ἔγραψα, ἀντὶ τοῦ Δρόμον, δόξαν τοῦτο, καὶ τῷ Φλωρεντινῷ ἐκδότῃ. Λέγεται δὲ καὶ Δρυμὸς καὶ Δρυμών.

εὑρίσκει λέοντα κατεσθίοντα τὸν τοιοῦτον (1) μόσχον. Ἔμφοβος οὖν γενόμενος, καὶ μεγάλως δειλιάσας, ἐπάρας τὰς χεῖρας αὐτοῦ εἰς τὸν οὐρανὸν, εἶπεν· Ὦ δέσποτα Ζεῦ, ἐπηγγειλάμην σοι ἔριφον δοῦναι, ἐὰν τὸν κλέπτην εὑρήσω (2), νυνὶ δὲ ταῦρόν σοι θύσω, ἐὰν τὰς χεῖρας τοῦ κλέπτου ἐκφύγω (3).

Οὗτος ὁ λόγος λεχθείη ἂν ἐπ' ἀνδρῶν δυστυχούντων, οἵτινες ἀπορούμενοι [μὲν] εὔχονται εὑρεῖν, εὑρόντες δὲ ζητοῦσιν ἀποφυγεῖν.

ΑΛΛΩΣ (4).

Βουθρέμων τις ἐν ὄρει ταῦρον ἀπώλεσεν. Ταῦρον οὖν ἐπιθύσειν ηὔχετο τῷ θεῷ, εἰ τῷ κλέπτῃ ἐντύχῃ. Ἐξ αἴθρης (5) οὖν εὗρε τοῦτον ὑπὸ λέοντος ἐσθιόμενον. Στενάξας οὖν ἔφη, Βοῦν σοι καὶ ταῦρον, θεὲ, προσενέγκω (6), εἰ τὰς χεῖρας τοῦ κλέπτου βοηθήσεις μοι ἐκφυγεῖν.

Ὅτι ἀβούλως οὐδὲ εὐχὴν ποιεῖσθαι χρή· ἄδηλον γὰρ τὸ συμβησόμενον.

ΑΛΛΩΣ.

ΠΟΙΜΗΝ ΠΡΟΒΑΤΟΝ ΚΑΙ ΛΕΩΝ (7).

Ποιμήν τις, ἀπολέσας ἓν τῶν προβάτων, ἐδεήθη τοῦ θεοῦ, συνθήκας ποιούμενος, ὡς, εἴγε τοῦτο ἐφεύροι, ἕτερον ὑπὲρ αὐτοῦ εἰς θυσίαν προσάξει. Περιερχόμενος δὲ ὁρᾷ τὸ αὐτοῦ πρόβατον ὑπὸ λέοντος βιβρωσκόμενον. Καὶ τοῦτο ἰδὼν, ἐν

(1) Ἴσ. γρ. Τὸν τούτου, βαρβάρως δηλονότι ἀντὶ τοῦ, Τὸν αὐτοῦ.

(2) Καὶ τοῦτο βάρβαρον, ἀντὶ τοῦ, Εὕρω.

(3) Ἐγράφετο, Τοῦ κλέπτου, ἤγουν τοῦ λέοντος, ἐκφύγω, κακῶς τῆς ἐπεξηγήσεως εἰς τὸ κείμενον εἰσφρησάσης.

(4) Ἐκ τῶν Σημ. καὶ Παρεκβολ. τῆς ἐν Παρισ. Φιλολογ. Ἀκαδημ. Τομ. Β, σελ. 713.

(5) Ἴσως, γραπτέον, Ἐξαίφνης.

(6) Βαρβάρως ἀντὶ τοῦ, Προσοίσω.

(7) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. ιϛ'.

ἑαυτῷ ἔλεγεν, ὡς Εἰ μόνον τὸν τοῦ θηρίου διαδράσαιμι κίνδυνον, καὶ ἕτερον πρόβατον εἰς λύτρον δῶρον προσενέγκοιμι.

Οὗτος ὁ λόγος δηλοῖ, ὡς τὴν ἰδίαν ζωὴν ἄνθρωποι παντὸς κέρδους καὶ πλούτου προτιμοτέραν ἔχουσι.

132. [ΦΛ. 87]. ΚΟΡΑΞ.

Κόραξ νοσῶν, τῇ μητρὶ — ἐπεφώνει·
Εὔχου τοῖς θεοῖς, ὦ μῆτέρ μου, καὶ θρήνει·
Ἡ δὲ πρὸς αὐτὸν ταῦτα βοῶσα, ἔφη·
Καὶ τίς σε, τέκνον, τῶν θεῶν ἐλεήσει;
Τίνος γὰρ κρέα ὑπὸ σοῦ οὐκ ἐκλάπη (1);

Ο μῦθος δηλοῖ, ὅτι οἱ πολλοὺς ἐχθροὺς ἐν βίῳ ἔχοντες, οὐδένα φίλον ἐν ἀνάγκῃ εὑρίσκουσι.

134. [ΦΛ. 195]. ΜΥΡΜΗΞ ΚΑΙ ΤΕΤΤΙΞ.

Ψῦχος καὶ χειμὼν κατ' Ὀλύμπου. Μύρμηξ δὲ πολλὰς συνάξας τροφὰς ἐν ἀμητοῖς, ἐν ἰδίοις οἴκοις ἀπέθηκε. Τέττιξ δὲ, ἐπὶ τρώγλης ἐνδύνας, ἐξέπνεε τῇ πείνῃ, λιμῷ κατεχόμενος καὶ ψύχει πολλῷ· ἐδέετο δὲ τοῦ μύρμηκος τροφῆς μεταδοῦναι, ὅπως καὶ αὐτὸς γευσάμενός τινος σωθείη. Ὁ μύρμηξ δὲ πρὸς αὐτὸν, Ποῦ, φησιν, ἧς τῷ θέρει; πῶς δ' οὐ συνῆξας τροφὰς ἐν ἀμητῷ; Ὁ δὲ τέττιξ, Ἧδον καὶ ἔτερπον τοὺς ὁδοιποροῦντας. Ὁ δὲ μύρμηξ γέλωτι πολλῷ καταχέας (2) ἔφη· Οὐκοῦν χειμῶνος ὀρχοῦ.

Ὁ λόγος (3) δηλοῖ, ὅτι οὐδὲν κρεῖττον τοῦ φροντίζειν τῶν ἀναγκαίων τροφῶν, καὶ μὴ ἀπασχολεῖσθαι εἰς τέρψιν καὶ κωμασίαν.

---

(1) Εἰς δωδεκασυλλάβους ςίχους κατεμέρισα τὸν μῦθον, ἀμούσως καὶ ἀμέτρως διασκευασθέντας τὸ πάλαι ἐξ ἐμμούσων ἴσως τοῦ Βαβρίου, ἢ ἑτέρου τινὸς, χωλιάμβων. — (2) Ὤφειλεν εἰπεῖν, Γέλωτα πολὺν αὐτοῦ καταχέας. — (3) Ἐγράφετο καὶ πάλιν, Ὅλως.

ΑΛΛΩΣ.

[ΦΛ. 198]. ΜΥΡΜΗΚΕΣ ΚΑΙ ΤΕΤΤΙΞ.

Ὥρας δέ ποτε χειμῶνος τυγχανούσης,
Μύρμηκες σῖτον ἡλίαζον βραχέντα.
Τέττιξ δὲ τούτους οὕτως ἰδὼν ποιοῦντας,
Αὐτὸς λιμώττων, καὶ μέλλων τεθνηκέναι (1),
Δραμὼν παρ' αὐτοὺς ἐδωδὴν ἐπεζήτει.
Τῶν δὲ φησάντων, Τῷ θέρει πῶς οὐκ ἔσχες,
Ἀλλ' ἐρᾳθύμεις, καὶ προσαιτεῖς ἀρτίως;
Τέττιξ ἀντεῖπεν· Ἀλλ' ἐτερπόμην τότε,
Αὐλῶν καὶ τέρπων ὅλους τοὺς ὁδοιπόρους.
Οἱ δὲ αὐτίκα, ταῦτα ἀκηκοότες,
Ἐμειδίασαν, καὶ πρὸς αὐτὸν ἐβόων·
Χειμῶνος ὀρχοῦ, εἴπερ ηὔλεις ἐν θέρει.
Ἀλλ' ἐν θέρει σὺ τὸν σῖτον ἀποτίθει,
Καὶ μὴ λυρίζων ἥδυνῃς ὁδοιπόρους (2).

Ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ τινα ἀμελεῖν ἢ ὀκνεῖν ἐπί τινος πράγματος, ἀλλὰ τὰ δέοντα ποιεῖν, μήπως ὀκνήσας κινδύνῳ περιπέσῃ.

135. (3).

136. [ΦΛ. 153]. ΟΡΝΙΣ ΧΡΥΣΟΤΟΚΟΣ.

Ορνιθα δέ τις πάνυ καλλίστην εἶχεν, ἥτις ἔτικτεν ἀεὶ χρυσᾶ ὠά. Ὁ δὲ, νομίσας ἔνδον χρυσὸν ὑπάρχειν, σφάξας παρευθὺς,

---

(1) Βαρβάρως ἀντὶ τοῦ, Τεθνήξεσθαι.—(2) Κατεμέλισα καὶ τοῦτον τὸν μῦθον εἰς οὓς ἐγέγραπτο πάλαι στίχους.

(3) Ζήτει κατωτέρω τὰ τοῦ 300 μύθου παράλληλα.

εὗρεν αὐτὴν, ὥσπερ καὶ αἱ λοιπαὶ τυγχάνουσιν ὄρνιθες· καὶ πλοῦτον εὑρηκέναι νομίσας, ἀπεστερήθη καὶ τοῦ μικροῦ τοῦ κέρδους (1).

Ὁ μῦθος δηλοῖ, ὅτι δεῖ τὸν ἔχοντά τι ἀρκεῖσθαι τούτῳ, τὴν δὲ ἀπληστίαν ἐκφεύγειν, μήπως καὶ ὃ ἔχει ἀπολέσῃ.

137. [ΦΛ. 91]. ΛΕΩΝ ΚΑΙ ΑΛΩΠΗΞ.

Λέων γηράσας, καὶ μὴ δυνάμενος δι' ἀλκῆς ἑαυτῷ τροφὴν πορίζειν, ἔγνω δι' ἐπινοίας τοῦτο πρᾶξαι. Καὶ δὴ παραγενόμενος εἴς τι σπήλαιον, καὶ ἐνταῦθα κατακλιθεὶς (2), προσεποιεῖτο νοσεῖν χαλεπῶς· καὶ οὕτω τὰ παραγενόμενα, ἐπισκέψεως χάριν, παντοῖα ζῶα συλλαμβάνων κατήσθιεν αὐτά. Πολλῶν δὲ θηρίων ἀναλωθέντων ὑπ' αὐτοῦ, ἀλώπηξ τὸ τέχνασμα αὐτοῦ συνιεῖσα (3), καὶ γνοῦσα, παρεγένετο πρὸς αὐτὸν, καὶ στᾶσα ἔξωθεν καὶ ἄποθεν τοῦ σπηλαίου, ἐπυνθάνετο αὐτοῦ, πῶς ἔχοι (4). Τούτου δὲ εἰπόντος, Καλῶς, καὶ τὴν αἰτίαν ἐρωτωμένου, δι' ἣν οὐ κάτεισι, καὶ οὐκ εἰσέρχῃ (5) ὧδε ἔσω, ἡ ἀλώπηξ ἔφη· Ἀλλ' ἔγωγε εἰσῆλθον ἄν, εἰ μὴ ἑώρων πολλῶν εἰσιόντων ἴχνη, ἐξιόντων δὲ οὐδενός.

Οὕτως οἱ φρόνιμοι τῶν ἀνθρώπων, ἐκ τεκμηρίων προορώμενοι τοὺς κινδύνους, ἐκφεύγουσιν αὐτούς.

---

(1) Ἴσ. γρ. Τοῦ μικροῦ τούτου κέρδους. Δῆλον δὲ ὅτι ἐκ δωδεκασυλλάβων στίχων καὶ οὗτος ὁ μῦθος συνέκειτο πάλαι.

(2) Κατακλιθεὶς ἔγραψα (δόξαν τοῦτο καὶ τῷ Φλωρεντινῷ ἐκδότῃ) ἀντὶ τοῦ, Κατακλεισθείς.

(3) Γράφε, Συνεῖσα.

(4) Εγράφετο, Ἔχοιεν.

(5) Γραπτέον, Κάτει, καὶ οὐκ εἰσέρχῃ, ἢ γοῦν, Κάτεισι, καὶ οὐκ εἰσέρχεται.

138. [ΦΛ. 104]. ΛΥΚΟΣ ΚΑΙ ΓΡΑΥΣ.

Λύκος λιμώττων, περιήει ζητῶν ἑαυτῷ τροφήν. Γενόμενος δὲ κατά τινα τόπον, ἤκουσε παιδίου κλαυθμυρίζοντος, καὶ γραὸς ἀπειλουμένης, καὶ λεγούσης αὐτῷ, Παῦσαι τοῦ κλαίειν, μήπως τῇ ὥρᾳ ταύτῃ ἐπιδώσω σε τῷ λύκῳ. Οἰόμενος δὲ ὁ λύκος, ὅτι ἀληθεύει ἡ γραῦς, ἵςατο ἐπὶ πολλὴν ὥραν ἐκδεχόμενος. Ὡς δὲ ἑσπέρα κατέλαβεν, ἀκούει πάλιν τῆς γραὸς κολακευούσης τὸ παιδίον, καὶ λεγούσης αὐτῷ· Ἐὰν ἔλθῃ ἐνταῦθα ὁ λύκος, ὦ τέκνον, φονεύσομεν αὐτόν. Τούτων ἀκούσας ὁ λύκος, ὡς οὐδὲν τοῖς λόγοις ἀκόλουθον ἦν, ἀπηλλάττετο λέγων· Ἐν ταύτῃ τῇ ἐπαύλει ἄλλα μὲν λέγουσιν, ἄλλα δὲ ποιοῦσιν.

Ὁ μῦθος οὗτος δηλοῖ τοὺς ἀνθρώπους, οἵτινες τὰ ἔργα οὐκ ἔχουσι κατὰ τοὺς λόγους.

ΑΛΛΩΣ (1).

Αἰτοῦντι νηπίῳ καὶ κλαίοντι ἠπείλει *ἡ* Γραῦς, εἰ μὴ ἡσυχάσαι (2), τῷ Λύκῳ ῥίψαι. Ὁ δὲ λύκος τὴν Γραῦν ἀληθεύειν νομίσας, ἐκαρτέρησε μέχρις ἑσπέρας πεινῶν. Μηδὲν δὲ λαβὼν, καὶ εἰς τὴν σύνοικον ἀπαντῶν (3), ἠρωτᾶτο, πῶς οὐκ εἰσῆλθεν καὶ νῦν ὡς ἀεί; [Ὁ δὲ εἶπε], οὐδέποτέ τις πιςεύσας γυναικὶ ἀβλαβὴς διαμείνῃ.

Ὅτι κεναῖς ἐλπίσιν ἀπατᾶται ὁ πειθόμενος γυναικῶν ὁμιλίαις.

139. [ΦΛ. 75]. ΕΡΙΦΟΣ ΚΑΙ ΛΥΚΟΣ.

Ἔριφος, ἐπί τινος δώματος ὑψηλοτάτου ἑςὼς, ἐπειδὴ λύκον

(1) Ἐκ τῶν Σημ. καὶ Παρεκβολ. τῆς ἐν Παρισ. Φιλολογ. Ἀκαδημ. Τομ. Β, σελ. 695. — (2) Ἴσ. γρ. Ἡσυχάσοι. — (2) Ἴσ. γρ. Ἀπελθών.

τινὰ παριόντα εἶδεν, ἐλοιδόρει αὐτόν. Ὁ δὲ λύκος ἔφη· Ὦ οὗτος; οὐ σύ με λοιδορεῖς, ἀλλ' ὁ τόπος ἐν ᾧ ἵςασαι.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλάκις καὶ ὁ τόπος καὶ ὁ καιρὸς δίδωσι κατὰ τῶν ἀμεινόνων τὸ θράσος.

140. [ΦΛ. 83]. ΗΜΙΟΝΟΣ.

Ἡμίονός τις ἐκ κριθῆς παχυνθεῖσα, ἀνεσκίρτησε, καθ' ἑαυτὴν βοῶσα· Πατήρ μού ἐςιν ἵππος ὁ ταχυδρόμος, κἀγὼ δὲ αὐτῷ ὅλη ἀφωμοιώθην. Καὶ δὴ ἐν μιᾷ, ἀνάγκης ἐπελθούσης, ἠναγκάζετο ἡ ἡμίονος τρέχειν· ὡς δὲ τοῦ δρόμου ἐπέπαυτο (1), σκυθρωπάζουσα, [τοῦ] πατρὸς τοῦ ὄνου εὐθὺς ἀνεμνήσθη.

Ὁ μῦθος δηλοῖ, ὅτι δεῖ, κἂν ὁ χρόνος ἐνέγκῃ τινὰ εἰς δόξαν, τῆς ἑαυτοῦ ἀρχῆς μὴ ἐπιλαθέσθαι· ἀβέβαιος γάρ ἐςιν ὁ βίος οὗτος.

141. [ΦΛ. 155]. ΟΦΙΣ ΚΑΙ ΓΕΩΡΓΟΣ.

Ὄφις, γεωργοῦ προθύροις ἐμφωλεύων, ἔδακε τὸν ποῦν τοῦ παιδίου, καὶ παραχρῆμα τέθνηκε. Πένθος δὲ μέγα ἐγένετο τοῖς γονεῦσιν αὐτοῦ. Τότε ὁ πατὴρ πληγεὶς ὑπὸ τῆς συμφορᾶς, πέλεκυν λαβὼν, ἐπειρᾶτο τοῦ θανατῶσαι τὸν παγκάκιςον ὄφιν. Καὶ δὴ ὁ ὄφις ἐξελθὼν τοῦ θηρεῦσαι, εὐθὺς ὁ ἀνὴρ καταδραμὼν ὀπίσω, ςεῤῥῶς κατ' αὐτοῦ τὸ ξίφος καταφέρει. Ἀςοχήσας δὲ τοῦ θανατῶσαι τοῦτον, μόνον τῆς οὐρᾶς αὐτοῦ ἀπέκοψε τὸ ἄκρον. Ὃς φόβῳ ληφθεὶς, μὴ καὶ αὐτὸν θανατώσῃ (2), λαβὼν ἄλευρον, ὕδωρ, καὶ μέλι, αὐτὸς ἐκάλει τὸν ὄφιν πρὸς εἰρήνην.

---

(1) Ἄμεινον ὧδε καθ' ὑπερσυντελικὸν γέγραπται Ἐπέπαυτο, ἢ ὥσπερ ἀνωτέρω (σελ. 82), Πέπαυται, κατὰ παρακείμενον.

(2) Ἐκ διορθώσεως τοῦ Φλωρεντινοῦ ἐκδότου, ἀντὶ τοῦ Θανατώσει.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ὁ δὲ κάτωθεν λεπτὸν αὐτὸς συρίσας, καὶ γὰρ ἐκρύβη ἐπὶ πέτρας ὁ ὄφις, τῷ ἀνθρώπῳ ἔφησε, τοιάδε λέγων· Ἀπὸ τοῦ νῦν, ἄνθρωπε, μηκέτι κάμῃς· ὅλως ἐν ἡμῖν φιλία οὐ προσμένει. Ὁρῶν γὰρ ἐγὼ τὴν οὐράν μου λυποῦμαι, καὶ σὺ δὲ πάλιν τὸν τύμβον τοῦ υἱοῦ σου βλέπων καθ' ὥραν, οὐκέτι εἰρηνεύεις (1).

Ὁ μῦθος δηλοῖ ὅτι οὐδεὶς μίσους, ἢ ἀμοιβῆς κακῶν, ἐπιλάθεται (2), μέχρις ἂν τὸ μνημόσυνον βλέπῃ, περὶ οὗ ἐλυπήθη.

ΑΛΛΩΣ.

[ΦΛ. 42]. ΓΕΩΡΓΟΥ ΠΑΙΣ ΚΑΙ ΟΦΙΣ.

Γεωργοῦ παῖδα ὄφις ἑρπύσας ἀπέκτεινεν. Ὁ δὲ ἀπὸ τούτου (3) δεινοπαθήσας, πέλεκυν ἔλαβε, καὶ παραγενόμενος εἰς τὸν φωλεὸν αὐτοῦ, εἱστήκει (4) παρατηρούμενος ὅπως ἂν ἐξίῃ, εὐθὺς αὐτὸν πατάξειν. Παρακύψαντος δὲ τοῦ ὄφεως, κατενεγκὼν τὸν πέλεκυν, τοῦ μὲν διήμαρτε, τὴν δὲ παρακειμένην πέτραν διέκοψεν. Εὐλαβηθεὶς δὲ ὕστερον, παρεκάλει ὅπως διαλλαγῇ αὐτῷ. Ὁ δὲ εἶπεν· Ἀλλ' οὔτε ἐγὼ δύναμαί σοι διαλλαγῆναι, ὁρῶν τὴν κεχαραγμένην πέτραν, οὔτε σὺ ἐμοί, ἀποβλέπων εἰς τὸν τοῦ παιδὸς τάφον.

Ὁ λόγος δηλοῖ, ὅτι αἱ μεγάλαι ἔχθραι οὐ ῥαδίας τὰς καταλλαγὰς (5) ἔχουσι.

---

(1) Γράφε, Εἰρηνεύσεις. Πλείστους δὲ καὶ ἐν τούτῳ τῷ μύθῳ εὑρεῖν ἐστὶ δωδεκασυλλάβους στίχους, οὓς κατέλιπεν ὁ διασκευάσας, διὰ κρίσεως ἔνδειαν, ἐμμέτροις πεζὰ συναναφύρας.

(2) Γράφε, Ἐπιλάθηται, ἢ Ἐπιλανθάνεται. Ἴσως δὲ καὶ τὸ Ἀμοιβῆς τρεπτέον εἰς τὸ Ἀμύνης.

(3) Γράφε, Ἐπὶ τούτῳ.

(4) Ἢ τὸ, Εἱστείκει, τρεπτέον εἰς ὃ προσεγέγραπτο τῷ ἀντιγράφῳ τοῦ Φλωρεντινοῦ ἐκδότου, Ἔμελλε, ἢ τὸ ἐχόμενον, Πατάξειν, εἰς τὸ, Πατάξῃ.

(5) Ἐγράφετο, Ῥαδίως τὰς μεταλλαγάς.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

142. [ΦΛ. 81]. ΣΑΛΠΙΣΤΗΣ.

Ην τις σαλπιςὴς ςρατὸν ἐπισυνάγων,
Ὅςις κρατηθεὶς ἐβόα τοῖς παροῦσι·
Μὴ κτείνετέ με εἰκῆ καὶ μάτην, ἄνδρες,
Ἐπείπερ ἐγὼ οὐκ ἔκτεινα οὐδένα·
Πλὴν γὰρ τοῦ χαλκοῦ τούτου (1), οὐ κτῶμαι ἄλλο.
Οἱ δὲ πρὸς αὐτὸν ταῦτα οὕτως ἐβόων·
Διὰ τοῦτο γὰρ μᾶλλον τεθνήξῃ ἄρτι,
Ὅτι μηδὲν δυνάμενος ἐν πολέμῳ,
Τοῖς πᾶσι κράζεις πρὸς μάχην ἐπεγείρων (2).

Ὁ μῦθος δηλοῖ, ὅτι πλεῖςον (3) πταίουσιν οἱ τοὺς κακοὺς, καὶ βαρεῖς δυνάςας ἐπεγείροντες εἰς τὸ κακοποιῆσαι.

143. [ΦΛ. 59]. ΚΑΛΑΜΟΣ ΚΑΙ ΕΛΑΙΑ.

Διὰ καρτερίαν, καὶ ἡσυχίαν, καὶ ἰσχὺν, κάλαμος καὶ ἐλαία ἤριζον. Τοῦ δὲ καλάμου ὀνειδιζομένου ὑπὸ τῆς ἐλαίας, ὡς ἀδύνατός ἐςι, καὶ ῥᾳδίως ὑποκλίνεται πᾶσι τοῖς ἀνέμοις, ὁ κάλαμος οὐδὲν ἐφθέγξατο. Καὶ μικρὸν ὑπομείνας, ἐπειδὴ ἀνέμου ἰσχυροῦ γενομένου, ὁ μὲν κάλαμος σεισθεὶς καὶ ὑποκλιθεὶς τοῖς ἀνέμοις, ῥᾳδίως διεσώθη, ἡ δὲ ἐλαία ῥιζωθεῖσα, ἐπειδὴ ἀντ-

---

(1) Ἔγραψα ὡς ἀνωτέρω (σελ. 84), ἀντὶ τοῦ βαρβάρου, Πλὴν γὰρ τούτου χαλκοῦ.

(2) Ὃν ἀνωτέρω, (σελ. 84) διὰ τὰς γραφικὰς ἁμαρτίας, πεζῇ γεγραμμένον εἴασα μῦθον, τοῦτον ὧδε, ἀμούσως μὲν οὐδὲν ἧττον ἐκείνου, πληρεςέρως δ' ἐξενηνεγμένον, εἰς δωδεκασυλλάβους κατεμέρισα ςίχους.

(3) Γράφε, Πλεῖον, ἢ Πλέον, ὡς ἐν τοῖς πρόσθεν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

έτεινε τοῖς ἀνέμοις, τῇ βίᾳ κατεκλάσθη, ἤλεγξεν αὐτὴν, ὅτι ματαίως καὶ μάτην (1) ἐπαίρεται ἐπὶ τῇ οἰκείᾳ δυνάμει.

Ὁ μῦθος δηλοῖ, ὅτι οὕτω καὶ οἱ πρὸς τὸν καιρὸν καὶ τοὺς κρείττονας αὐτῶν μὴ ἀνθιςάμενοι, κρείττονές εἰσι τῶν πρὸς μείζονας φιλονεικούντων. Ἢ, Ὅτι οὐ δεῖ τοῖς κρείττοσιν ἀντιπίπτειν.

ΑΛΛΩΣ

[ΦΛ. 180]. ΔΕΝΔΡΑ ΚΑΙ ΚΑΛΑΜΟΙ.

Τὰ δένδρα, κατεασσόμενά (2) ποτε ὑπὸ τῶν ἀνέμων, ὡς ἑώρα τοὺς καλάμους ἀβλαβεῖς διαμένοντας, ἐπυνθάνετο αὐτὰ (3), πῶς αὐτὰ μὲν, ἰσχυρὰ καὶ ἐμβριθῆ ὄντα, οὕτως κατακλῶνται, οἱ δὲ, λεπτοὶ καὶ ἀσθενεῖς ὄντες, πάσχουσιν οὐδέν. Κἀκεῖνοι ἔφησαν, Ὅτι ἡμεῖς συνειδότες ἑαυτοῖς ἀσθένειαν, εἴκομεν τῇ τῶν ἀνέμων προσβολῇ, καὶ οὕτως τὰς ὁρμὰς ἐκκλίνομεν· ὑμεῖς δὲ, πεποιθότες τῇ ἰδίᾳ δυνάμει, ἀντιτείνετε, καὶ διὰ τοῦτο κατεάσσεσθε.

Ὁ λόγος (4) δηλοῖ, [ὅτι] πρὸς τὰ χαλεπὰ τῶν πραγμάτων τὸ εἴκειν καὶ ὑποτάσσεσθαι ἀσφαλέςερον.

---

(1) Τὰς μόνῳ τῷ σχηματισμῷ παρηλλαγμένας λέξεις, Ματαίως, καὶ, Μάτην, ὡς διαφόρους συνῆψεν ὁ βάρβαρος διασκευαςής.

(2) Παρακμάζοντος, ἢ μᾶλλον, παρηκμακότος ἑλληνισμοῦ τὸ Κατεασσόμενα, καὶ τὸ κατωτέρω Κατεάσσεσθε, ἀντὶ τοῦ, Καταγνύμενα καὶ Κατάγνυσθε.

(3) Οὐ γραφικὸν, ἀλλὰ τοῦ βαρβάρου διασκευαςοῦ ἁμάρτημα τὸ Αὐτὰ, ἀντὶ τοῦ Αὐτῶν.

(4) Ἐγράφετο, Ὅλως.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΑΛΛΩΣ.

ΚΑΛΑΜΟΙ ΚΑΙ ΚΥΠΑΡΙΤΤΟΙ (1).

Κάλαμοι παρεφύτευντο (2) κυπαρίττοις, καὶ τὸ αὐτῶν ἀνεκρίζωτον διὰ τὸ εὐκλίνειν ἐνορωμένοις ἀνέμοις. Κυπάριττοι δὲ σφοδρῶς (3) ἐπέκειντο ταῖς καλάμοις (4). Πῶς ἡμεῖς, λέγουσαι, τὴν ἐκριζωσιν ἀθρόαν δεινῶς ὑφιςάμεθα, ὑμεῖς δὲ ἅπασαι διαδρᾷν (5) τὸν κίνδυνον εὐκρινῶς μεμαθήκατε; Τί γοῦν αἱ κάλαμοι; Ταῖς ὑπερτερούσαις ἡμῶν δυναςείαις μὴ ἀντιβαίνειν μεμαθημέναι (6), ἀλλὰ ταύταις ῥᾳδίως τὸν τράχηλον ὑποκλίνουσαι, τὴν αἴτιον τοῦ ἀφανισμοῦ καταδρῶμεν (7) ἐκρίζωσιν.

Ὅτι τοῖς κρατοῦσιν οὐ δεῖ ἀνθίςασθαι, ἀλλὰ μᾶλλον ὑπείκειν.

144. [ΦΛ. 94]. ΛΥΚΟΣ ΚΑΙ ΓΕΡΑΝΟΣ.

Λύκου ποτὲ λαιμῷ ὀςέον ἐπάγη. Τῇ δὲ γεράνῳ μισθὸν παρέξειν εἶπεν, εἰ τὴν κεφαλὴν αὐτῆς προσεπιβαλοῦσα, ἐξανασπάσει ἐκ τοῦ λαιμοῦ αὐτοῦ [τὸ] ὀςοῦν. Ἡ δὲ, ἐκβαλοῦσα, τὸν μισθὸν ἐπεζήτει. Γελάσας οὖν ὁ λύκος, καὶ τοὺς ὀδόντας

---

(1) Ἐκ τῶν Σημ. καὶ Παρεκβολ. τῆς ἐν Παρισίοις φιλολογικῆς Ἀκαδημίας, Τόμ. Β, σέλ. 723.

(2) Γραπτέον, Παρεπεφύτευντο.

(3) Ἴσως ἐγράφετο, Καὶ αἱ κυπάριττοι, τὸ αὐτῶν ἀνεκρίζωτον, διὰ τὸ ὑποκλίνειν τοῖς ἀνέμοις, ἐνορώμεναι, σφοδρῶς κ. τ. λ.

(4) Βαρβάρως, ἀντὶ τοῦ ἀρσενικοῦ, Τοῖς καλάμοις.

(5) Βαρβάρως, ἀντὶ τοῦ, Διαδιδράσκειν.

(6) Ὡς καὶ τὸ ἐν τῇ συνηθείᾳ Μαθημέναι, ἀντὶ τοῦ, Μεμαθηκυῖαι.

(7) Ἴσως ἔγραψε, Διαδρῶμεν, βαρβάρως δηλονότι ἀντὶ τοῦ, Διαδιδράσκομεν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

θήξας, Ἀρκεῖ σοι, εἶπεν, ἀντὶ μισθοῦ τοῦτο καὶ μόνον, ὅτι ἐκ λύκου ϛόματος καὶ ὀδόντων ἐξῆξας κάραν σῶαν μηδὲν παθοῦσαν.

Ὁ μῦθος πρὸς ἄνδρας δολίους, οἵτινες, ἐκ κινδύνων διασωθέντες, τοῦτο παρέχουσι τοῖς εὐεργέταις ἀντὶ χάριτος, τὸ μὴ (1) βλάψαι αὐτούς.

[ΦΛ. 102]. ΑΛΛΩΣ.

ΛΥΚΟΣ ΚΑΙ ΓΕΡΑΝΟΣ.

Λύκος καταπιὼν ὀϛοῦν, περιήει ζητῶν τὸν ἰώμενον (2). Περιτυχὼν δὲ γεράνῳ, τοῦτον παρεκάλει ἐπὶ μισθῷ τὸ ὀϛοῦν ἐξελεῖν. Κἀκεῖνος καταθεὶς (3) τὴν ἑαυτοῦ κεφαλὴν εἰς τὸν φάρυγγα αὐτοῦ, τὸ ὀϛοῦν ἐξέσπασε, καὶ τὸν ὁμολογηθέντα μισθὸν ἀπῄτει. Γελάσας οὖν ὁ λύκος, καὶ τοὺς ὀδόντας θήξας, Ἀρκεῖ σοι, εἶπεν, ἀντὶ μισθοῦ τοῦτο καὶ μόνον, ὅτι ἐκ λύκου ϛόματος καὶ ὀδόντων ἐξῆξας κάραν σῶαν μηδὲν παθοῦσαν.

Ὁ μῦθος δηλοῖ ἄνδρας δολίους, οἵτινες, ἐκ κινδύνων διασωθέντες, τοῦτο παρέχουσι τοῖς εὐεργέταις ἀντὶ χάριτος, τὸ μὴ βλάψαι αὐτούς.

145. [ΦΛ. 119]. ΑΛΕΚΤΟΡΕΣ ΚΑΙ ΑΕΤΟΣ.

Μαχομένων δέποτε τῶν ἀλεκτόρων
Διὰ τὴν ὄρνιν, τὸ τίς αὐτὴν ἐγγήμει,
Ὁ εἷς ἡττηθεὶς ἐκρύπτετο ἔν τινι γωνίᾳ (4),
Ὡς δειλιάσας, καὶ εἰς τροπὴν χωρήσας·
Ὁ δὲ ἕτερος, σφοδρῶς (5) μέγα κοκκύσας,

(1) Ἀντὶ τοῦ, Τοῦ μή, ἔγραψα, Τὸ μὴ, καθὰ φέρεται ἐν τῷ προσεχῶς ἑπομένῳ μύθῳ.

(2) Ἴσως ἐγράφετο, Ἰασόμενον.

(3) Ἄμεινον ἂν εἶπε, Καθείς.

(4) Ἴσ. γρ. διὰ τὸ μέτρον τῶν συλλαβων, Ἐκρύπτετ' ἐν γωνίᾳ.

(5) Ἴσ. γρ. Φαιδρὸς, ἀντὶ τοῦ Σφοδρῶς.

Ἀνεπέτασεν (1) ἐπάνω τῶν δωμάτων,
Ὡς τροπαιοῦχος κατὰ τοῦ πολεμίου,
Φωνῶν (2), Ἥττησα τὸν ἴδιον ἐχθρόν μου,
Τροπωσάμενος ἀντίπαλον εἰς κράτος.
Ὡς οὖν ἐβόα τοιαῦτα ὁ ἀλέκτωρ,
Ἧκεν ἀετὸς καταπτὰς ἐκ τῶν ἄνω,
Καὶ καταλαβὼν τὸν νικητὴν ἐκεῖνον,
Ἤγαγεν αὐτὸν τοῖς τέκνοις παραυτίκα,
Βρῶμα ποιήσας τοῖς νεοττοῖς καὶ πόμα.
Ὁ δὲ ἕτερος ἐλευθερίως ζήσας,
Ἥγετο (3) οὕτως ἐν ἀδείᾳ τυγχάνων,
Λαβὼν εὔκλειαν κατὰ τοῦ πολεμίου,
Τοῦ ἐκπορθοῦντος καὶ τροπώσαντος τοῦτον,
Καὶ καυχωμένου, ὡς ὄντος νικηφόρου.

Ὁ λόγος (4) πρὸς ἄνδρας θεομάχους.

ΑΛΛΩΣ (5).

Ἀλέκτορες δύω δι' ὄρνεις ἐμάχοντο. Τούτους δὲ ἱςοροῦσι θυμὸν ἔχειν ἀνθρώποις πανόμοιον (6). Ὁ τῇ μάχῃ οὖν ἡττωθεὶς (7) διὰ τῆς ἑτέρου ςεῤῥότητος, ἐν γωνίᾳ τινὶ, καθυποδὺς τὴν λόχμην, ἐκρύβη. Ὁ δὲ ἕτερος, βρενθυόμενος, διά-

(1) Βαρβάρως (ὥσπερ τὸ παρ' ἡμῖν ἁπλοῦν, Ἐπέταξεν) ἀντὶ τοῦ, Ἀνέπτη, ἢ Ἀνέπτατο.

(2) Ἔγραψα, Φωνῶν, ἀντὶ τοῦ, Φωνεῖν.

(3) Ἴσ. γρ. Ἥλλετο.

(4) Ἔγραψα καὶ πάλιν, Ὁ λόγος, ἀντὶ τοῦ βαρβάρου, Ὅλως.

(5) Ἐκ τῶν Σημ. καὶ Παρεκβολ. τῆς ἐν Παρισ. Φιλολογ. Ἀκαδημ. Τομ. Β, σελ. 702.

(6) Ἴσ. γρ. Παρόμοιον.

(7) Γράφε, Ἡττηθείς.

τορον ἐξεβόησε, τοῦ δώματος ὑπερβάς. Τοῦτον οὖν Ἀετὸς καταπτὰς ἀφήρπασε, καὶ ἐτιθηνήσατο (1). Ἔμεινεν οὖν ὁ δειλοτέρος τε καὶ ἀσθενέστερος ταῖς θηλείαις ἔκτοτε ἄμαχός τε καὶ ἄφθονος.

Ἐπὶ τύχῃ καὶ ἀνδρείᾳ οὐ δεῖ τινα μέγα καυχᾶσθαι.

147. [ΦΛ. 23]. ΑΕΤΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.

Ἀετός ποτε ἑάλω ὑπ' ἀνθρώπου,
Ὅστις τὰ πτερὰ αὐτοῦ εὐθέως τίλας,
Εἴασεν αὐτὸν ἐν οἴκῳ σὺν ὄρνισιν.
Ὁ δὲ κατηφὴς ἐκ τῆς λύπης ὑπῆρχεν.
Ἕτερος δέ τις τοῦτον ἐξαγοράσας,
Ἀνεπτέρωσε τὸν ἀετὸν αὐτίκα.
Ὁ δὲ, πετασθεὶς, καὶ λαγωὸν ἁρπάσας,
Ἤνεγκεν εὐθὺς δῶρον τῷ εὐεργέτῃ.
Τοῦτο ἀλώπηξ κατιδοῦσα ἐβόα·
Μὴ τοῦτον σὺ ξένιζε, ἀλλὰ τὸν πρῶτον,
Μήπως ὁ αὐτός σε πάλιν κυνηγήσῃ,
Καὶ αὖθις τὰ πτερὰ τὰ σὰ κατερημώσῃ (2).

Ὁ μῦθος δηλοῖ, ὅτι δεῖ χρηστὰς ἀμοιβὰς τοῖς εὐεργέταις παρέχειν, τοὺς δὲ κακοὺς ἐκφεύγειν.

148. [ΦΛ. 128]. ΑΓΑΛΜΑΤΟΠΩΛΗΣ.

Ξύλινόν τις Ἑρμῆν κατασκευάσας, προσενεγκὼν ἐπώλει.

---

(1) Γραπτέον, Ἐθοινήσατο.

(2) Εἰς χωλιάμβους καὶ τοῦτον, ὅμοια τέως τοῖς καταλογάδην γεγραμμένον, τὸν μῦθον κατεμέλισα, ἀμέτρους μὲν καὶ ἀμούσους, ὑφ' ἑτέρων γε μὴν διεσκευασμένους.

Μηδενὸς δὲ ὠνητοῦ προσιόντος, ἐγκαλέσασθαί (1) τινας βουλόμενος, ἐβόα, ὡς ἀγαθοποιὸν δαίμονα, καὶ κέρδους τηρητικὸν πιπράσκειν (2). Τῶν δὲ παρατυχόντων τινὸς εἰπόντος πρὸς αὐτόν· Ὦ οὗτος, καὶ τί τοῦτον ὄντα τοιοῦτον πωλεῖς, δέον τῶν παρ' αὐτοῦ ὠφελειῶν ἀπολαύειν; ἀπεκρίνατο· Ὅτι ἐγὼ μὲν ταχείας ὠφελείας τινὸς ἐπιδέομαι, αὐτὸς δὲ βραδέως εἴωθε τὰ κέρδη ποιεῖν.

Πρὸς ἄνδρα αἰσχροκερδῆ, καὶ τῷ θεῷ (3) περιφρονοῦντα.

149. ΑΗΔΩΝ ΚΑΙ ΧΕΛΙΔΩΝ (4).

Ἀηδόνα συνεβούλευε χελιδὼν τοῖς ἀνθρώποις συνεῖναι καὶ ὁμορροφεῖν ὡς ἐκείνη. Ἡ δὲ ἔφησε, Οὐ θέλω λύπην τῶν παλαιῶν μου συμφορῶν μεμνῆσθαι, καὶ διὰ τοῦτο τὰς ἐρήμους οἰκήσω.

Ὅτι ἐτύγχανέ τινι λυπηθῆναι καὶ τὸν τόπον φεύγειν ἔνθα ἡ λύπη συνέβη.

151. ΑΙΓΟΣΟΣΚΟΣ ΚΑΙ ΑΙΞ (5).

Αἰπόλος αἶγας πρὸς μάνδραν ἀνεκαλεῖτο (6). Μιᾶς δὲ ἐξ αὐτῶν ἐν πόᾳ τινὶ δροσερᾷ κρατηθείσης, ὁ ποιμὴν κατ' ἐκείνης λίθον ἀφῆκε, καὶ εὐςόχως βαλὼν, τὸ κέρας συνέτριψεν· ὅθεν καὶ ἐδυσώπει τὴν πετρωθεῖσαν, ἀνέκφραςον τῷ κυρίῳ διατηρῆσαι τὸ δρᾶμα. Ἡ δὲ ἔφησε, Κἂν ἐγὼ σιωπήσω, τὸ κέρας κεκράξεται.

Τῆς αἰτίας προδήλου οὔσης, ἀδύνατον ταύτην ἐπικαλύψαι.

---

(1) Γράφε, ὡς ἀνωτέρω (σελ. 89), Ἐκκαλέσασθαι.—(2) Γράφε, Πιπράσκει.—(3) Γράφε, Τοῦ θεοῦ, ἢ Τὸν θεόν.—(4) Ἐκ τῶν Σημ. καὶ Παρεκβολ. τῆς ἐν Παρισ. Φιλολογ. Ἀκαδημ. Τόμ. Β, σελ. 697. —(5) Ἐκ τῶν αὐτῶν, σελ. 700.—(6) Ἐγράφετο, Ἐνεκαλεῖτο.

152. [ΦΛ. 14]. ΑΙΛΟΥΡΟΣ ΚΑΙ ΟΡΝΙΘΕΣ.

Αἴλουρος ἀκούσας ὅτι ἔν τινι *τόπῳ* ἐπαύλει (1) ὄρνιθες νοσοῦσιν, εἰς ἰατρὸν ἑαυτὸν σχηματίσας, καὶ τὰ τῆς ἐπιςήμης πρόσφορα ἀναλαβὼν ἐργαλεῖα, παρεγένετο· καὶ ςὰς πρὸ τῆς ἐπαύλεως, ἐπυνθάνετο αὐτὰς, πῶς ἔχοιεν. Αἱ δὲ ἀποκριθεῖσαι, Καλῶς, ἔφασαν, ἐὰν σὺ ἐντεῦθεν ἀπαλλαγῇς.

Οὕτω καὶ τῶν ἀνθρώπων οἱ πονηροὶ τοὺς φρονίμους οὐ λανθάνουσι, κἂν μάλιςα χρηςότητα ὑποκρίνωνται.

ΑΛΛΩΣ.

[ΦΛ. 157]. ΟΡΝΙΣ ΚΑΙ ΑΙΛΟΥΡΟΣ.

Ὄρνις δέ ποτε κατακλιθεὶς (2) ἠῤῥώςει·
Εἰς ὃν αἴλουρος προκύψας, ἔφη ταῦτα·
Πῶς ἔχεις, φίλε; τί δέ σοι; ἵνα τί χρήζῃς (3),
Ἀνάγγειλόν μοι, καὶ πάντα σοι παρέξω.
Ὅμως ἔγειρε, καὶ τεύξῃ τῆς ὑγιείας.
Ἡ δὲ ἀπεκρίθη πρὸς τὸν αἴλουρον ταῦτα·
Εἰ σὺ παρέλθῃς, ἐγὼ οὐκ ἀποθνήσκω·
Ζωὴν γὰρ ζήσω δορκάδος ὑπερτέραν (4).

Ὁ μῦθος δηλοῖ ὅτι τοὺς δολίους ὑποκριτὰς, τοὺς λέγοντας φιλεῖν, ὁ μῦθος ἐλέγχει.

---

(1) Ἐγράφετο, Τόπῳ ἐπ' αὐλῇ· ὧν τὸ μὲν, Τόπῳ ὡς διάφορον γραφὴν διέγραψα, τὸ δ' ἐχόμενον εἰς τὸ, Ἐπαύλει, ἔτρεψα.

(2) Ἐγράφετο κακῶς Κατακλισθείς.

(3) Γράφε, Ἄν τι χρήζῃς.

(4) Πεζῇ καὶ τοῦτον γεγραμμένον, εἰς δωδεκασυλλάβους μετεποίησα ςίχους.

153. ΑΙΞ ΚΑΙ ΟΝΟΣ (1).

Αῖγα καὶ ὄνον ἔτρεφέ τις. Ἡ δὲ Αἶξ, φθονήσασα τῷ ὄνῳ διὰ τὸ περιττεύειν τῆς τροφῆς, εἰρωνικῶς συνεβούλευε λέγουσα· Ἄπειρα κολάζῃ, ποτὲ μὲν ἀλήθων, ποτὲ δὲ ἀχθηφορῶν. Ἐπίληπτον οὖν ἑαυτὸν ποιήσας, τῷ βόθρῳ κρημνίσθητι. Πεισθεὶς οὖν ὁ ὄνος ἐποίησεν, ὡς ἐδιδάχθη· ὅθεν καὶ συνετρίβη. Ὁ δὲ δεσπότης ἀμφοτέρων, καλέσας τὸν ἰατρὸν, βοηθεῖν τῷ ὄνῳ ἠτεῖτο. Ὁ δὲ πόμα τούτῳ δι' αἰγὸς πνεύμονος κατασκευασθὲν κεράσαι ὡρίσατο, καὶ οὕτω τῆς ὑγείας τυχεῖν. Θύσαντες τοίνυν τὴν ἀθλίαν αὐτεπίβουλον αἶγα, τὸν ὄνον ἰάτρευον.

Ὅςις καθ' ἑτέρου δόλον μηχανᾶται, ἑαυτῷ (2) ἐςι τῶν κακῶν αὐτουργός.

154. ΑΛΙΕΥΣ (3).

Ἁλιεὺς, τῇ θαλάσσῃ δίκτυον ἐμβαλὼν, ἰχθύων μεγίςων καὶ σμικροτάτων ἐγκρατὴς γέγονε. Τὸ δίκτυον οὖν οὗτος ἐφαπλώσας τῇ γῇ, τῶν εὐτελῶν ἀπεςέρητο, ταῖς τρυμαλιαῖς διαδράντων, καὶ τῇ ὑγρᾷ προσφυγόντων. Ἐφιλονείκει γὰρ οὗτος ἐπισυνάξαι τὰ μέγιςα, τῶν ἐλαχίςων ὑπερφρονῶν.

Εὔκολον εἰς σωτηρίαν τὸ εὐτελές· οἱ λαμπροὶ δὲ τῇ δόξῃ μόλις ἂν διαφύγωσι τοὺς κινδύνους.

156. [ΦΛ. 5]. ΑΛΩΠΗΞ ΚΑΙ ΒΟΤΡΥΕΣ.

Ἀλώπηξ λιμώττουσα, ὡς ἐθεάσατο ἐπί τινα ἀναδενδράδα βότρυας κρεμαμένους, ἠβουλήθη αὐτῶν περιγενέσθαι, καὶ οὐκ

(1) Ἐκ τῶν Σημ. καὶ Παρεκβολ. τῆς ἐν Παρισ. Φιλολογ. Ἀκαδημ. Τομ. Β, σελ. 699.—(2) Ἐγράφετο, Ἑαυτοῦ.—(3) Ἐκ τῶν αὐτῶν Σημ. καὶ Παρεκβολ., σελ. 703.

ἐδύνατο. Ἀπαλλαττομένη δὲ πρὸς ἑαυτὴν εἶπεν· Ὄμφακές εἰσιν.

Οὕτω καὶ τῶν ἀνθρώπων ἔνιοι, τῶν πραγμάτων ἐφικέσθαι μὴ δυνάμενοι δι' ἀσθένειαν, τοὺς καιροὺς αἰτιῶνται.

[ΦΛ. 170]. ΑΛΛΩΣ.

Ποτὲ κατεῖδε τοὺς βότρυας ἀλώπηξ,
Πεπείρους πάνυ τὰς ῥῶγας ἐνδεικνυμένους,
Καὶ ἐπειρᾶτο τούτους λαβεῖν εἰς βρῶσιν.
Τῆς δὲ εἰς τοῦτο πολλὰ μηχανωμένης,
Οὐκ ἐδυνήθη τὴν ὄρεξιν πληρῶσαι.
Μετὰ δὲ ταῦτα μειδιάσασα ἔφη,
Εὐθὺς τὸ πένθος εἰς χαρὰν μεταβάλλει
Ἀναβοῶσα, Ὄμφακές εἰσι ταῦτα (1).

Ὁ λόγος (2) δηλοῖ, ὅτι πολλοὶ τῶν ἀνθρώπων, ἀποτυχόντες πραγμάτων, σπουδάζουσι διὰ τοῦ ψεύδους συγκαλύψαι τὴν ἧτταν.

ΑΛΛΩΣ (3).

Βότρυας πεπείρους Ἀλώπηξ ἀπῃωρημένους ἰδοῦσα, κατάξαι τούτους καὶ ἔδεσθαι πολυτρόπως ἐμηχανᾶτο. Πολλὰ δὲ καμοῦσα καὶ ὅλως ψαῦσαι τούτων μὴ δυνηθεῖσα, παρεμυθεῖτο τὴν ἑαυτῆς ἀτυχίαν, καὶ ἔλεγεν, Ὄμφακές εἰσιν ἔτι, καὶ ἄμαχοι τοῖς ὀδοῦσιν.

Ὅτι ἐν τοῖς ἀδυνάτοις τινὲς αἰδούμενοι, ἑτέρας κενὰς προφασίζονται ἀφορμάς.

---

(1) Ἐν πεζοῦ λόγου σχήματι συγκεχυμένους τοὺς δωδεκασυλλάβους στίχους, ἀποκατέστησα εἰς τὸ ἀρχαῖον.

(2) Ἐγράφετο καὶ πάλιν, Ὅλως.

(3) Ἐκ τῶν Σημ. καὶ Παρεκβολ. τῆς ἐν Παριτ. Φιλολογ. Ἀκαδημ. Τομ. Β, σελ. 714.

157. [ΦΛ. 18]. ΑΛΩΠΗΞ ΚΑΙ ΚΥΩΝ.

Αλώπηξ, εἰσελθοῦσα εἰς ἀγέλην προβάτων θηλαζόντων, τῶν ἀρνίων ἓν λαβομένη, προσεποιεῖτο καταφιλεῖν. Ἐρωτηθεῖσα δὲ ὑπὸ κυνὸς, Τί τοῦτο ποιεῖς; Τιθηνοῦμαι αὐτὸ (1), ἔφη, καὶ προσπαίζω. Καὶ ὁ κύων ἔφη· Καὶ νῦν ἐὰν μὴ ἀφῇς τὸ ἀρνίον ἀφ' ἑαυτῆς, τὰ κυνῶν σοι προσοίσω.

Ὁ λόγος πρὸς ἄνδρα ῥᾳδιουργὸν καὶ κλέπτην εὔκαιρός ἐστιν.

158. [ΦΛ. 12]. ΑΛΩΠΗΞ ΕΞΟΓΚΩΘΕΙΣΑ ΤΗΝ ΓΑΣΤΕΡΑ.

Αλώπηξ λιμώττουσα, ἐν πείνῃ (2) ἐθεάσατο ἐπί τινα καλύβην βοσκοῦ κρέη καὶ ἄρτον ὑπ' αὐτοῦ καταλειφθέντα· καὶ εἰσελθοῦσα, ἔφαγεν αὐτὰ ἡδέως. Ἐξογκωθείσης δὲ αὐτῆς τῆς γαστρὸς, καὶ διὰ τοῦτο μὴ δυναμένης ἐξελθεῖν τῆς καλύβης, ἔστενε, καὶ ἐπωδύρετο (3). Ἑτέρα δὲ ἀλώπηξ διερχομένη, ἤκουσεν αὐτῆς τῶν στεναγμῶν, καὶ προσελθοῦσα ἐπυνθάνετο; Δι' ἣν αἰτίαν τοῦτο ποιεῖς; Μαθοῦσα δὲ τὸ γεγονὸς ἡ ἀλώπηξ, ἔφη· Ἀλλὰ μένε τέως ἐνταῦθα σὺ, ἕως ἂν τοιαύτη γένῃ, ὁποία οὖσα εἰσῆλθες.

Ὁ μῦθος δηλοῖ, ὅτι τὰ χαλεπὰ (4) τῶν πραγμάτων ὁ χρόνος διαλύει.

---

(1) Ἐγράφετο, Αὐτῷ.—(2) Πήρᾳ, γραπτέον κἀνταῦθα, ὡς ἀνωτέρω (σελ. 95) διώρθωκα.—(3) Ἴσ. γρ. Ἀπωδύρετο.—(4) Διωρθώθη ἐκ τῶν ἀνωτέρω ἀντὶ τοῦ, Λεπτά.

159. [ΦΛ. 13]. ΑΛΩΠΗΞ ΚΑΙ ΠΑΡΔΑΛΙΣ.

Αλώπηξ καὶ πάρδαλις περὶ κάλλους ἤριζον. Τῆς δὲ παρδάλεως παρ' ἕκαστα τὴν τοῦ σώματος ποικιλίαν προβαλλομένης, ἡ ἀλώπηξ ὑποτυχοῦσα εἶπε· Καὶ πόσον ἐγὼ καλλίων ὑπάρχω, ἥτις οὐ τὸ σῶμα, τὴν δὲ ψυχὴν πεποικιλμένη τυγχάνω.

Ὁ μῦθος δηλοῖ, ὅτι τοῦ σωματικοῦ κάλλους ἀμείνων ἐστὶν ὁ τῆς διανοίας κόσμος.

160. [ΦΛ. 29]. ΦΟΝΕΥΤΗΣ.

Ανθρωπός τις φόνον ποιήσας, ἐδιώκετο ὑπὸ τῶν συγγενῶν τοῦ φονευθέντος. Γενομένου δὲ αὐτοῦ κατὰ τὸν ποταμὸν τὸν Νεῖλον, λέοντα ἰδὼν καὶ φοβηθεὶς, ἀνέβη εἰς δένδρον. Εὗρε δὲ δράκοντα ἐπάνω τοῦ δένδρου, καὶ πάλιν τοῦτον φοβηθεὶς ἔῤῥιψεν ἑαυτὸν εἰς τὸν ποταμόν. Ἐν δὲ τῷ ποταμῷ κροκόδειλος αὐτὸν κατεθοινήσατο.

Ὁ μῦθος δηλοῖ, ὅτι τοὺς φονεῖς τῶν ἀνθρώπων, οὔτε γῆ, οὔτε ἀὴρ, οὔτε ὕδατος στοιχεῖον, οὔτε ἄλλος τόπος φυλάττει.

161. [ΦΛ. 17]. ΑΝΗΡ ΠΗΡΟΣ.

Ανὴρ πηρὸς εἰώθει, πᾶν τὸ ἐπιτιθέμενον εἰς τὰς αὐτοῦ χεῖρας ζῶον ἐφαπτόμενος, λέγειν ὁποῖόν τί ἐστι. Καὶ δή ποτε λυκιδίου αὐτῷ ἐπιδοθέντος, ψηλαφήσας, καὶ ἀμφαγνοῶν εἶπεν· Οὐκ οἶδα πότερον κυνὸς εἴη, ἢ ἀλώπεκος, ἢ τοιούτου ζώου γέννημα. Τοῦτο μέντοι σαφῶς ἐπίσταμαι, ὅτι οὐκ ἐπιτήδειον τοῦτο τὸ ζῶον προβάτων ποίμνῃ συνιέναι.

Οὕτω [τῶν] πονηρῶν ἡ διάθεσις πολλάκις ἀπὸ τοῦ σώματος φαίνεται.

162. [φλ. 199]. ΑΝΗΡ ΜΕΣΟΠΟΛΙΟΣ ΚΑΙ ΕΤΑΙΡΑΙ.

Ωρτις ὄνομα, ἐν ταῖς τρυφαῖς σχολάζων,
Οὐκ ἦν πρεσβύτης, ἀλλ' οὐδὲ νέος πάλιν.
Λευκὰς γὰρ εἶχε καὶ μελαίνας τὰς τρίχας.
Ὅμως μέλισσος (1) καὶ μεσῆλιξ τυγχάνων,
Δύο γυναῖκας ἔσχεν ἐν τῇ οἰκίᾳ·
Ἡ μὲν μία, γραῦς, ἡδὲ ἑτέρα, νέα (2).

ΑΛΛΩΣ (3).

Ἀνήρ τις μεσῆλιξ δύο ἔσχεν ἑταίρας. Ἡ μὲν οὖν αὐτῶν τῷ χρόνῳ προέκοπτεν, ἡ δὲ τῇ νέοτητι ἤκμαζεν. Ἔτιλλεν οὖν ἡ μὲν Γραῦς τὸ μελάγχρουν τῶν τριχῶν ἐκείνου τῆς κεφαλῆς, καὶ τοῦ πώγωνος· ἡ τρυφερὰ δὲ πάλιν ἐθέριζε τὰς λευκάς. Οὕτω τοίνυν ποιοῦσαι ἀμφότεραι φαλακρὸν τὸν τρισάθλιον καὶ βρεφύλλιον ἀπειργάσαντο, οἷος δὴ καὶ ἦν ταῖς φρεσίν.

Ὅτι ὀλέθριον τὸ γυναιξὶ δουλοῦν ἑαυτόν.

163. ΑΝΘΡΩΠΟΣ ΚΑΙ ΑΛΩΠΗΞ (4).

Ἀνήρ τις, ἐχθραίνων Ἀλώπεκι διά τινα ταύτης ῥᾳδιουργίαν,

(1) Ἴδε τὴν ἑπομένην σημείωσιν.—(2) Ὃν, πεζοῦ λόγου δίκην κατὰ συνέπειαν ὑπεσημειώσατο ὁ Φλωρεντινὸς ἐκδότης ἐξ ἀντιγράφου μῦθον τοῦτον ἀτελῆ, ἡμεῖς εἰς δωδεκασυλλάβους ςίχους κατεμερίσαμεν, οὐδὲν τῆς ἡμαρτημένης γραφῆς μετακινήσαντες. Οὔτε γὰρ τὸ κύριον ὄνομα, Ωρτις, ὑποψίας ἀπήλλακται, οὔτε τοῦ Μέλισσος τὴν σημασίαν συνιδεῖν εὐχερές ἐςι.

(3) Ἐκ τῶν Σημ. καὶ Παρεκβολ. τῆς ἐν Παρισ. Φιλολογ. Ἀκαδημ. Τόμ. Β, σελ. 711.

(4) Ἐκ τῶν αὐτῶν, σελ. 705.

ἐπὶ

ἐπὶ πολὺ ταύτην μετὰ τὸ κατασχεῖν τιμωρῆσαι ἐμηχανήσατο, καὶ ϛυπεῖον ἐλαίῳ βαπτίσας, τῇ κέρκῳ ταύτης προσδήσας, ὑφῆψε πυρί. Ταύτην δὲ ὁ δαίμων εἰς τὰς ἀρούρας τοῦ ποιντῆρος καὶ τοὺς ἀγροὺς καθωδήγησεν, ἃ δὴ καὶ κατέκαυσεν· ὥρα γὰρ ἦν θέρους ἀκμαιοτάτη. Ἠκολούθει τοίνυν αὐτῇ βοῶν ὁ ταλαίπωρος, ἑαυτόν τε ὀδυρόμενος, καὶ τῆς οἰκείας ἐπινοίας καταμεμφόμενος.

Ὅτι πρᾶον εἶναι χρὴ, καὶ μὴ ἀμέτρως θυμοῦσθαι· ἐξ ὀργῆς γὰρ πολλάκις μεγίϛη βλάβη τοῖς δυσοργίϛοις ἐγγίγνεται.

164. [ΦΛ. 172]. ΠΕΡΔΙΞ ΚΑΙ ΚΥΝΗΓΕΤΗΣ.

ΠΕΡΔΙΚΑ δέ τις κυνηγέτης ἀγρεύσας,
Ἔμελλεν αὐτὸς τοῦ καταθῦσαι ταύτην.
Ἡ δὲ ἐθρήνει, ταῦτα οὕτως βοῶσα·
Ἔασόν με ζῆν, κυνηγέτα περδίκων,
Ὅπως σοι κἀγὼ πέρδιξ (1) πολλὰς προσάξω.
Ὁ δὲ πρὸς αὐτὴν οὕτως ἀνταπεκρίθη·
Διὰ γὰρ τοῦτο μᾶλλον ἐγώ σε θύσω,
Ὅτι φίλους σοὺς προσενεδρεῦσαι θέλεις (2).

Ὁ μῦθος δηλοῖ, ὅτι ὁ κατὰ τῶν ἑαυτοῦ φίλων δολίας μηχανὰς συντιθεὶς, αὐτὸς ἐν ταῖς ἐνέδραις τῶν κινδύνων ἐμπεσεῖται.

---

(1) Οὕτω βαρβάρως ἴσως ἀντὶ τοῦ, Πέρδικας.

(2) Εὐχερὲς ἦν συνιδεῖν γραπτέον εἶναι, Θέλεις, ὡς καὶ ἀνωτέρω (σελ. 99), ἀντὶ τοῦ, Θέλων. Ἐμέρισα δὲ καὶ τοῦτον τὸν μῦθον εἰς δωδεκασυλλάβους ϛίχους, κατὰ συνέπειαν πρῶτον ὡς πεζὸν λόγον γεγραμμένους.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

165. [ΦΛ. 25]. ΑΡΚΤΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.

Αρκτος δή ποτε μεγάλως (1) ἐκαυχᾶτο,
Ὡς φιλάνθρωπός ἐςι πάντων τῶν ζώων·
Φασὶ δὲ τὴν ἄρκτον νεκρὸν μὴ θοινεῖσθαι.
Ἡ δὲ ἀλώπηξ, ἀκηκουῖα ταῦτα,
Ἐμειδίασε, καὶ πρὸς αὐτὴν ἐλάλει·
Εἴθε *τοὺς* νεκροὺς ἤσθιες, καὶ μὴ τοὺς ζῶντας.

Ὁ μῦθος οὗτος ἐλέγχει τοὺς πλεονέκτας, καὶ ἐν ὑποκρίσει βιοῦντας.

ΑΛΛΩΣ (2).

Ἄρκος μεγάλως ἐκαυχᾶτο, ὡς φιλάνθρωπος οὖσα, ἐπεὶ νεκρὸν σῶμα οὐκ ἐσθίει. Πρὸς ἣν Ἀλώπηξ εἶπε, Εἴθε νεκροὺς εἷλκες, καὶ μὴ τοὺς ζῶντας.

Κατὰ ὑποκριτῶν καὶ πλεονεκτῶν, ὑποκρίσει καὶ πλεονεξίᾳ ζώντων.

166. [ΦΛ. 19]. ΑΣΤΡΟΛΟΓΟΣ.

Αστρολόγος ἐξιέναι ἐν ἑκάςῃ ἑσπέρᾳ, καὶ τοὺς ἀςέρας ἐπισκοπεῖν, ἔθος εἶχε. Καὶ δή ποτε περιιὼν εἰς τὸ προάςειον, καὶ τὸν νοῦν ὅλον ἔχων εἰς τὸν οὐρανὸν, ἔλαθε καταπεσὼν εἰς τὸ φρέαρ. Ὀδυρομένου δὲ αὐτοῦ καὶ βοῶντος, παριών τις, ὡς ἤκουσε τῶν ςεναγμῶν, προσελθὼν, καὶ μαθὼν τὰ συμβεβηκότα,

(1) Διώρθωκα ἐκ τοῦ ἡμετέρου 165 μύθου, ἀντὶ τοῦ, Μεγάλη. Εἰς χωλιαμβεῖα δὲ ἦν καὶ οὗτος ὁ μῦθος ἐντεταμένος πάλαι, ὥσπερ καὶ ὁ ἀνωτέρω (σελ. 100)· πεζοῦ δὲ λόγου δίκην κατὰ συνέπειαν ἐγέγραπτο ἐν τῇ Φλωρεντινῇ ἐκδόσει.

(2) Ἐκ τῶν Σημ. καὶ Παρεκβολ. τῆς ἐν Παρισ. Φιλολογ. Ἀκαδημ. Τομ. Β, σελ. 709.

ἔφη πρὸς αὐτόν· Ὦ οὗτος, σὺ τὰ ἐν οὐρανῷ βλέπειν πειρώμενος, τὰ ἐπὶ τῆς γῆς οὐχ ὁρᾷς;

Τούτῳ τῷ λόγῳ χρήσαιτο ἄν τις ἐπ' ἐκείνους τοὺς ἀνθρώπους, οἳ παραδόξως τοῖς ἀνθρώποις ἀλαζονεύονται, οὐδὲ τὰ κοινὰ τοῖς ἀνθρώποις ἐπιτελεῖν δυνάμενοι.

167. [ΦΛ. 37]. ΒΑΤΡΑΧΟΙ ΑΙΤΟΥΝΤΕΣ ΒΑΣΙΛΕΑ.

Βάτραχοι, λυπούμενοι ἐπὶ τῇ αὐτῶν ἀναρχίᾳ, πρέσβεις ἔπεμψαν, ἱκετεύοντες τὸν Δία, ὅπως αὐτοῖς βασιλέα παράσχῃ. Ὁ δὲ, συνιδὼν αὐτῶν τὴν εὐήθειαν, ξύλον μέσον τῆς λίμνης ἔπηξε. Παραυτίκα δὲ οἱ βάτραχοι, τῷ φόβῳ συςελλόμενοι, εἰς τὰ βάθη ἑαυτοὺς κατέδυον. Χρόνου δὲ πολλοῦ παρῳχηκότος, ὡς ἀκίνητον ἑώρων τὸ ξύλον, ἀπεβάλοντο (1) τὸν φόβον, καὶ εἰς τοσοῦτον κατεφρόνησαν αὐτοῦ, ὥςε ἐπιβαίνειν καὶ ἐπικαθέζεσθαι τούτῳ. Μὴ ἀξιοῦντες δὲ τοῦτον ἔχειν βασιλέα, ἐκ δευτέρου ἦλθον πρὸς τὸν Δία, καὶ παρεκάλουν αὐτὸν ἀλλάξαι αὐτόν· Ὁ δὲ δέδωκεν αὐτοῖς ἔγχελυν. Ἰδόντες δὲ καὶ τούτου τὴν εὐήθειαν, οὐκ ἀπεδέξαντο αὐτόν. Ἦλθον οὖν ἐκ τρίτου πρὸς τὸν Δία, ὅπως καὶ τοῦτον ἀλλάξῃ. Καὶ ὁ Ζεὺς, ἀγανακτήσας κατ' αὐτῶν, ὕδραν ἔπεμψεν αὐτοῖς εὐθύς. Συλληφθέντες οὖν οἱ βάτραχοι, εἷς καὶ εἷς ἠσθίετο παρὰ ταύτης.

Ὁ μῦθος δηλοῖ, ὅτι ἄμεινόν ἐςι θεῷ πείθεσθαι, καὶ μὴ πονηροὺς ἔχειν ἄρχοντας καὶ ταραχοποιούς.

168. [ΦΛ. 39]. ΒΟΕΣ ΚΑΙ ΑΜΑΞΑ.

Βόες ἅμαξαν εἷλκον. Τοῦ δὲ ἄξονος τρύζοντος, ἐπιςραφέντες ἔφησαν πρὸς αὐτόν· Ὦ οὗτος, ἡμῶν τὸ ὅλον βάρος φερόντων, σὺ τί κράζεις;

Οὕτως καὶ ἔνιοι, ἑτέρων μοχθούντων, αὐτοὶ προσποιοῦνται κάμνειν.

(1) Ἐγράφετο, Ἀπεβάλλοντο.

169. [ΦΛ. 48]. ΓΑΛΗ ΚΑΙ ΑΦΡΟΔΙΤΗ.

Γαλῆ, ἐρασθεῖσα νεανίσκου τινὸς εὐπρεποῦς, ηὔξατο τῇ Ἀφροδίτῃ, ὅπως αὐτὴν μεταμορφώσῃ εἰς γυναῖκα. Καὶ δὴ ἐλεήσασα αὐτὴν ἡ Θεὸς, μετεποιήσατο αὐτὴν εἰς κόρην εὐειδῆ. Ἐρασθεὶς οὖν ὁ νεανίσκος τοῦ κάλλους αὐτῆς, ἀπήγαγεν αὐτὴν εἰς τὸν οἶκον αὐτοῦ. Καθεζομένων δὲ αὐτῶν ἐν τῷ θαλάμῳ, ἡ Ἀφροδίτη γνῶναι βουλομένη, εἰ μεταβαλοῦσα τὸ σῶμα, καὶ τὸν τρόπον ἤλλαξε, μῦν εἰς τὸ μέσον καθῆκεν. Ἡ δὲ, ἐπιλαθομένη τῶν παρόντων, ἀναστᾶσα ἀπὸ τῆς κοίτης, τὸν μῦν κατεδίωκε, καταφαγεῖν ἐθέλουσα. Ἀγανακτήσασα δὲ ἡ Θεὸς, πάλιν αὐτὴν εἰς τὴν ἰδίαν φύσιν ἀποκατέστησεν.

Ὁ μῦθος δηλοῖ, ὅτι οὕτω καὶ τῶν ἀνθρώπων οἱ φύσει πονηροὶ, κἂν τὴν φύσιν ἀλλάξωσι, τὸν γοῦν τρόπον οὐκ ἀλλάσσουσι.

ΑΛΛΩΣ (1).

ΓΑΛΗ ΚΑΙ ΑΘΗΝΑ.

Γαλῆ ἠράσθη ποτὲ ἀνδρὸς εὐπρεποῦς, καὶ τὴν Ἀθηνᾶν ἐδυσώπει ταύτην μεταμεῖψαι εἰς γυναῖκα, καὶ τὸν ἐρώμενον καὶ ἄκοντα ταύτης ἐπιθυμῆσαι. Καὶ ἐγένετο οὕτως, τῆς θεᾶς ἱλασθείσης, ὡς ὁ μῦθος ληρεῖ (2). Τοῦ δὲ γάμου ἔτι ἐμμένοντος, μῦν ἡ νύμφη ἐμβλέψασα, τῆς ὀπῆς διακύψαντα, τῶν

(1) Ἐκ τῶν Σημ. καὶ Παρεκβολ. τῆς ἐν Παρισ. Φιλολογ. Ἀκαδημ. Τομ. Β, σελ. 715.

(2) Σὺ μὲν οὖν, ὦ διασκευαστὰ τοῦ μύθου, ληρεῖς, ἐν οὐ πάνυ τι σπουδαίοις σπουδάζειν ἀκαίρως προαιρούμενος· τίς γὰρ οὐκ οἶδε ψευδῆ λόγον ὄντα τὸν μῦθον; Καὶ ἡ εἰς Ἀθηνᾶν δὲ μεταποιηθεῖσα Ἀφροδίτα τῆς ἀκαίρου σοῦ σπουδῆς ἔοικεν εἶναι παίγνιον.

νυμφικῶν ϛολῶν ἐπελάθετο, καὶ τῶν οἰκείων ἐθῶν ἐπεδράττετο· καὶ γαλῆ ἦν ἡ γαλῆ, τὸν μῦν μὲν κατατρέχουσα, τῶν δὲ ὑμεναίων ἐπιλελησμένη.

Ὅτι κἂν πρὸς βραχύ τις ἐν ὑποκρίσει μορφοῦται καὶ ἀμείβει (1) τὴν φύσιν, τοῦτον τὰ ἔργα ἐλέγχουσιν.

170. [ΦΛ. 130]. ΟΔΟΙΠΟΡΟΣ ΚΑΙ ΕΧΙΣ.

Οδοιπόρος, χειμῶνος ὁδεύων, ἐθεάσατο ἔχιν ὑπὸ κρύους διαφθειρόμενον· καὶ τοῦτον ἐλεήσας ἀνείλετο, καὶ βαλὼν εἰς τὸν ἑαυτοῦ κόλπον, θερμαίνειν ἐπειρᾶτο. Ὁ δὲ, μέχρι μὲν ὑπὸ τοῦ ψύχους συνείχετο, ἠρέμει· ἐπεὶ δὲ ἐθερμάνθη, ὀδὰξ εἰς τὴν γαϛέρα αὐτοῦ ἀνῆκε. Καὶ ὡς (2) ἀποθνήσκειν μέλλων, ἔφη· Ἀλλ' ἔγωγε δίκαια πέπονθα· τί γὰρ τοῦτον ἀπολλύμενον περιεποιούμην, ὃν ἔδει καὶ ἐῤῥωμένον ἀναιρεῖν;

Οὕτω καί τινες τῶν ἀνθρώπων τινὰς εὐεργετοῦντες, λανθάνουσιν ὡς ἀντ' εὐεργεσιῶν λύπας ἕξουσιν.

ΑΛΛΩΣ.

ΕΧΙΣ ΚΑΙ ΑΝΗΡ (3).

Ὥρᾳ χειμῶνος ἔχις τὶς πλησίον ὁδοῦ κατέκειτο, καὶ τῇ τοῦ ψύχους σφοδρότητι ἐκινδύνευε διαφθαρῆναι. Ἀνήρ δέ τις παρερχόμενος, καὶ ταύτην ἰδὼν, κατῴκτειρε, καὶ ἄρας τῆς γῆς, τῷ ἰδίῳ κόλπῳ ἐναπέθετο. Ἡ δὲ ἔχις, διαθερμανθεῖσα, εὐθὺς καιρίῳ δήγματι τὸν ἄνδρα ἀπέκτεινεν.

Ὁ μῦθος δηλοῖ, ὡς ὁ φύσει κακὸς, κἂν ἀγαθόν τι παρ' οὑτινοσοῦν ἐπισπάσαιτο, τῷ εὐεργέτῃ μᾶλλον κακὰ ἀποδίδωσιν.

---

(1) Γράφε, Μορφῶται καὶ ἀμείβῃ.

(2) Ἢ τὸ, Ὡς, τοῦτο τρεπτέον εἰς τὴν ἀντωνυμίαν Ὃς, ἢ τὸ ἐχόμενον, Μέλλων, εἰς τὸ, Ἔμελλεν.

(3) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. κέ.

171. [ΦΛ. 52]. ΓΕΩΡΓΟΥ ΠΑΙΔΕΣ.

Γεωργοῦ παῖδες ἐςασίαζον. Ὁ δὲ πατὴρ αὐτῶν, παραινῶν αὐτοὺς, οὐκ ἠδύνατο αὐτοὺς διαλλάττεσθαι ἐν λόγοις. Ἔγνω οὖν διὰ πραγμάτων αὐτοὺς πεῖσαι. Καὶ δὴ, καθημένων αὐτῶν, προσέταξε ῥάβδους αὐτῷ κομίσαι. Ἐνεχθεισῶν δὲ τῶν ῥάβδων, λαβὼν ταύτας, ἐποίησεν αὐτὰς δέσμην μίαν, καὶ ἐκέλευσε τοὺς παῖδας ἕνα ἕκαςον λαβεῖν τὴν δέσμην, καὶ συνθλάσαι. Οἱ δὲ, δοκιμάσαντες, οὐκ ἠδυνήθησαν. Ὕςερον δὲ λύσας αὐτὰς, ἔδωκεν ἀνὰ μίαν κλάσαι. Οἱ δὲ διὰ τάχους τοῦτο ἐποίησαν. Τότε λέγει αὐτοῖς ὁ πατὴρ αὐτῶν· Οὕτω καὶ ὑμεῖς, ὦ τεκνία μου, ἐάν μοι ἔσεσθε (1) ὁμοφρονοῦντες, ἀκαταγώνιςοι (2), καὶ ἀχείρωτοι ἔσεσθε τοῖς ἐχθροῖς. Ἐὰν δὲ μένητε (3) ςασιάζοντες, καὶ φιλονεικοῦντες, εὐχερῶς ἔσεσθε εὐάλωτοι.

172. [ΦΛ. 76]. ΓΕΩΡΓΟΣ ΚΑΙ ΠΕΛΑΡΓΟΣ.

Ἐν *τῇ* ἀρούρῃ γεωργός τις πάγας ἵςη,
Εἰς τὸ θηρεῦσαι γεράνους τε, καὶ χῆνας,
Τὰς ἐσθιούσας τὰ βλαςήματα τῆς ἀρούρης (4).
Ὡς δὲ σὺν αὐτοῖς καὶ πελαργὸς ἐλήφθη,
Ὅςις καὶ ἐθλάσθη τὸν ποῦν αὐτοῦ τὸν ἕνα,
Καθικέτευεν αὐτὸν ἀπολυθῆναι·

(1) Βαρβάρως, ἀντὶ τοῦ, Ἦτε.

(2) Ἐκ τούτου διορθωτέον καὶ τὸ ἀνωτέρω (σελ. 105) κακῶς παρ' ἅπασι γραφόμενον Ἀκατάγνωςοι.

(3) Ἐγράφετο, Μένετε.

(4) Ἴσ. γρ. Τὰς ἐσθιούσας τῆς ἀρούρης τὴν βλάςην.

Καὶ δὴ (1) πρὸς αὐτὸν τοιαῦτα ἀνεβόα·
Σῶσον, ἄνερ, ἀπόλυσον ἐνταῦθα — (2),
Ἐλέησόν [με] τὸν κατακεκλασμένον,
Νῦν οὖν κατῆλθον γενόμενος ἐνταῦθα.
Μὴ γὰρ γέρανός εἰμι (3); δεῦρο, καὶ ἴδε·
Πελαργός εἰμι, εὐσεβέστατον ζῶον,
Ὅστις μητέρι καὶ πατέρι δουλεύων (4),
Τηρῶ [δὲ] καὶ χρείαν οὐχὶ μίαν τούτων.
Ὁ δὲ γεωργὸς μεγάλα (5) γελάσας, ἔφη·
Οἶδά σε κἀγὼ, οὐδ' ὅλως ἀγνοῶ σε·
Ἐπιγινώσκω καὶ τίς ὑπάρχεις —.
Ἀλλὰ συνελήφθης μετ' αὐτῶν, καὶ τεθνήξῃ (6).

Ὁ μῦθος δηλοῖ, ὅτι καλόν ἐστι φεύγειν, καὶ μὴ συγκοινωνεῖν τοῖς κακοῖς ἀνδράσι, μήπως σὺν αὐτοῖς καὶ ἡμεῖς δεινοῖς περιπέσωμεν.

ΑΛΛΩΣ.

[ΦΛ. 147]. ΟΡΝΙΘΟΘΗΡΑΣ ΚΑΙ ΠΕΛΑΡΓΟΣ.

Ὀρνιθοθήρας, δίκτυα γεράνοις ἀναπετάσας, πόῤῥωθεν ἐθεώρει τὴν ἄγραν. Πελαργοῦ δὲ σὺν τοῖς γεράνοις ἐπικαθίσαντος, ἐπιδραμὼν, μετ' ἐκείνων καὶ αὐτὸν συνέλαβε. Τοῦ δὲ δεομένου μὴ θῦσαι αὐτὸν, καὶ λέγοντος, ὡς οὐ μόνον αὐτὸς ἀβλαβής ἐστι τοῖς ἀνθρώποις, ἀλλὰ καὶ ὠφελιμώτατος· τοὺς γὰρ ὄφεις, καὶ τὰ λοιπὰ ἑρπετὰ συλλαμβάνων ἀναιρεῖ, *καὶ* ὁ ὀρνιθο-

---

(1) Ἐγράφετο, Καὶ δέ.—(2) Γραπτέον ἴσως, Σῶσόν με ἄνερ, ἀπόλυσον ἐντεῦθεν.—(3) Γραπτέον, Οὐ γὰρ γέρανός εἰμι.—(4) Γραπτέον ἴσως, Δουλεύω.—(5) Γραπτέον, Μέγα.—(6) Στιχηρῶς συντεθεῖσθαι καὶ τοῦτον τὸν μῦθον δῆλον ἐξ οὗ πεποίηκα μερισμοῦ. Ἀλλ' οἱ στίχοι ἡμάρτηνται καὶ τῇ προσῳδίᾳ οἱ πλείους, εἰσὶ δ' οἳ καὶ τῷ ἀριθμῷ τῶν συλλαβῶν.

θήρας ἔφη· Ἀλλ' εἰ τὰ μάλιστα οὐ φαῦλος εἶ, διὰ τοῦτο κολάσεως ἄξιος, ὅτι μετὰ πονηρῶν κεκάθικας.

Ἀτὰρ οὖν καὶ ἡμᾶς δεῖ τὰς τῶν πονηρῶν συνουσίας φεύγειν, ἵνα μὴ καὶ αὐτοὶ ἐκείνων τῆς κακίας κοινωνεῖν δόξωμεν.

ΑΛΛΩΣ (1).

Ἀρούρῃ παγίδας γεωργὸς ἐστήσατο κατὰ τῶν τὸν σπόρον βιβρωσκομένων γεράνων. Σὺν αὐταῖς οὖν εἰλήφει καὶ πελαργόν. Ὁ δὲ θερμῶς ἠντιβόλει τοῦ ἀφεθῆναι· Οὐ γάρ εἰμὶ γέρανος, ἔλεγεν, ἀλλὰ πελαργὸς, τὸ εὐσεβέστατον ζώων (2), καὶ τοῖς πατράσιν εὐνοϊκώτατον. Ἴδε γάρ μου καὶ τὴν χροιὰν ὡς οὐχ ὁμοία ἐκείναις. Ὁ δὲ ἔφη· Οὐκ οἶδα τί λέγεις· ἔγωγε σὺν αὐταῖς σε κατέσχον, καὶ τὴν ὁμοίαν ψῆφον ἐπιτάξαι σοι μέλλω.

Ὅτι ἐπισφαλὲς τὸ συγκοινωνεῖν κακοῖς, καὶ ἐπικίνδυνον.

174. [ΦΛ. 61]. ΔΑΜΑΛΙΣ ΚΑΙ ΒΟΥΣ.

Δάμαλις, βοῦν ὁρῶσα ἐργαζόμενον, ἐταλάνιζεν αὐτὸν ἐπὶ τῷ κόπῳ. Ἐπειδὴ δὲ ἑορτὴ κατέλαβε, τὸν βοῦν ἀπολύσαντες, τὴν δάμαλιν ἐκράτησαν τοῦ σφάξαι. Ἰδὼν δὲ ὁ βοῦς ἐμειδίασε, καὶ πρὸς αὐτὴν εἶπεν· Ὦ δάμαλις, διὰ τοῦτο ἤργεις, διότι ἔμελλες ἀρτίως τυθῆναι.

Ὁ μῦθος δηλοῖ, ὅτι τῷ ἀργοῦντι (3) κίνδυνος μένει.

ΑΛΛΩΣ (4).

Δάμαλις, ἔτι ἀγύμναστος, βοῦν ἀροτριῶντα διὰ τὸν κόπον ὠνείδιζε, λέγουσα; Ὦ πόσα κάμνεις, καὶ ταλαιπωρεῖς. Ὁ δὲ,

(1) Ἐκ τῶν Σημ. καὶ Παρεκβολ. τῆς ἐν Παριστ. φιλολογικῆς Ἀκαδημ. Τομ. Β, σελ. 710.—(2) Γράφε, Ζῶον, ἢ, Τῶν ζώων.—(3) Γράφε ὡς ἀνωτέρω (σελ. 107), Τὸν ἀργοῦντα.—(4) Ἐκ τῶν αὐτῶν Σημ. καὶ Παρεκβολ. σελ. 719.

τοῦ οἰκείου ἔργου ἐχόμενος, ἐσιώπα. Ἑορτὴν δὲ τῶν γηπόνων τοῖς θεοῖς ἐκτελούντων, ὁ ἀρότης μὲν βοῦς, τοῦ καμάτου ἀπολυθεὶς, τοῖς χλοηφόροις ἐνετρύφα πεδίοις. Ὁ δὲ μόσχος φραγγελωθεὶς, τῷ βωμῷ τυθῆναι ἐσύρετο. Τότε οὖν ὁ βοῦς εἰρήκει αὐτῷ· Οἶμαι ὅτι εἰς τοῦτο διετηρήθης ἀεργὸς, ἵνα ἐς ὕστερον ἀντὶ δουλείας ζυγοῦ τὴν μάχαιραν (1) ὑπηρετήσεις, τῇ χρονίᾳ ἀνέσει καλῶς ἐκτραφείς.

Ὅτι τῷ ἐνεργοῦντι καὶ ἐργαζομένῳ, ἔπαινοι, τῷ ἀεργῷ δὲ κίνδυνοι καὶ μάστιγες.

176. [ΦΛ. 131]. ΔΕΛΦΑΞ ΚΑΙ ΑΛΩΠΗΞ.

ΟΝΩ τις ἐπιθεὶς αἶγα καὶ πρόβατον καὶ δέλφακα, ἤλαυνεν εἰς ἄστυ. Τοῦ δὲ δέλφακος παρ' ὅλην τὴν ὁδὸν κεκραγότος, ἀλώπηξ ἀκούσασα ἐπυνθάνετο τὴν αἰτίαν παρ' αὐτοῦ, δι' ἣν, τῶν λοιπῶν ἡσυχαζόντων, μόνος αὐτὸς βοᾷ. Ὁ δὲ ἔφη· Ἀλλ', ἔγωγε οὐ μάτην ὀδύρομαι· εὖ γὰρ οἶδα, ὅτι τοῦ μὲν προβάτου ἔριά τε καὶ γάλα τοῦ δεσπότου λαμβάνοντος ἀνθέξεται (2)· ὁμοίως δὲ καὶ τῆς αἰγὸς διὰ τοὺς τυροὺς καὶ τοὺς ἐρίφους· ἐμοῦ δὲ οὐκ ἔχοντος ἄλλό τι χρηστὸν, πάντως με θύσειν βούλεται (3).

Οὕτω καὶ τῶν ἀνθρώπων μεμπτέοι (4) εἰσὶν, ὅσοι τὰς μελλούσας προορώμενοι συμφορὰς ἀποκλαίονται.

---

(1) Βαρβάρως (ὡς καὶ ἄλλα πολλὰ τοῦ μύθου) ἀντὶ τοῦ, Τῇ μαχαίρᾳ. — (2) Ἄμεινον ἂν εἶπεν ὁ βάρβαρος διασκευαστὴς, Ὁ δεσπότης λαμβάνων ἀφέξεται. — (3) Σημειοῦ τοῦ παρακμάζοντος ἑλληνισμοῦ τὸν σύνθετον μέλλοντα, Θύσειν βούλεται· καὶ γὰρ ἡμεῖς νῦν οὐκ ἂν ἄλλως ἐκφράσαιμεν τὰ τελευταῖα τοῦ μύθου, ἢ διὰ τοῦ συνωνύμου ῥήματος, Ἐξάπαντος θέλει μὲ θυσιάσειν. — (4) Γραπτέον ἴσως μετὰ τῆς ἀρνήσεως, Οὐ μεμπτέοι, ὥσπερ καὶ

ΑΛΛΩΣ.

[ΦΛ. 72]. ΔΕΛΦΑΞ ΚΑΙ ΠΡΟΒΑΤΑ.

Ἔν τινι ποίμνῃ προβάτων δέλφαξ εἰσελθὼν ἐνέμετο. Καὶ δή ποτε τοῦ ποιμένος συλλαμβάνοντος αὐτὸν, ἐκεκράγει τε, καὶ ἀντέτεινε. Τῶν δὲ προβάτων αἰτιωμένων ἐπὶ τῷ βοᾷν, καὶ λεγόντων, Ἡμᾶς γὰρ συνεχῶς συλλαμβάνει, καὶ οὐ κράζομεν, ἔφη πρὸς ταῦτα· Ἀλλ' οὐχ ὁμοία γε τῇ ὑμετέρᾳ ἡ ἐμὴ σύλληψις· ὑμᾶς γὰρ ἢ διὰ τὰ ἔρια ἀγρεύει, ἢ διὰ τοὺς ἄρνας, ἐμὲ δὲ διὰ τὸ κρέας.

Ὁ λόγος (1) δηλοῖ, ὅτι εἰκότως ἐκεῖνοι ἀνοιμώζουσιν, οἷς κίνδυνος οὐ περὶ χρημάτων ἐστὶν, ἀλλὰ περὶ σωτηρίας.

177. [ΦΛ. 53]. ΔΕΛΦΙΝΕΣ ΚΑΙ ΚΩΒΙΟΣ.

ΔΕΛΦΙΝΕΣ, *καὶ φάλαιναι πρὸς ἀλλήλους ἐμάχοντο. Ἐπὶ πολὺ δὲ τῆς μάχης κορυφουμένης, κωβιὸς (2) ἀνέδυ (ἔστι δὲ οὗτος μικρὸς ἰχθὺς), καὶ ἐπειρᾶτο αὐτοὺς διαλλάττειν. Εἷς δέ*

ἀνωτέρω (σελ. 109). Τὸ δὲ Ἴσως λέγω, οὐ διὰ τὸ ἀδιάφορον τῆς καταφάσεως ἢ ἀποφάσεως, ἀλλὰ διὰ τὴν βαρβαρότητα τῶν διασκευαστῶν, ἄλλων ἄλλως νοησάντων καὶ ἐκφρασάντων τοὺς μύθους.

(1) Ἐγράφετο, Ὅλως.

(2) Τὸ ἐν τῇ συλλογῇ τοῦ Νευελέτου ἡμαρτημένον Καρὸς, ὑπ' ἐκείνου εἰς τὸ Σκάρος μεταποιηθὲν, ἡμεῖς (σελ. 110) εἰς τὸ Καρὶς δεῖν τρέπειν ᾠήθημεν. Ὅτι δὲ προέχει ἡ ἡμετέρα διόρθωσις, δῆλον καὶ ἐκ τῆς πρὸς τὰ ἑπόμενα θηλυκὰ, Ἀναδῦσα, καὶ, Αὐτὴν, συμφωνίας. Τὸ δὲ τῆς Φλωρεντινῆς ἐκδόσεως, Κωβιὸς, οὐ διόρθωσιν, ἢ γραφὴν διάφορον, τοῦ Καρὸς ὑποληπτέον εἶναι, ἀλλὰ διασκευὴν τοῦ μύθου διάφορον· ὃ γὰρ τῇ Καρίδι προσνεῖμαι θατέρῳ τῶν διασκευαστῶν ἤρεσε, τοῦθ' ἅτερος τῷ Κωβιῷ προσάψαι δεῖν ἔγνω.

τις τῶν δελφίνων ὑπολαβὼν ἔφη πρὸς αὐτόν· Ἀλλ' ἡμῖν ἀνεκτότερόν ἐςι μαχομένοις ὑπ' ἀλλήλων διαφθαρῆναι, ἢ σοῦ διαλλακτοῦ τυχεῖν.

Οὕτως ἔνιοι τῶν ἀνθρώπων, οὐδενὸς ἄξιοι ὄντες, ὅταν ταραχῆς λάβωνται, δοκοῦσί τινες εἶναι.

178. [ΦΛ. 54]. ΔΗΜΑΔΗΣ ΡΗΤΩΡ.

Δημάδης ὁ ῥήτωρ, δημηγορῶν ποτε ἐν Ἀθήναις, ἐκείνων δὲ αὐτὸν (1) μὴ προσεχόντων, μᾶλλον ἐπέκειντο (2) αἰσώπειον μῦθον εἰπεῖν, ἀρξάμενος ἔλεγε· «Δήμητρα, καὶ χελιδὼν, » καὶ ἔγχελυς ἐν ὁδῷ ἐβάδιζον. Γενομένων δὲ αὐτῶν κατά τινα » ποταμὸν, ἡ μὲν χελιδὼν ἔπτη (3), ἡ δὲ ἔγχελυς κατέδυ». Ἡ οὖν Δήμητρα τί ἔπαθεν; ἐρωτησάντων αὐτῶν, ἔφη· Κεχόλωται ὑμῖν, οἵτινες τὰ τῆς πόλεως πράγματα ἐάσαντες, αἰσώπειον μῦθον (4) ἀνέχεσθε.

Οὕτω καὶ τῶν ἀνθρώπων ἀλόγιςοί εἰσιν, ὅσοι τῶν μὲν ἄλλων ἀναγκαίων ὀλιγωροῦσι, τὰ δὲ πρὸς ἡδονὴν μᾶλλον αἱροῦνται.

179. [ΦΛ. 174]. ΠΕΥΚΗ.

Πρίσται δέ ποτε κατέσχιζον τὴν πεύκην,
Σφῆνας ἐξ αὐτῆς οἱ (5) τέκτονες ποιοῦντες,

---

(1) Ἴσ. γρ. Αὐτῷ· Ἴσως μέντοι καὶ ἐατέον ὡς βαρβαρισμὸν τοῦ διασκευαςοῦ.

(2) Γραπτέον ἴσως Ἐπέκειτο· ἀλλ' οὐδ' οὕτως εὐοδωθήσεται ὁ νοῦς τῆς γραφῆς. Ἴσως ἐγέγραπτο πληρεςέρως κατὰ τὴν ἐν τοῖς πρόσθεν (σελ. 110) διασκευὴν, Ἐπέκειτο ὅπως ἐπιτρέψωσιν αὐτῷ αἰσώπειον μῦθον εἰπεῖν· καὶ ἀρξάμενος ἔλεγε.

(3) Ὧδέ τε καὶ ἀνωτέρω (σελ. 110), γραπτέον, Ἀνέπτη.

(4) Γραπτέον, Αἰσωπείων μύθων, ἢ Αἰσωπείου μύθου.

(5) Ἴσ. γρ. Ἡ, ἢ Ὡς.

Οἳ (1) καὶ ῥᾳδίως κατέσχιζον σανίδας.
Ἡ δὲ ἐθρήνει ὀλολύζουσα οὕτως·
Οὐ τοσοῦτον νῦν μέμφομαι τὴν ἀξίνην,
Τὴν κόπτουσάν με ταῖς χερσὶν τῶν ἀνθρώπων,
Ὡς τοὺς ἐξ ἐμοῦ σφῆνας γεγενημένους.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ τῶν ἀνθρώπων ἐν συμφοραῖς περιπίπτουσι παρὰ τῶν ξένων· ἐκ δὲ τῶν ἰδίων ἐάν τι συμβῇ μικρὸν αὐτοῖς λυπηρὸν, χεῖρον καὶ βαρύτερον αὐτοῖς καταφαίνεται.

ΑΛΛΩΣ (2).

Δρῦς ὑπὸ δρυοτόμου ἐτέμνετο· μὴ εὐκόλως δὲ ταύτην ἰσχύοντος ἐκτεμεῖν, διὰ σφηνὸς αὐτὴν ἐκ τῶν ἑαυτῆς (3) σχιδάκων διαιρεῖν ἐμηχανᾶτο. Ἡ δὲ, Οὐ τόσον κατὰ τῆς κοπτούσης [ἀξίνης], ἔφη, βαρυθυμῶ, ὅσον δὴ καθ' ὑμῶν τῶν ἐξ ἐμοῦ γεννωμένων σφηνῶν.

Ὅτι ἀπαιώτερον (4) τὸ ὑπὸ τῶν οἰκείων πάσχειν τι δεινὸν, ἢ ὑπὸ τῶν ἀλλοτρίων.

181. [ΦΛ. 66]. ΕΛΑΦΟΣ ΚΑΙ ΛΕΩΝ.

Ἔλαφος, δίψει συσχεθεῖσα, παρεγένετο ἐπί τινα πηγὴν τοῦ πιεῖν. Ἐν ὅσῳ δὲ ἔπινεν, εἶδε τὴν ἑαυτῆς σκιὰν ἐπὶ τοῦ ὕδατος. Καὶ ἐπὶ μὲν τοῖς κέρασιν αὐτῆς εὐφραίνετο, ὁρῶσα τὸ μέγεθος, καὶ τὴν ποικιλίαν· ἐπὶ δὲ τοῖς ποσὶ σφόδρα ἤχθετο, καὶ ἐδυσφόρει, ὡς λεπτοῖς οὖσι καὶ ἀσθενέσιν. Ἔτι δὲ αὐτῆς διανοουμένης, λέων ἐπιφανεὶς, ἤρξατο διώκειν αὐτήν· κἀκείνη εἰς φυγὴν τραπεῖσα, καταπολὺ αὐτοῦ προεῖχεν (ἀλκὴ γὰρ ἐλάφων ἐν τοῖς ποσὶ, λέοντος δὲ ἐν καρδίᾳ). Καὶ μέχρις *ἂν* ἐν πεδίῳ ἐδιώ-

(1) Ἴσ. γρ. Οἷς, πρὸς τὸ Σφῆνας.—(2) Ἐκ τῶν Σημ. καὶ Παρεκβολ. τῆς ἐν Παρισ. Φιλολογ. Ἀκαδημ. Τομ. Β, σελ. 722.—(3) Γράφε, Αὐτῆς.—(4) Γράφε, Λυπηρότερον.

κετο, ἀκατάληπτος ἦν ἡ ἔλαφος, ἐπεὶ προέθεεν· ἐπεὶ δὲ κατά τινα δρυμὸν καὶ ὑλώδη τόπον παρεγένετο, συνέβη τοῖς κέρασιν αὐτῆς ἐμπλακῆναι τοῖς κλάδοις, καὶ μὴ δυναμένην τρέχειν, συλληφθῆναι ὑπὸ τοῦ λέοντος. Μέλλουσα δὲ ἀναιρεῖσθαι, ἔφη· Δειλαία ἔγωγε, ἥτις ὑφ' ὧν ᾠόμην προδοθήσεσθαι, ὑπὸ τούτων ἐσωζόμην καὶ ἔχαιρον (1), οἷς δὲ σφόδρα ἐπεποίθειν, ὑπὸ τούτων ἀπόλλυμαι.

Ὁ μῦθος δηλοῖ, ὅτι ὁμοίως πολλάκις τινὲς δοκοῦντες ἔχειν τι χρήσιμον, λανθάνουσιν ἑαυτοὺς βλαπτόμενοι δι' ἐκείνου. Ἢ οὕτως (2)· Πολλάκις ἐν κινδύνοις οἱ μὲν ὕποπτοι τῶν φίλων σωτῆρες γίνονται, οἱ δὲ σφόδρα ἐμπιστευθέντες προδόται.

ΑΛΛΩΣ (3).

Ἔλαφος, ἐπὶ ὕδατος τὴν σκιὰν αὐτῆς κατιδοῦσα, τῶν σκελῶν αὐτῆς ὡς ἀσθενῶν κατεμέμφετο, ἐπῄνει δὲ μᾶλλον τὰ ἐν τῷ μετώπῳ ταύτης (4) κέρατα διὰ τὴν στεῤῥότητα. Αἰφνίδιον δὲ κυνηγοῦ καταλαβόντος αὐτὴν, καὶ πρὸς φυγὴν ὁρμήσασα, τὰ μὲν σκέλη διέσωσαν αὐτὴν, ἐν κρησφυγέτῳ τινί· ἡ δὲ τῶν κεράτων ἰσχὺς μᾶλλον παρέδωκεν, εἰς τὴν πυκνότητα τοῦ ἄλσους περιπλακέντων.

ΑΛΛΩΣ.

ΕΛΑΦΟΣ ΚΑΙ ΘΗΡΕΥΤΑΙ (5).

Ἔλαφός τις διψῶσα κατῆλθεν ἐπί τινα πηγὴν, τοῦ ὕδωρ

(1) Οὐκ ἀπιθάνως ὁ Φλωρεντινὸς ἐκδότης τὰς δύο λέξεις, Καὶ ἔχαιρον, μετὰ τὸ προσεχὲς Ἐπεποίθειν, τακτέας εἶναι ὑπείληφε.

(2) Διπλοῦν δηλονότι ἐπιμύθιον.

(3) Ἐκ τῶν Σημ. καὶ Παρεκβολ. τῆς ἐν Παρισ. Φιλολογ. Ἀκαδημ. Τομ. Β, σελ. 728.

(4) Βαρβάρως ἀντὶ τοῦ, Αὐτῆς.

(5) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. ιέ.

πιεῖν. Ἰδοῦσα δὲ ἐν τῷ ὕδατι τὸ τοῦ ἰδίου σώματος ὁμοίωμα, τῇ μὲν τῶν ποδῶν λεπτότητι ἀπηρέσκετο, τῇ δὲ τῶν κεράτων μορφῇ ἐπετέρπετο. Ἄφνω δέ τινες ἐφίστανται θηρευταὶ, καὶ ταύτην ἐδίωκον. Ἡ δὲ, καθόσον μὲν ἐπὶ τῆς πεδιάδος ἔτρεχε, τῶν διωκόντων περιεγίνετο· φθάσασα δὲ εἰς ἕλος ἀπροσδοκήτως εἰσελθεῖν, τῶν αὐτῆς κεράτων τοῖς κλάδοις συμπλακέντων, ὑπὸ τῶν διωκόντων καταλαμβάνεται, καὶ στενάξασα (1), ἔφη· Οἴμοι τῇ ταλαιπώρῳ, ὅτι ἐφ' οἷς ἀπηρεσκόμην, ὑπ' αὐτῶν μᾶλλον διεσωζόμην, οἷς δὲ ἐνεκαυχώμην, ὑπ' αὐτῶν δὴ καὶ ἀπόλλυμαι.

Ὁ μῦθος οὗτος δηλοῖ, ὡς οὐ χρή τινα τῶν ἐν ἑαυτῷ τι ἐπαινεῖν, εἰ μὴ τὰ εὔχρηστα καὶ ἐπωφελῆ.

187. [ΦΛ. 351]. ΦΟΙΒΟΣ ΚΑΙ ΖΕΥΣ.

ΘΕΟΙΣ Ἀπόλλων ἔλεγε, μακρὰ τοξεύων,
Οὐκ ἂν βάλοι τις πλεῖον, οὐδὲ τοξεύσοι (2).
Ὁ Ζεὺς δὲ παίζων ἠρίδαινε τῷ Φοίβῳ.
Ἑρμῆς δ' ἔσειεν Ἄρεος ἐν κυνῇ κλήρους·
Λαχὼν δὲ Φοῖβος, τὸ τόξον τ' ἐγκυκλώσας (3),
Τὸ βέλος ἔπηξεν ἐντὸς ἑσπέρου κήπου.
Ὁ Ζεὺς δὲ, διαβὰς ταὐτὸ μέτρον, ἔστη.
Καὶ ποῦ βάλω, ναί, φησιν, οὐκ ἔχω χώραν.
Τόξου δὲ νίκην ἔλαβεν μὴ τοξεύσας.

Ὅτι ἐστί τινα, καὶ κόπου χωρὶς, νίκην ἄρασθαι, σοφῶς τοῖς πράγμασι κεχρημένον.

---

(1) Ἐγράφετο, Στενάξας.
(2) Ἐγράφετο, Βάλλῃ τις πλεῖον, οὐδὲ τοξεύσει.
(3) Ἐγράφετο, Τὸ τόξον ἐκκυκλώσας.

188. [φλ. 78]. ΚΟΛΟΙΟΣ ΚΑΙ ΟΡΝΕΙΣ.

Ζεὺς, βουλόμενος βασιλέα ὀρνέων καταςῆσαι, προθεσμίαν αὐτοῖς ἔδωκεν, ἐν ᾗ παραγενήσονται πάντα, ὅπως τὸν ὡραιότατον πάντων καταςήσῃ ἐπ' αὐτοῖς βασιλέα. Κολοιὸς δὲ συνιδὼν ἑαυτὸν δυσμορφίαν (1) περικείμενον, ἀπελθὼν, καὶ τὰ ἀποπίπτοντα τῶν ὀρνέων πτερὰ συλλεξάμενος, ἑαυτῷ περιέθηκε, καὶ προσεκόλλησε. Συνέβη οὖν ἐκ τούτου, εὐειδέςερον πάντων γεγονέναι. Ἐπέςη οὖν ἡ ἡμέρα τῆς προθεσμίας, καὶ ἦλθον πάντα τὰ ὄρνεα πρὸς τὸν Δία. Ὁ δὲ κολοιὸς, ποικίλος γενόμενος, ἧκε καὶ οὗτος. Τοῦ δὲ Διὸς μέλλοντος χειροτονῆσαι αὐτοῖς τὸν κολοιὸν βασιλέα διὰ τὴν εὐπρέπειαν, ἀγανακτήσαντα τὰ ὄρνεα, ἕκαςον τὸ ἴδιον αὐτοῦ πτερὸν ἀφείλετο· οὕτω τε συνέβη αὐτῷ ἀπογυμνωθέντι, κολοιὸν πάλιν γενέσθαι.

Οὕτω καὶ τῶν ἀνθρώπων οἱ χρεωφειλέται, μέχρι μὲν τὰ ἀλλότρια ἔχουσι χρήματα, δοκοῦσί τινες εἶναι, ἐπειδὰν δὲ αὐτὰ ἀποδώκωσιν (2), ὁποῖοι ἐξ ἀρχῆς ἦσαν εὑρίσκονται.

ΑΛΛΩΣ (3).

Ἔδοξέ ποτε τοῖς ὄρνισιν ἄρχεσθαι, ἵν' οὕτως ἀσφαλεςέραν ἕξωσι τὴν ζωὴν, καὶ ἀνεπιβούλευτον, καὶ βασιλέα ἑλέσθαι [τὸν] τῶν ἄλλων ὀρνίθων τῷ κάλλει προέχοντα. Ὡς δὲ καὶ ἡ ψῆφος ἐπεκυρώθη, καὶ ἀνεζητεῖτο, τίς ἄρα καὶ εἴη ὁ τὸ κράτος τῆς βασιλείας

(1) Ἐγράφετο κακῶς, Δυσμορφία. Ἄμεινον δ' ἂν οὕτως ἐφράζετο, Συνειδὼς ἑαυτῷ δυσμορφίαν περικειμένῳ.

(2) Οὐ γραφικὸν ἔοικεν ἁμάρτημα τὸ Ἀποδώκωσιν, ἀντὶ τοῦ, Ἀποδῶσι, ἀλλὰ τοῦ παρηκμακότος ἑλληνισμοῦ βαρβαρισμὸς, οἷον καὶ τὸ ἐν τοῖς πρόσθεν (σελ. 117) Ἀποδώσωσιν.

(3) Ἐκ τῶν Νικηφόρου τοῦ Βασιλακίου Μύθων, μύθ. ε.

ἀναδησόμενος, ὑποκριθῆναι κάλλος ἀλλότριον, τὸ ειδεχθέςατον ζῶον, καὶ ἀκαλλὲς, καὶ φαυλότατον, ὁ κολοιὸς ἐτεχνάσατο. Καὶ συναγαγὼν ὀρνίθων πτερὰ, οἷς τὸ φαιδρὸν ἐπήνθει, καὶ τὸ διαυγὲς ἐναπέστιλβε, περιεβάλετο ταῦτα, καὶ περικαλλὴς ἐντεῦθεν ἐδόκει, καὶ καταστράπτων τῇ ὡραιότητι. Μέσον δὲ τῶν ὀρνίθων περιιπτάμενος, καὶ ταῖς ποικίλαις χροιαῖς καὶ λαμπραῖς κάλλος ἔχων ἀμήχανον, εἰς θάμβος τοὺς θεωμένους ὄρνιθας παρεκίνησεν. Ὅθεν βασιλεὺς ἀνηγόρευτο· καὶ πάντες τούτῳ κατεδουλώθησαν. Ὡς δὲ περιεργότερον τὰς ὄψεις τούτῳ προσέβαλον, καὶ τὸ οἰκεῖον ἕκαςος ἀνεγνώρισε, τὸν κολοιὸν ἀπεγύμνωσαν. Καὶ καταδρύψαντες τοῦτον τοῖς ὄνυξι διεσπάραξαν, καὶ ἐλεεινὸν πτῶμα κεῖσθαι τὸν πρὶν μακάριον παρεσκεύασαν.

Τὸν αὐτὸν ἄρα τρόπον καὶ ὅσοι περιάπτοις κόσμοις ὑπεκρίθησαν τὸ ἐξαίρετον ἔχειν, καὶ τὸ μακάριον, τῆς σκηνῆς φωραθείσης, μετὰ γέλωτος καὶ τὴν ψυχὴν αὐτὴν προσαπώλεσαν.

189. [ΦΛ. 184]. ΖΕΥΣ ΚΑΙ ΟΦΙΣ.

Τοῦ Διὸς γάμους ποιοῦντος, πάντα τὰ ζῶα ἤνεγκαν δῶρα, ἕκαςον κατὰ τὴν οἰκείαν δύναμιν. Ὄφις δὲ ἕρπων, ῥόδον λαβὼν ἐν τῷ ςόματι, ἀνέβη. Ἰδὼν δὲ αὐτὸν ὁ Ζεὺς ἔφη· Τῶν ἄλλων πάντων τὰ δῶρα λαμβάνω, ἀπὸ δὲ τοῦ σοῦ ςόματος λαμβάνω οὐδόλως.

Ὁ μῦθος δηλοῖ, ὅτι τῶν πονηρῶν αἱ χάριτες φοβεραί εἰσιν.

193. ΙΠΠΟΣ (1).

Γέροντι ἵππῳ, πολλὰ κεκμηκότι τῆς ςρατηγίας τε (2) καὶ ἱπ-

(1) Ἐκ τῶν τῆς ἐν Παρισίοις Φιλολογικῆς Ἀκαδημίας σημ. καὶ παρεκβολ. (Τομ. Β, σελ. 717).—(2) Γραπτέον, Γέροντα ἵππον, πολλὰ κεκμηκότα ὑπὸ ςρατείας τε.

πηλασίας

πηλασίας ἡ τοῦ μύλωνος ἀτέλεςος καὶ σφαιρειδὴς διεδέξατο χώρα, πολλὴν ἔχουσα τὴν δυσπάθειαν. Ὁ δὲ ςενάζων εἶπεν, Οἴμοι ἐγὼ, ἐκ ποίας ταχυδρόμου ὁρμῆς, ἐν ποίῳ μεθηρμόσθην καμπτῆρι πολυμόχθῳ.

Ὅτι οὐ δίκαιον τὸ ἐπαίρεσθαι ἐπί τινι εὐημερίᾳ, ἢ γενναιότητι.

197. [ΦΛ. 152]. ΖΕΥΣ ΚΑΙ ΚΑΜΗΛΟΣ.

Ὁ Ζεὺς δή ποτε αἰτούσῃ τῇ καμήλῳ,
Κέρατα λαβεῖν (1), καὶ τοιαῦτα λεγούσῃ,
Λύπη μοι πολὺ ὑπάρχει διὰ τοῦτο,
Οὐκ ἐπέδωκεν, ἀλλά γε καὶ τῶν ὤτων
Ἀπεςέρησε, πολλὰ αὐτῇ (2) χολάνας (3).

Ὁ μῦθος δηλοῖ, ὅτι ὁ ἔχων τι, ἀρκείσθω ἐπ' ἐκείνῳ, καὶ πλείω μὴ ζητείτω, ἵνα μὴ καὶ ὃ ἔχει, ἀπολέσῃ.

200. [ΦΛ. 73]. ΚΙΧΛΑ.

Ἐν τινι μυῤῥίνῃ κίχλα ἐνέμετο· διὰ δὲ τὴν γλυκύτητα τοῦ καρποῦ οὐκ ἀφίςατο. Ἰξευτὴς δὲ, παρατηρησάμενος ἐμφιλοχωροῦσαν, ἰξεύσας συνέλαβε. Καὶ δὴ μέλλουσα ἀναιρεῖσθαι, ἔφη· Δειλαία ἐγὼ, ἥτις διὰ τροφῆς γλυκύτητα σωτηρίας ςερίσκομαι.

Ὁ λόγος πρὸς ἄσωτον ἄνδρα, καὶ ἡδυπαθῆ.

---

(1) Κέρατα λαβεῖν, ἔγραψα, ἀντὶ τῆς ἡμαρτημένης γραφῆς τοῦ φλωρεντινοῦ ἀντιγράφου, Κέρατας ἡμῖν.

(2) Αὐτῇ ἔγραψα ἀντὶ τοῦ, Αὐτός.

(3) Τουτέςι θυμωθεὶς, παρὰ τὸ, Χολαίνω, τοῦ παρηκμακότος ἑλληνισμοῦ, οὗ προηγήσατο τὸ Χολάω, παρὰ μὲν τοῖς ἀρχαίοις ταυτὸ σημαῖνον τῷ Μαίνομαι, παρὰ δὲ τοῖς ὕςερον, τῷ Θυμοῦμαι (Εὐαγγελις. Ἰωάν. Ζ, 23), ἢ τῷ παρ' ἡμῖν νῦν Χολειάζω.

Ω

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΑΛΛΩΣ.

ΣΤΡΟΥΘΟΣ ΚΑΙ ΙΞΕΥΤΗΣ (1).

Στρουθός τις ἐπὶ μυρσίνης διέτριβε, καὶ διὰ τὸ ἡδὺ τῆς τοῦ δένδρου διαίτης οὐδ' ὅλως αὐτοῦ ἀφίςατο. Ἰξευτὴς δέ τις, τοῦτον παρατηρησάμενος, κατέσχε τε καὶ κατέθυσεν. Ὁ δὲ ςρουθὸς, μέλλων ἀποσφαγῆναι, πρὸς ἑαυτὸν ἔλεγεν, Οἴμοι τῷ ταλαιπώρῳ, ὅτι διὰ τροφῆς ἡδονὴν τὸ ζῆν ἀποῤῥήγνυμι.

Ὁ μῦθος δηλοῖ, ὡς καὶ ἄνθρωποί τινες, δι' ἔφεσιν τρυφῆς καὶ ἀβρότητος περὶ τὸ ζῆν, πολλάκις ὡς μοχθηροὶ κινδυνεύουσιν.

203. [ΦΛ. 3]. ΑΕΤΟΣ ΚΑΙ ΚΟΛΟΙΟΣ.

Ἀετὸς, καταπτὰς ἀπό τινος ὑψηλῆς πέτρας, ἥρπασεν ἄρνα. Κολοιὸς δὲ τοῦτον θεασάμενος, διὰ ζῆλον μιμησάμενος, καθεὶς ἑαυτὸν μετὰ πολλοῦ τοῦ ῥοίζου, ἐπὶ κριὸν ἠνέχθη. Ἐμπαρέντων δὲ αὐτοῦ τῶν ὀνύχων ἐν τοῖς ἐκείνου μαλλοῖς, ἐξαρθῆναι μὴ δυνάμενος ἐπτερύσσετο, ἕως οὗ ὁ ποιμὴν, τὸ γεγονὸς αἰσθόμενος, προσδραμὼν ἀνελάβετο αὐτὸν, καὶ περικόψας αὐτοῦ τὰ ὀξύπτερα, ὡς ἑσπέρα κατέλαβε, τοῖς ἑαυτοῦ παισὶν ἐκόμισε. Τῶν δὲ, πυνθανομένων, τί εἴη τὸ ὄρνεον, ἔφη· Ὡς μὲν ἐγὼ σαφῶς οἶδα, κολοιὸς, ὡς δὲ αὐτὸς βούλεται, ἀετός.

Ὁ μῦθος δηλοῖ, πρὸς τοὺς ὑπερέχοντας ἅμιλλαν μηδὲν ἀνύειν, καὶ ἐπὶ συμφοραῖς προσκτῶνται γέλωτα (2).

---

(1) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. νή.

(2) Ἡμάρτηται καὶ τούτου, ὥσπερ καὶ τοῦ ἐν τοῖς πρόσθεν (σελ. 129) ἐπιμυθίου ἡ γραφή. Ἴσ. γρ. ὧδέ τε κἀκεῖ, Ὁ μῦθος δηλοῖ, ὅτι ἡ πρὸς τοὺς ὑπερέχοντας ἅμιλλα, πρὸς τῷ μηδὲν ἀνύειν, καὶ ἐν ταῖς (ἢ Ἐπὶ ταῖς) συμφοραῖς προσκτᾶται γέλωτα.

212. [ΦΛ. 367]. ΟΝΟΣ ΚΑΙ ΚΥΝΙΔΙΟΝ.

Ὄνον τις ἔτρεφε, καὶ κυνίδιον πάνυ ὡραῖον. Καὶ ἦν ἐν αὐλῇ παρὰ φάτναις δεσμώτης· ἔτρωγε κριθὰς, χόρτον, ὥσπερ εἰώθει. Κυνίδιον δὲ, χαρίεν ὂν, εὐρύθμως παῖζον, τὸν δεσπότην τε ποικίλως περισκαῖρον· ἐκεῖνος δ' αὐτὸ κατέχων ἐν τοῖς κόλποις. Ὁ δέ γε ὄνος, τὴν μὲν νύκτα ἀλήθων πυρὸν φίλης Δήμητρος, ἡμέρας δ' ὕλην ἦγεν ἀφ' ὕψους, ἐξ ἀγροῦ δ' ὅσον χρεία. Δαχθεὶς (1) δὲ θυμῷ καὶ περισσὸν οἰμώξας, σκύμνον θεωρῶν ἐν ἁβρότητι πάσῃ, φάτνης ὀνείης δεσμοὺς καὶ κάλους ῥήξας, ἐς μέσον αὐλῆς ἦλθεν, ἄμετρα λακτίζων. Σαίνων δ' ὁποῖα (2), καὶ θέλων περισκαίρειν, τὴν μὲν τράπεζαν ἐς μέσον βαλὼν θλάσεν, ἅπαντα δ' εὐθὺς ἠλοίησε τὰ σκεύη· δειπνοῦντα δ' εὐθὺς ἦλθε δεσπότην κρούσων, νώτοις ἐπεμβάς. Ἐσχάτου δὲ κινδύνου θεράποντες ἐν μέσοισιν ὡς εἶδον ἐσάωσαν. Κρανείας δὲ κορύναις ἄλλος ἄλλοθεν κρούων ἔκτεινον. Ὡς δὲ καὶ αὐτὸς ὕστατ' ἔκπνεεν· Ἔτλην, ἔλεξεν, οἷα χρή με δυσδαίμων. Τί γὰρ παρ' οὔρεσιν οὐκ ἐπολευόμην, βαιῷ δ' ὁ μέλεος κυνιδίῳ παρισούμην (3);

Ὅτι οὐ πάντες πρὸς πάντα ἴσοι πεφύκασι, κἂν φθόνῳ ἀλαζονεύωνται.

214. [ΦΛ. 112]. ΛΑΡΟΣ ΚΑΙ ΙΚΤΙΝΟΣ.

Λάρος, ἰχθὺν καταπιὼν, διεῤῥάγη αὐτοῦ τὸν φάρυγγα, καὶ

(1) Ἢ γραπτέον Δηχθεὶς, ἢ Ἀττικοῖς Δωρικὰ συγκλῶσαι τὸν διασκευαστὴν ὑποληπτέον.

(2) Ἴσως γράφειν ἠβούλετο, Ὁποῖα κύων.

(3) Δῆλον ὅτι ὁ μῦθος συνέστηκεν ἐκ χωλιάμβων, οὐδέν τι σχεδὸν τῆς Βαβριανῆς κομψείας ἀποδεόντων, οὓς ἄκομψος διασκευαστὴς, ἢ ἀντιγραφεὺς, εἰς πεζοῦ λόγου σχῆμα συνέχεε, καὶ συνέθλασεν, ὥσπερ ὁ μυθευόμενος ὄνος τὰ σκεύη.

ἐπὶ τῆς ἠϊόνος (1) ὡς νεκρὸς ἔκειτο. Ἰκτῖνος δὲ, αὐτὸν θεασάμενος, ἔφη· Ἄξιά γε σὺ πέπονθας, ὅτι, πτηνὸς γενηθεὶς, ἐπὶ θαλάσσης τὴν δίαιταν ἐποιοῦ.

Οὕτως οἱ τὰ οἰκεῖα ἐπιτηδεύματα λείποντες (2), καὶ τοῖς μὴ προσήκουσιν ἐπιβάλλοντες, εἰκότως δυστυχοῦσι.

215. [ΦΛ. 106]. ΛΕΑΙΝΑ ΚΑΙ ΑΛΩΠΗΞ.

Λέαινα, ὀνειδιζομένη ὑπὸ ἀλώπεκος ἐπὶ τῷ διὰ παντὸς τοῦ χρόνου ἕνα τίκτειν, ἔφη, Ἀλλὰ λέοντα.

Ὁ μῦθος δηλοῖ, ὅτι τὸ καλὸν οὐκ ἐν πλήθει, ἀλλ' ἐν ἀρετῇ.

ΑΛΛΩΣ.

[ΦΛ. 189]. ΛΕΑΙΝΑ.

Φάσις ἦλθε πᾶσι (3) τοῖς τετραπόδοις,
Καύχημα κατέχουσα εἰς παίδων πλήθη (4).
Καὶ δὴ ἔφασκον τῇ λεαίνῃ βοῶντες·
Εἰπὲ (5) καὶ σὺ τὸ, πόσους παῖδας τίκτεις;
Ἡ δὲ, γελῶσα, πρὸς αὐτοὺς ταῦτα λέγει·
Σκύμνον μὲν ἕνα, ἀλλὰ γενναῖον πάνυ (6).

Ὁ μῦθος δηλοῖ, ὅτι κρείσσων εἷς ῥώμῃ σώματος, καὶ ἀνδρείᾳ, καὶ φρονήσει, ἢ πολλοὶ δειλοὶ καὶ ἄφρονες.

---

(1) Διώρθωκα ἐκ τῶν πρόσθεν (σελ. 139), ἀντὶ τῆς κακῆς γραφῆς, Νηός. Διαγραπτέον δ' ἴσως καὶ τὸ ἐχόμενον, Ὡς.

(2) Ἐγράφετο κακῶς, Λιπόντες.

(3) Γράφε, Ἦλθεν ἅπασι, ἵνα πληρωθῇ τῶν συλλαβῶν ὁ ἀριθμός.

(4) Γραπτέον, Πλῆθος.

(5) Γραπτέον, Εἰπὲ δὴ, ἢ, Εἰπὲ νῦν, διὰ τὸν ἀριθμὸν τῶν συλλαβῶν.

(6) Ἐν πεζοῦ λόγου σχήματι κατὰ συνέπειαν γεγραμμένον τὸ πρότερον, εἰς οὓς τὸ πάλαι κατακεχώριστο ἀμούσους καὶ ἀμέτρους στίχους κατεμελίσαμεν.

217. [ΦΛ. 98]. ΛΕΩΝ ΚΑΙ ΜΥΣ.

Λέοντος κοιμωμένου, μῦς τῷ ςόματι αὐτοῦ περιέδραμεν. Ὁ δ', ἐξαναςὰς, καὶ συλλαβὼν αὐτὸν, ἔμελλε καταθοινήσασθαι. Τοῦ δὲ, δεηθέντος μεθεῖναι αὐτὸν, καὶ λέγοντος, ὅτι Σωθεὶς χάριτάς σοι ἀποδώσω, μειδιάσας ἀπέλυσεν αὐτόν. Συνέβη οὖν αὐτὸν μετ' οὐ πολὺ τῇ τοῦ μυὸς χάριτι περισωθῆναι· ἐπειδὴ γὰρ συλληφθεὶς ὑπό τινων κυνηγῶν, κάλῳ (1) ἐπεδέθη ἔν τινι δένδρῳ, τὸ τηνικαῦτα ἀκούσας ὁ μῦς αὐτοῦ ςένοντος, ἐλθὼν τὸν κάλον περιέτραγε (2), καὶ λύσας αὐτὸν ἔφη· Σὺ μὲν οὖν τότε μου κατεγέλας, ὡς μὴ προσδεχόμενος (3) ἀπ' ἐμοῦ ἀμοιβήν· νῦν δὲ εὖ ἴσθι, ὅτι ἐςὶ καὶ παρ' ἡμῖν ἡ χάρις (4).

Ὁ μῦθος δηλοῖ, ὅτι ἐν καιρῷ μεταβολῆς, καὶ οἱ σφόδρα δυνατοὶ τῶν ἀσθενεςέρων ἐνδεεῖς γίνονται.

---

(1) Ἄμεινον καὶ πολλῷ συνετώτερον, τὸ Κάλῳ, καὶ τὸ ἐχόμενον Κάλον (ἢ Κάλων) τῶν ἐν τοῖς πρόσθεν (σελ. 140) Καμήλῳ, καὶ Κάμηλον. Ἐπεὶ γε μὴν πολλοὶ τῶν βαρβάρως συντεθειμένων τούτων μύθων ὑπὸ Μοναχῶν δῆλοί εἰσι διασκευασθέντες, χαλεπόν ἐςι διαγνῶναι, πότερον ὁ διασκευάσας τῇ σαφεῖ καὶ τετριμμένῃ λέξει ἠγάπησεν, ἢ κακοζήλως τὸν παρὰ τοῖς Εὐαγγελιςαῖς (Λουκ. ιή, 25) Κάμηλον, οὐδὲ παρ' ἐκείνοις ἀναμφηρίςως τὸν Κάλων σημαίνοντα, προείλετο.

(2) Καὶ ὧδε, ὥσπερ ἀνωτέρω, Περιέτραγε, γέγραφα, ἀντὶ τοῦ, Περιέτρωγε.

(3) Προσδεχόμενος (τουτέςι, Προσδοκῶν) ἔγραψα ἀντὶ τοῦ, Προσδεξόμενος.

(4) Γράφε ἀνάρθρως, Παρ' ἡμῖν χάρις, ἢ, ὡς ἐν τοῖς πρόσθεν (σελ. 140), Παρὰ μυσὶ χάρις.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

218. [ΦΛ. 95]. ΛΕΩΝ ΜΥΣ ΚΑΙ ΑΛΩΠΗΞ.

Λέοντος κοιμωμένου, μῦς τῷ ςόματι (1) διέδραμεν. Ὁ δὲ ἐξαναςὰς, πανταχοῦ περιειλίττετο, ζητῶν τὸν προεληλυθότα. Ἀλώπηξ δὲ αὐτὸν θεασαμένη ὠνείδιζεν, εἰ λέων ὢν, ἐφοβήθη μῦν. Ὁ δέ φησιν· Ἀλλὰ κατὰ τῆς γνώμης αὐτοῦ τὴν ὀργὴν ἔχω.

Ὁ λόγος (2) διδάσκει, τοὺς φρονίμους τῶν ἀνθρώπων μηδὲ τῶν μετρίων πραγμάτων καταφρονεῖν.

219 [ΦΛ. 169]. ΑΝΘΡΩΠΟΣ ΚΑΙ ΛΕΩΝ ΣΥΝΟΔΕΥΟΝΤΕΣ.

Ποτὲ συνώδευσε λέων ἀνθρώπῳ. Ἐκαυχῶντο οὖν πρὸς ἀλλήλους τοῖς λόγοις. Εὗρον δὲ ἐν τῇ ὁδῷ πετρίνην ςήλην, ὁμοίαν ἀνδρὶ, ἑτέραν ςήλην λέοντος συμπνίγουσαν. Καὶ ὁ ἄνθρωπος ὑποδείξας πρὸς αὐτὸν, ταῦτα ἔφη· Ἴδε πῶς ἐσμεν κρείττονες ὑμῶν πάντων, καὶ ῥωμαλέοι ὑπὲρ ἅπαν θηρίον. Ὑπολαβὼν δὲ ὁ λέων ἔφη· Ὑφ' ὑμῶν εἰσιν οὕτω ταῦτα γινόμενα καὶ πραττόμενα· εἰ γὰρ ᾔδεσαν (3) λέοντες γλύφειν λίθους, πολλοὺς ἂν εἶδες ὑποκάτω λεόντων (4).

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ καυχώμενοι πειρῶνται ἐν λόγοις ἑαυτοὺς ἐπιφημίζειν, καίπερ μὴ ὄντες τοιοῦτοι.

---

(1) Ἴσ. γρ. Τοῦ (ἢ Διὰ τοῦ) ςόματος.

(2) Καὶ ὧδε, Ὁ λόγος, ἀντὶ τοῦ, Ὅλως, γέγραπται.

(3) Ἐγράφετο, Εἴδησαν.

(4) Ἐκ κακῶν ςίχων εἰς οὐκ ἀμείνονα πεζὸν λόγον διεσκεύασται καὶ οὗτος ὁ μῦθος, ὡς δῆλον ἐκ τῶν ἔτι περιλελειμμένων τούτων·

Ἐκαυχῶντο οὖν πρὸς ἀλλήλους τοῖς λόγοις.
Ἴδε πῶς ἐσμὲν κρείττονες ὑμῶν πάντων,
Καὶ ῥωμαλέοι ὑπὲρ ἅπαν θηρίον.

220. [ΦΛ. 93]. ΛΕΩΝ ΚΑΙ ΓΕΩΡΓΟΣ.

Λέων εἰς ἔπαυλιν γεωργοῦ εἰσῆλθεν. Ὁ δὲ, συλλαβεῖν αὐτὸν βουλόμενος, τὴν αὐλιαίαν θύραν ἔκλεισε. Καὶ ὡς (1) ἐξελθεῖν μὴ δυνάμενος, πρῶτον μὲν τὰ ποίμνια διέφθειρεν, ἔπειτα δὲ καὶ ἐπὶ τοὺς βόας ἐτράπη. Καὶ ὁ γεωργὸς, φοβηθεὶς περὶ ἑαυτοῦ, τὴν θύραν ἠνέῳξεν. Ἀπαλλαγέντος δὲ τοῦ λέοντος, ἡ γυνὴ θεασαμένη αὐτὸν στένοντα, εἶπεν· Ἀλλά γε σὺ δίκαια πέπονθας· τί γὰρ συγκλεῖσαι τοῦτον ἐβουλήθης, ὃν καὶ μακρόθεν σε ἔδει τρέμειν;

Οὕτως οἱ τοὺς ἰσχυροὺς διερεθίζοντες, εἰκότως τὰς ἐξ αὐτῶν πλημμελείας ὑπομένουσι.

221. [ΦΛ. 110]. ΛΕΩΝ ΚΑΙ ΓΕΩΡΓΟΣ.

Λέων, ἐρασθεὶς θυγατρὸς γεωργοῦ, ταύτῃ (2) μνηστευθῆναι ἐβούλετο. Ἐπέκειτο οὖν ἐκβιάζων τὸν πατέρα αὐτῆς (3). Ὁ δὲ

Εἰ γὰρ ᾔδεσαν λέοντες γλύφειν λίθους,
Πολλοὺς ἂν εἶδες ὑποκάτω λεόντων·

Τῇ δὲ τοῦ μύθου ἐννοίᾳ προσωκείωταί πως τὸ περὶ τοῦ Λάκωνος ἱστορούμενον (Πλουτάρχ. Ἀποφθ. Λακωνικ.)· Ἐπεὶ γάρ τις ἰδὼν ἐν πίνακι γραπτῷ Λάκωνας ὑπὸ Ἀθηναίων σφαττομένους, ἔλεγεν, Ἀνδρεῖοί γε Ἀθηναῖοι, ὁ Λάκων ὑποτυχὼν, Ἐν τῷ πίνακι, εἶπεν.

(1) Ἐν μὲν δοκίμῳ συγγραφεῖ δῆλον ὅτι διορθωτέον γράφοντας, Καὶ ὃς, παρὰ δὲ τῷ ἡμετέρῳ Μυθογράφῳ ἐνδέχεται τὸ, Μὴ δυνάμενος, ἀντὶ τοῦ, Οὐκ ἠδύνατο, τετάχθαι· οὐδὲν γὰρ ὅ, τι μὴ λεκτὸν τοῖς τοιούτοις κακοδαίμοσιν ἑλληνισταῖς.

(2) Ἴσ. γρ. Ταύτην.

(3) Ἐντεῦθεν διορθωτέον καὶ τὸ ἐν τοῖς πρόσθεν (σελ. 144), Ἐκθεάζων τὸν πατέρα αὐτοῦ, τρέποντας εἰς τὸ Ἐκβιάζων τὸν πατέρα αὐτῆς.

πατὴρ αὐτῆς ἔλεγε μὴ ἐκδοῦναι θηρίῳ τὴν ἑαυτοῦ θυγατέρα. Ὁ λέων οὖν ἠπείλει αὐτῷ. Ὁ δὲ, μὴ δυνάμενος διὰ τὸν φόβον ἀναβάλλεσθαι (1), ἐπενόησεν ἐμφρόνως, καί φησι πρὸς τὸν λέοντα· Οὐ δύναμαί σοι δοῦναι τὴν ἐμὴν θυγατέρα, ἐὰν μὴ τοὺς ὀδόντας καὶ τοὺς ὄνυχάς σου ἐκτίλῃς (2)· ταῦτα γὰρ ἡ κόρη δέδοικεν· οὐδαμῶς σοι ταύτην παρέξω. Ὁ δὲ εὐθέως, διὰ τὸν ἔρωτα, ἑκάτερα ῥᾳδίως ἐξέβαλε· καὶ ἀπελθὼν, κατὰ τὸ σύνηθες, ἐζήτει τὴν κόρην. Ὁ δὲ γεωργὸς, καταφρονήσας αὐτοῦ, ῥοπάλοις αὐτὸν ἐδίωξεν.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ τοῖς ἐχθροῖς ἑαυτοὺς καταπιστεύοντες εὐάλωτοι τούτοις γίνονται.

224. [ΦΑ. 97]. ΛΕΩΝ ΚΑΙ ΛΑΓΩΟΣ.

Λέων, περιτυχὼν λαγωῷ κοιμωμένῳ, τοῦτον ἔμελλε καταφαγεῖν. Μεταξὺ δὲ θεασάμενος ἔλαφον παριοῦσαν, ἀφεὶς τὸν λαγωὸν, ἐκείνην ἐδίωκεν. Ὁ μὲν οὖν ἀπὸ τῶν ψόφων (3) ἐξαναστὰς, ἔφυγε. Ὁ δὲ λέων, ἐπὶ πολὺ διώξας τὴν ἔλαφον, ἐπειδὴ καταλαβεῖν οὐκ ἐδυνήθη, ἐπανῆλθε πάλιν ἐπὶ τὸν λαγωόν. Εὑρὼν δὲ καὶ αὐτὸν πεφευγότα, ἔφη· Ἀλλ' ἔγωγε δίκαια πέπονθα, ὅτι περ ἀφεὶς τὴν ἐν χερσὶ βορὰν, ἀδήλοις ἐλπίσιν ἐδίωκον.

Οὕτως ἔνιοι τῶν ἀνθρώπων, μικροῖς κέρδεσι μὴ ἀρκούμενοι, λανθάνουσι καὶ τὰ ἐν χερσὶ προϊέμενοι.

226. [ΦΑ. 99]. ΛΕΩΝ ΚΑΙ ΟΝΟΣ.

Λέων καὶ ὄνος, κοινωνίαν πρὸς ἀλλήλους ποιησάμενοι, ἐξῆλθον ἐπὶ θήραν. Γενομένων δὲ αὐτῶν κατά τι σπήλαιον, ἐν ᾧ

---

(1) Γραπτέον, Ἀναβαλέσθαι. — (2) Ἐγράφετο, Ἐκτίλλῃς. — (3) Γράφε, Ὑπὸ τοῦ ψόφου.

ἦσαν αἶγες ἄγριαι, ὁ μὲν λέων, ϛὰς πρὸ τοῦ ϛομίου ἐξιούσας παρετηρεῖτο· ὁ δὲ, εἰσελθὼν, ἐνήλλετο αὐταῖς καὶ ὠγκᾶτο (1), ἐκφοβεῖν βουλόμενος. Τοῦ δὲ λέοντος πλείϛας συλλαβόντος, καὶ ἐξελθόντος τοῦ ὄνου, ἐπυνθάνετο αὐτοῦ, εἰ γενναίως ἠγωνίσατο, καὶ εἰ τὰς αἶγας καλῶς ἐδίωξε. Καὶ ὁ λέων φησίν· Εὖ ἴσθι, ὅτι κἀγώ σε (2) ἐφοβήθην, εἰ μὴ ᾔδειν σε ὄνον ὄντα.

Οὕτως οἱ παρὰ τοῖς εἰδόσιν ἀλαζονευόμενοι, εἰκότως γέλωτα ὀφλισκάνουσι.

227. [ΦΛ. 92]. ΛΕΩΝ ΚΑΙ ΤΑΥΡΟΣ.

Λέων, ταύρῳ παμμεγέθει ἐπιβουλεύων, ἐβουλήθη πρὸς αὐτὸν παραγενέσθαι. Καὶ δὴ προσκαλεσάμενος ὁ λέων τὸν ταῦρον, ἔφη πρὸς αὐτόν· Πρόβατον ἔθυσα, ὦ φίλε, καὶ, εἰ βούλει, σήμερον συνεϛιαθῶμεν ὁμοῦ. Ἐβούλετο δὲ ὁ λέων μετὰ τὸ κατακλιθῆναι τὸν ταῦρον, καταγωνίσασθαι, *ἤγουν καταθοινήσασθαι* αὐτόν. Ὁ δὲ, ἐλθὼν, καὶ θεασάμενος λέβητας πολλοὺς καὶ ὀβελίσκους μεγάλους, τὸ δὲ πρόβατον μηδαμοῦ, μηδὲν εἰπὼν ἀπηλλάττετο. Τοῦ δὲ λέοντος, *καὶ* τὴν αἰτίαν μαθεῖν θέλοντος καὶ πυνθανομένου, δι' ἣν, οὐδὲν δεινὸν παθὼν (3), ἀλόγως ἄπεισιν, ἔφη ὁ ταῦρος· Ἀλλ' ἔγωγε οὐ μάτην τοῦτο ποιῶ, καὶ φεύγω, ὦ λέων· ὁρῶ γὰρ κατασκευὴν οὐχ ὡς εἰς πρόβατον, ἀλλ' [ὡς] εἰς ταῦρον ἡτοιμασμένην.

Ὁ λόγος (4) δηλοῖ, ὅτι οὕτω καὶ τοὺς φρονίμους τῶν ἀνθρώπων αἱ τῶν πονηρῶν τέχναι οὐ λανθάνουσι.

---

(1) Διώρθωκα ἐκ τῶν ἐν τοῖς πρόσθεν (σελ. 148), ἀντὶ τοῦ, Ἐνήλλαττεν αὐτὰς, καὶ ὀγκᾶτο.

(2) Ἄμεινον ἐγράφετο ἐν τοῖς πρόσθεν (σελ. 148) Κἀγὼ ἄν σε.

(3) Ἐκ τούτου διορθωτέον καὶ τὸ ἀνωτέρω (σελ. 149) Δεινοπαθῶν, τρέποντας εἰς τὸ, Μηδὲν δεινὸν παθών.

(4) Ἔτρεψα τὸ Ὅλως, εἰς τὸ, Ὁ λόγος.

228. [ΦΛ. 107]. ΛΥΚΟΣ ΚΑΙ ΑΡΝΙΟΝ.

Λύκος ἀρνίον ἐδίωκε· τὸ δὲ εἰς *τὸ* ἱερὸν κατέφυγε. Προσκαλουμένου δὲ αὐτὸ τοῦ λύκου, καὶ λέγοντος, ὅτι θυσιάσει αὐτὸ ὁ ἱερεὺς, εἰ καταλάβῃ, τῷ Θεῷ, ἐκεῖνο ἔφη (1)· Ἀλλ' αἱρετώτερόν μοί ἐςι Θεοῦ θυσίᾳ γενέσθαι, ἢ ὑπὸ σοῦ διαφθαρῆναι.

Ὁ λόγος (2) δηλοῖ, ὅτι οἷς ἐπίκειται τὸ ἀποθανεῖν κρείττων ἐςὶν ὁ μετὰ δόξης θάνατοςς

229. [ΦΛ. 101]. ΛΥΚΟΣ ΚΑΙ ΑΡΝΟΣ.

Λύκος, ἄρνα εὑρὼν πεπλανημένον, οὐκ ἀφήρπασε χειρὶ δυνατωτάτῃ, ἀλλ' ἐθέλησε μετ' εὐλόγου αἰτίας τοῦτον φαγεῖν. Εἶπε δὲ πρὸς αὐτὸν τοιαῦτα· Πέρυσι σὺ πολλὰ καθύβρισάς με. Ὁ δὲ πρὸς αὐτὸν θρηνωδῶν ἀνεβόα· Ἐγὼ ἐν τούτῳ γεγένημαι τῷ χρόνῳ. Καὶ ὁ λύκος εἶπε πρὸς αὐτόν· Τὴν ἄρουράν μου νέμῃ. Ὁ ἀρνὸς ἔφη· Ἀκμὴν τροφὴν οὐκ εἶδον. Πάλιν ὁ λύκος· Ἐκ τῆς πηγῆς μου πίνεις. Ὁ δὲ, Οὐ πέπωκα ὕδωρ, προσεῖπεν αὐτῷ· τῆς γὰρ μητρός μου τὸ γάλα, ἡ τροφή μου, καὶ τὸ πόμα μου. Ὁ δὲ, συλλαβὼν καὶ φαγὼν τοῦτον, εἶπεν· Ἀλλ' ἐγὼ τέως ἄδειπνος οὐ μενῶ, εἰ καὶ σὺ ἀφορμὴν ἐμὴν πᾶσαν λύεις (3).

Ὁ μῦθος δηλοῖ, ὅτι γνώμην κακούργου καὶ πλεονέκτου λόγος οὐ πείθει, κἂν ἀληθὴς τυγχάνῃ. Ἢ (4), Ὅτι οἷς πρόθεσίς ἐςιν ἀδικεῖν, παρ' αὐτοῖς οὐδὲ δικαία ἀπολογία ἰσχύει.

---

(1) Οὕτως ἔγραψα καὶ ἔςιξα, ἀντὶ τοῦ, Τῷ θεῷ ἐκείνῳ, ἔφη. —(2) Ἐγράφετο πάλιν κακῶς, Ὅλως.—(3) Καὶ οὗτος, ὥσπερ ὁ τελευταῖος τῆς 150 σελίδος (οὐ πάνυ μικρὸν ἐξήλλακται), ἐκ ςίχων εἰς πεζοῦ λογοῦ σχῆμα μετερρύθμιστο.—(4) Διπλοῦν δηλονότι ἐπιμύθιον.

230. [ΦΛ. 103]. ΛΥΚΟΣ ΚΑΙ ΑΙΞ.

Λύκος, θεασάμενος αἶγα ἐπί τινος κρημνοῦ νεμομένην, ἐπειδὴ οὐκ ἐδύνατο αὐτῆς ἐφικέσθαι (1), παρήνει κατωτέρω καταβῆναι, μή πως πέσῃ λαθοῦσα, λέγων, [ὡς εἰσὶ (2)] καὶ λειμῶνες, καὶ πόα παρ' αὐτῷ σφοδροτάτη. Ἡ δὲ πρὸς αὐτὸν ἔφη· Ἀλλ' οὐκ ἐμὲ ἐπὶ νομὴν καλεῖς, ἀλλὰ τροφῆς ἀπορεῖς.

Οὕτω καὶ τῶν ἀνθρώπων οἱ πονηροὶ, ὅταν παρὰ τοῖς εἰδόσι πονηρεύωνται, ἀνόνητοι [τῶν] τεχνασμάτων γίνονται.

232. ΛΥΚΟΣ ΚΑΙ ΑΛΩΠΗΞ (3).

Εἰς λύκου χεῖρας ἀλώπηξ ἐνέπεσεν, ἣ καὶ τὴν τοῦ γήρως προβαλλομένη ἀσθένειαν, ἀπολῦσαι ἐδυσώπει. Ὁ δὲ λύκος ἀντέφησεν, Ἄλλως οὐκ ἐπιτεύξῃ σοῦ τοῦ αἰτήματος, εἰ μή γε πρῶτον τρεῖς ἀληθεῖς ἐξείπῃς μοι λόγους. Ἡ δὲ εἶπεν· Εἴθε μή σοι συνήτησα· εἰ δὲ συνήντησα, τυφλῷ σοι ἐνέτυχον, μηδαμῶς δὲ τῆς ὥρας ταύτης τὸ ζῆν σοι μὴ ἐπεβραβεύθη· ἴσως γὰρ πάλιν, εἰ ἐν βίῳ τούτῳ προσμείνεις, τὴν ἐμὴν ψυχὴν ἐκθροήσεις.

234. [ΦΛ. 362]. ΛΥΚΟΣ ΑΡΝΙΟΝ ΚΑΙ ΛΕΩΝ.

Λύκος δή ποτε, ἄρας ἀρνὸν ἐκ ποίμνης,
Ἀπεκόμιζεν εἰς τὴν ἰδίαν κοίτην.

---

(1) Ἐγράφετο κακῶς, Ἀφικέσθαι.

(2) Προσέθηκα ταῦτα ἐκ διορθώσεως τοῦ Φλωρεντινοῦ ἐκδότου.

(3) Ἐκ τῶν τῆς ἐν Παρισίοις Φιλολογικῆς Ἀκαδημίας Σημειώσεων καὶ Παρεκβολῶν, Τομ. Β, σελ. 725.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Λέων δὲ τούτῳ ἐξαίφνης συναντήσας,
Ἦρεν ἐξ αὐτοῦ τὸ ἀρνίον ———.
Στὰς δὲ πόῤῥωθεν πρὸς αὐτὸν ταῦτα λέγει·
Ἵνα τί, ἄναξ, ἐξ ἐμοῦ τοῦτο ἦρας;
Πῶς δὲ οὐ τηρεῖς τοὺς θεσμοὺς τοὺς ἀρχαίους,
Τοῦ μὴ τυραννεῖν χειρὶ δυνατωτάτῃ,
Ἀλλὰ πάντοτε ἐκδικεῖν τοῖς ἀπόροις;
Ὁ δὲ, γελάσας, πρὸς αὐτὸν ταῦτα λεγει·
Σὺ δὲ, ὦ λύκε, δικαίως τοῦτ' ἂν ἔσχες (1),
Εἴ τις τῶν φιλων αὐτὸ (2) κεχάρικέ σοι.

Πρὸς πλεονέκτας καὶ ἅρπαγας τοὺς μεμφομένους ἀλλήλοις ὁ μῦθος.

235. [ΦΛ. 111]. ΛΥΚΟΣ ΚΑΙ ΟΝΟΣ.

Λύκος, τῶν λοιπῶν λύκων ἐκςρατηγήσας,
Πᾶσιν ἔταξε νόμον αὐτοῖς προτείνας,
Ἵνα τις αὐτῶν τιποτοῦν κυνηγήσας,
Εἰς μέσον ἀγάγῃ, καὶ μοιράσῃ τοῖς πᾶσι.
Τούτων οὖν ὄνος ἀκηκοὼς, τὴν χαίτην
Ἔσεισε[ν εὐθὺς], καὶ γελῶν ταῦτα ἔφη·
Καλὸν εἴρηκας, ὦ πρώταρχε τῶν λύκων,
Ἀλλὰ πῶς σὺ χθὲς ἣν ἐκράτησας ἄγραν,
Κοίτῃ παρέθου τῇ ἰδίᾳ λαθραίως *εἰς τροφὴν σήν;*
Κόμισον ταύτην μερισθῆναι τοῖς πᾶσιν.
Ὁ δὲ, θαμβηθεὶς, κατέλυσε τοὺς νόμους (3).

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ τοὺς νόμους ὁρίζειν δοκοῦντες, ἐν οἷς ἂν ὁρίζωσι καὶ δικάζωσιν, οὐκ ἐμμένουσι.

---

(1) Ἐγράφετο, Τοῦτον ἔσχες.

(2) Ἐγράφετο, Αὐτόν.

(3) Καὶ οὗτος, καθάπερ ὁ ἀνωτέρω (σελ. 154), ἐκ ςίχων εἰς πεζοῦ λόγου σχῆμα μετεῤῥύθμιςο. Ἐν τῷ ἐννάτῳ ἔγραψεν ὁ δια-

236. [φλ. 105]. ΛΥΚΟΣ ΚΑΙ ΠΟΙΜΗΝ.

Λύκος, ἀκολουθῶν ποίμνῃ προβάτων, οὐδὲν ἠδίκει. Ὁ δὲ ποιμὴν κατ' ἀρχὰς μὲν ἐφυλάττετο αὐτὸν ὡς πολέμιον, καὶ δεδοικὼς παρετηρεῖτο. Ἐπεὶ δὲ συνεχῶς ἐκεῖνος παρεπόμενος οὐδὲ ἁρπάζειν (1) ἐπεχείρει; τὸ τηνικαῦτα νοήσας (2) φύλακα μᾶλλον αὐτὸν εἶναι ἢ ἐπίβουλον, ἐπειδὴ (3) χρεία τις αὐτὸν κατέλαβεν εἰς ἄςυ παραγενέσθαι, καταλιπὼν παρ' αὐτῷ τὰ πρόβατα, ἀπηλλάγη. Καὶ ὡς καιρὸν εἶχεν, ὑπολαβὼν (4) τὰ πλείω διέφθειρεν. Ὁ δὲ ποιμὴν, ἐπανελθὼν, καὶ θεασάμενος τὴν ποίμνην διεφθαρμένην, ἔφη· Ἀλλ' ἐγὼ δίκαια πέπονθα· τί γὰρ λύκῳ πρόβατα ἐπίςευον;

Οὕτως καὶ τῶν ἀνθρώπων, οἳ τοῖς φιλαργύροις, ἀπώλεια γενήσεται (5).

240. [φλ. 114]. ΜΕΛΙΣΣΑ ΚΑΙ ΖΕΥΣ.

Μέλισσα παλαι μήτηρ κηρίων οὖσα,
Ἀνελήλυθεν εἰς θεοὺς θυμιάσαι,
Προσαγαγοῦσα ἐκ μέλιτος τὸ δῶρον.
Τερφθεὶς δὲ ὁ Ζεὺς *τῇ* προσφορᾷ τῆς μελίσσης,

σκευαςὴς, Εἰς τροφὴν σὴν, μετὰ τὸ Λαθραίως. Τὰς τρεῖς οὖν ταύτας λέξεις ἢ περιγραπτέον ὅλως, ἢ ἀρχὴν ἀφανισθέντος ἑτέρου ςίχου ὑποληπτέον εἶναι.—(1) Γραπτέον ἴσως, Οὐδ' ἀρχὴν ἁρπάζειν, ὥσπερ ἀνωτέρω (σελ. 154).—(2) Τὸ ἀνωτέρω (σελ. 154) Ἐννοήσας, οὐ συγχωρεῖ τὸ ἀνόητον τοῦτο, Νοήσας, τρέπειν εἰς τὸ, Νομίσας.—(3) Διώρθωκα ἐκ τῶν ἀνωτέρω (σελ. 154), ἀντὶ τοῦ, Ἐπεὶ δέ.—(4) Ἴσ. γρ. Καὶ ὃς, καιρὸν ἔχειν ὑπολαβών.—(5) Ἴσ. γρ. Οὕτω καὶ τοῖς ἀνθρώποις, οἳ τοῖς φιλαργύροις τι πιςεύουσιν, ἀπώλεια γενήσεται.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Συνετάξατο αὐτῇ δοῦναι, ὃ ἂν αἰτήσῃ.
Ἡ δὲ πρὸς αὐτὸν ἐδέετο βοῶσα·
Ὦ Θεὲ λαμπρὲ, καὶ κτιςὰ ἐμοῦ τῆς μελίσσης,
Ἐπίδος κέντρον τῇ σῇ θεραπαινίδι,
Ἵνα, ἐάν τις *τῷ* οἴκῳ μου πλησιάσῃ,
Τοῦ ἆραι μέλι, αὐτὸν ἐγὼ φονεύω.
Ἀπειρηκὼς δὲ ὁ Ζεὺς πρὸς τὰς αἰτήσεις,
Ἐπεὶ ἐφίλει τὸ τῶν ἀνθρώπων γένος
Πάνυ, ἔφησε τῇ μελίσσῃ τοιάδε·
Οὐχ ὡς ᾔτησας οὕτως γενήσεταί σοι·
Ἀλλ' ἐάν τις ἥκῃ λαβεῖν ἀπὸ σοῦ μέλι,
Σὺ δὲ προσκρούσῃς αὐτῷ καὶ πλήξῃς, αὐτὴ
Μᾶλλον τεθνήξῃ, ἐκβληθέντος σου *τοῦ* κέντρου·
Ζωὴ γὰρ ἐν σοὶ ὑπάρχει τὸ [σὸν] κέντρον (1).

Ὁ μῦθος δηλοῖ, ὅτι ἐν ταῖς εὐχαῖς καὶ ταῖς δεήσεσιν οὐ δεῖ κατὰ τῶν ἐχθρῶν τι ἐξαιτεῖσθαι κακόν· ὃ γὰρ ἂν κακὸν κατ' αὐτῶν ἐξαιτήσῃς, ἀνθυποςρέψει ἐπὶ σὲ παραυτίκα.

242. [ΦΛ. 115]. ΜΥΕΣ ΚΑΙ ΓΑΛΑΙ.

Μυσὶ καὶ γαλαῖς πόλεμος ἦν. Ἀεὶ δὲ οἱ μύες ἡττώμενοι, ἐπειδὴ συνῆλθον εἰς ταὐτὸν, ὑπέλαβον ὅτι διὰ ἀναρχίαν τοῦτο πάσχουσιν· ὅθεν ἐπιλεξάμενοι ἑαυτῶν τινας, ςρατηγοὺς ἐχειροτόνησαν. Οἱ δὲ, βουλόμενοι ἐπισημότεροι τῶν ἄλλων εἶναι, κέρατα σκευάσαντες ἑαυτοῖς συνῆψαν. Ἐνςάσης δὲ τῆς μάχης, συνέβη πάντας τοὺς μύας ἡττηθῆναι. Οἱ μὲν οὖν ἄλλοι πάντες

(1) Καὶ τοῦτον εἰς οὓς πρότερον ἐνετέτατο ςίχους ἀρρύθμους ἐκ τῆς ἐν πεζοῦ λόγου σχήματι γραφῆς ἀποκατέςησα. Τὸν ἕβδομον ςίχον οὕτως ἔγραψεν ἴσως ὁ πρῶτος ςιχουργήσας,

Ὦ Θεὲ λαμπρὲ, κτίς' ἐμοῦ τῆς μελίσσης.

ῥᾳδίως εἰσέδυνον, οἱ δὲ στρατηγοὶ, μὴ δυνάμενοι εἰσελθεῖν διὰ τὰ κέρατα αὐτῶν, συλλαμβανόμενοι κατησθίοντο.

Οὕτω πολλοῖς ἡ κενοδοξία κακῶν αἰτία γίνεται.

ΑΛΛΩΣ.

[ΦΛ. 175]. ΜΥΕΣ ΚΑΙ ΓΑΛΕΑΙ.

Ποτὲ γαλέαι ἐμάχοντο τοῖς μυσὶν,
Αὐτοὺς κατατροποῦσαι καὶ ἀναιροῦσαι.
Εἶπον δὲ οἱ μύες (1) καθ' ἑαυτοὺς τοιαῦτα·
Παραλόγως γαλέαι ἡμᾶς ἡττῶσιν·
Οὐ γὰρ κτώμεθα ἄνακτα, ὥσπερ αὗται,
Οὐδὲ στρατηγοὺς ἐπὶ τῇ παρατάξει,
Καὶ διὰ τοῦτο ταλαιπωροῦμεν πάντες,
Καὶ φυγάδες γινόμεθα τοῦ πολέμου.
Καὶ παραυτίκα, συμβούλιον λαβόντες,
Κατεστήσαντο τοὺς παμμεγέθεις μύας
Ἀρχηγέτας τε καὶ στρατηγοὺς τῶν ἄλλων.
Καὶ δὴ ἔνοπλοι ἅπαντες γεγονότες,
Καὶ παρατάξεις αὖθις (2) πεποιηκότες,
Ἤρξαντο κρότων -- τῶν τοῦ πολέμου.
Τῶν γὰρ αὐτῶν σαλπίγγων σαλπισασῶν --,
Ἐναπήρξαντο πολεμεῖν πρὸς τὰς γαλέας·
Αἳ κατὰ κράτος τοὺς μύας ἡττήσασαι,
Ἔτρεψαν τοὺς δυστήνους εἰς φυγὴν --.
Οἱ μὲν γὰρ ἄοπλοι, πεφευγότες ἐν τοῖς τοίχοις,
Εἰσεληλύθεσαν εἰς ῥαγάδας αὐτίκα.
Οἱ δὲ ἔνοπλοι καὶ ἀρχηγέται τούτων,

(1) Ἴσ. γρ. μετὰ τῆς ἐκθλίψεως, Εἶπον δ' οἱ μύες.
(2) Ἴσ. γρ. Εὐθύς.

Οἵ τε ἄρχοντες καὶ ϛρατηγοὶ τῶν ἄλλων,
Μὴ δυνάμενοι ἐν ταῖς ὀπαῖς ἐμβῆναι,
Διεφθάρησαν ἅπαντες ὑπὸ τῶν γαλεῶν (1).

Ὁ μῦθος δηλοῖ, ὅτι πρὸς τὸ ζῆν ἀκινδύνως, κρεῖττόν (2) ἐϛιν ἡ εὐτέλεια, ἢ ἡ λαμπρότης καὶ δόξα τοῦ βίου.

243. [ΦΛ. 117]. ΜΥΙΑ.

Μυῖα, ἐμπεσοῦσα εἰς χύτραν κρέατος, ἐπειδὴ ὑπὸ τοῦ ζωμοῦ ἀποπνίγεσθαι ἔμελλεν, ἔφη πρὸς ἑαυτήν· Ἀλλ' ἔγωγε, καὶ βέβρωκα, καὶ πέπωκα, καὶ λέλουμαι, καὶ θνησκούσης οὐ μέλει μοι.

Ὁ λόγος (3) δηλοῖ, ὅτι ῥᾳδίον φέρουσι τὸν θάνατον οἱ ἄνθρωποι, ὅταν ἀβασανίϛως παρακολουθοῦσι (4).

244. [ΦΛ. 84]. ΜΥΡΜΗΞ ΚΑΙ ΚΑΝΘΑΡΟΣ.

Θέρους ὥρᾳ μύρμηξ, περιπατῶν κατὰ τὴν ἄρουραν, πυροὺς καὶ κριθὰς συνέλεγεν, ἀποθησαυριζόμενος ἑαυτῷ τροφὴν εἰς τὸν χειμῶνα. Κάνθαρος δὲ, τοῦτον θεασάμενος, ἐθαύμασεν (5) ὡς ἐπιπονώτατον, εἴγε παρ' αὐτὸν τὸν καιρὸν μοχθεῖ, παρ' ὃν τὰ ἄλλα ζῶα, πόνων ἀφέμενα, ἐν ῥαϛώνῃ διάγουσιν. Ὁ δὲ τότε μὲν ἡσύχασεν. Ὕϛερον δὲ, ὡς χειμὼν ἐνέϛη (6), καὶ ἡ κόπρος ὕετο τῷ ὄμβρῳ κλυσθεῖσα, ἧκεν ὁ κάνθαρος πρὸς αὐτὸν λιμώττων, καὶ τροφῆς μεταλαβεῖν ἐδέετο. Ὁ δὲ πρὸς αὐτὸν ἔφη·

---

(1) Ἀῤῥύθμοις καὶ δυϛήνοις δυϛήνου ποιητοῦ ϛίχοις δωδεκασυλλάβοις τοῖς πλείϛοις συνέϛηκεν ὁ μῦθος ὅλος, ἐν πεζοῦ λόγου σχήματι γεγραμμένος τὸ πρότερον.—(2) Ἴσως γραπτέον, Κρείττων.—(3) Ἐγράφετο καὶ πάλιν κακῶς, Ὅλως.—(4) Ἴσως γραπτέον, Παρακολουθήσῃ, ὁ θάνατος δηλονότι.—(5) Ἴσως γραπτέον, Ἐθαύμαζεν.—(6) Ἔγραψα Ἐνέϛη, ἀντὶ τοῦ, Ἀνέϛη.

Ὦ κάνθαρε, ἀλλ' εἰ τότε ἐπόνεις, ὅτε με μοχθοῦντα ὠνείδιζες, οὐκ ἂν νῦν τροφῆς ἐπεδέου.

Οὕτω οἱ παρὰ τὰς εὐθηνίας τοῦ μέλλοντος μὴ προνοούμενοι, παρὰ τὰς τῶν καιρῶν μεταβολὰς τὰ μέγιστα δυστυχοῦσι.

247. [ΦΛ. 348]. ΓΕΩΡΓΟΣ ΚΑΙ ΘΑΛΑΣΣΑ.

Γεωργός, τις ἰδὼν ναῦν ἐν [τῇ] θαλάσσῃ
Κυμαινομένην, καὶ βυθῷ πεμπομένην,
Κατηρᾶτο τὴν θάλασσαν δακρύων—.
Ἡ δὲ πρὸς αὐτὸν ἀνεβόα τοιαῦτα·
Ἵνα τί, [ὦ] ἄνθρωπε, μέμφῃ με μάτην;
Οὐ γάρ ἔγωγε τῶν κινδύνων αἰτία,
Ἀλλ' οἱ ἄνεμοι οἱ ἐκταράττοντές με.
Εἰ δὲ βουληθῇς χωρὶς τούτων πλεῦσαι,
Ἡμερωτέραν δή με τῆς γῆς εὑρήσεις (1).

Ὅτι γαληνοὺς δεσπότας οἱ χαιρέκακοι (2) παραφυσῶντες, ἐπεγείρουσι πρὸς ὀργάς τε καὶ ζάλας.

248. [ΦΛ. 123]. ΝΕΟΣ ΑΣΩΤΟΣ ΚΑΙ ΧΕΛΙΔΩΝ.

Νέος ἄσωτος, καταφαγὼν τὰ πατρῷα, ἱματίου καὶ (3) μόνου αὐτῷ περιλειφθέντος, ὡς ἐθεάσατο χελιδόνα παρὰ καιρὸν ἐλ-

---

(1) Ἐκ πεζοῦ σχήματος εἰς στιχηρὸν μετεποίησα καὶ τοῦτον τὸν μῦθον, ἀναπληρώσας τὸν πρῶτον καὶ πέμπτον στίχον τῇ εἰς ἑκάτερον μιᾶς συλλαβῆς προσθήκῃ. Ἐλλείπει δὲ καὶ ὁ παρατελευταῖος συλλαβῇ, γεγραμμένος ἴσως τὸ πάλαι τῆδε,

Εἰ δὲ βούλει σὺ χωρὶς τούτων με πλεῦσαι.

(2) Ἴσως γρ. Δεσπότας δοῦλοι χαιρέκακοι.

(3) Ἢ περίγραφε τὸν Καὶ, ἢ τρέπε εἰς τὸν Δέ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

θοῦσαν καὶ ὀφθεῖσαν, οἰόμενος ἔαρ ἤδη προσιέναι, ὡς μηκέτι δεηθησόμενος τοῦ ἱματίου, καὶ τοῦτο φέρων ἀπεπώλησεν (1). Ὕςερον δὲ χειμῶνος γενομένου, καὶ σφοδροῦ γενομένου τοῦ ἀέρος, ἐπειδὴ εἶδε τὴν χελιδόνα νεκρὰν ἐῤῥιμένην (2), ἔφη πρὸς αὐτήν· Ὦ φίλη, αὕτη σὺ κἀμὲ ἀπολώλεκας, καὶ ἀπώλεσας (3).

Ὁ μῦθος δηλοῖ, ὅτι πᾶν τὸ παρὰ καιρὸν δρώμενον ἐπισφαλὲς τυγχάνει.

249. [ΦΛ. 57]. ΟΔΟΙΠΟΡΟΙ ΚΑΙ ΑΡΚΤΟΣ.

Δύο φίλοι τὴν αὐτὴν ὁδὸν ἐβάδιζον. Καὶ δὴ, ἄρκτου αὐτοῖς συναντησάσης, ὁ μὲν εἷς φοβηθεὶς ἐπί τι δένδρον (4) ἀναβὰς, ἐκρύβη ἐν αὐτῷ. Ὁ δὲ ἕτερος, περιγενέσθαι αὐτῆς μὴ δυνηθεὶς μόνος, ὡς εἶδεν αὐτὸν κυριευόμενον παρὰ τῆς ἄρκτου, πεσὼν ἐπὶ τὴν γῆν, προσεποιεῖτο τεθνάναι. Ἐλθούσης δὲ αὐτῆς ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, ὠσφραίνετο διὰ τοῦ ῥύγχους τῶν ἀκοῶν αὐτοῦ καὶ τῶν φρενῶν. Ὁ δὲ τὰς ἀναπνοὰς αὐτοῦ ἐκράτει εὐτόνως. Ἡ δὲ ἄρκτος, ὑπολαβοῦσα νεκρὸν αὐτὸν ὑπάρχειν, ἀπῄει· φασὶ, γὰρ, ὅτι νεκροῦ ἡ ἄρκτος οὐχ ἅπτεται. Ἀπαλλαγείσης δὲ αὐτῆς, ὁ ἕτερος, καταβὰς ἀπὸ τοῦ δένδρου, ἐπυνθάνετο τί *ἂν* πρὸς τὸ οὖς ἐλάλει αὐτῷ ἡ ἄρκτος. Ὁ δὲ εἶπεν,

---

(1) Γραπτέον οἶμαι, Ἀπεμπώλησεν.

(2) Οὕτως ἔγραψα, ἀντὶ τοῦ, Ἐριμωμένην, τοῦ ἀντιγράφου, ὅπερ ὁ Φλωρεντινὸς ἐκδότης εἰς τὸ, Ἐρημουμένην, ἔτρεψε.

(3) Ἀδιανόητα ταῦτα καὶ βάρβαρα. Γραπτέον ἴσως, Σαυτὴν σὺ κἀμὲ ἀπολώλεκας, διὰ τεσσάρων λέξεων, ἢ Αὐτὴ σὺ κἀμὲ ἀπολώλεκας, καὶ σαυτὴν ἀπώλεσας.

(4) Ἐγράφετο, Ἐπὶ τὸ δένδρον.

ὅτι Ἔφη πρός με ἡ ἄρκτος, ὥςε ἀπὸ τοῦ νῦν τοιούτοις μὴ συνοδοιπορεῖν φίλοις, οἳ ἐν κινδύνοις οὐ παραμένουσιν.

Ὁ μῦθος δηλοῖ, ὅτι τοὺς γνησίους τῶν φίλων αἱ συμφοραὶ δοκιμάζουσιν. Ἢ (1)· Ἀπέχεσθαι χρὴ φίλων, οἵτινες ἐν κινδύνοις οὐ βοηθοῦσιν, οὐδὲ παραμένουσι.

251. [ΦΛ. 129]. ΟΔΟΙΠΟΡΟΙ ΚΑΙ ΠΛΑΤΑΝΟΣ.

Ὁδοιπόροι, θέρους ὥρᾳ περὶ μεσημβρίαν ὑπὸ καύματος τρυχόμενοι, ὡς ἐθεάσαντο πλάτανον, ὑπὸ ταύτης (2) καταντήσαντες, καὶ ἐν τῇ σκιᾷ κατακλιθέντες ἀνεπαύοντο. Ἀναβλέψαντες δὲ εἰς τὴν πλάτανον, ἔλεγον πρὸς ἀλλήλους· ὡς Ἀνωφελόν τι τοῦτο τοῖς ἀνθρώποις, καὶ ἄκαρπόν ἐςι τὸ δένδρον. Ἡ δὲ ὑποτυχοῦσα (3) ἔφη πρὸς αὐτούς· Ὦ ἀχάριςοι, ἔτι (4) τῆς ἐξ ἐμοῦ εὐεργεσίας ἀπολαύοντες, ἄκαρπόν με καὶ ἀχρείαν ἀποκαλεῖτε;

Οὕτω καὶ τῶν ἀνθρώπων ἔνιοι ἀτυχεῖς εἰσιν, οἳ καὶ εὐεργετοῦντες τοὺς πέλας, ἐξ αὐτῶν μᾶλλον ἀχαριςοῦνται.

252. [ΦΛ. 62]. ΠΑΙΣ ΚΑΙ ΤΥΧΗ.

Ἐγγὺς φρέατος παῖς τις ἐκοιμᾶτο. Ἐπιςᾶσα δὲ αὐτῷ ἡ Τύχη, ἐβόα· Ἀνάςα καὶ ἄπελθε ἐντεῦθεν, μή πως κάτωθεν τοῦ φρέατος πέσῃς, καὶ ἐμὲ τὴν τύχην καταμέμψωνται πάντες.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλάκις σφαλλόμενοι, πράττοντες κακῶς, περιπίπτομεν κινδύνοις, καὶ μεμφόμεθα τὴν τύχην.

---

(1) Διπλοῦν δηλονότι ἐπιμύθιον.—(2) Γράφε, ὡς ἀνωτέρω (σελ. 165), Ταύτην.—(3) Ἐγράφετο Ἀποτυχοῦσα.—(4) Ἄμεινον ὧδε τὸ, Ἔτι, τοῦ ἀνωτέρω (σελ. 165), Ὅτι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΑΛΛΩΣ (1).

Ἐν φρέατί τινι κοιμωμένου τινὸς, ἡ Τύχη ἐπιςᾶσα αὐτῷ εἰρήκει· Ἔγειραι, κοιμήθητι ἀλλαχόσε, μήπως, σοῦ κρημνισθέντος, οἱ σοῦ προσγενεῖς ἐμοὶ τὴν μέμψιν ἐπάξωσιν.

Ὅτι πολλάκις οἱ ἄνθρωποι σφαλλόμενοι, οὐχ ἑαυτοῖς, ἀλλὰ μᾶλλον τῇ Τύχῃ τὸν μῶμον προσάγουσι.

254. [ΦΛ. 122]. ΜΙΚΡΕΜΠΟΡΟΣ ΚΑΙ ΟΝΑΡΙΟΝ.

Μικρέμπορός τις, ὀνάριον κατέχων,
Αὐτὸς ὠνεῖτο ἁλάτιον εἰς πλῆθος.
Καὶ δὴ, φορτώσας σφοδρῶς αὐτοῦ τὸν ὄνον,
Ὑποζυγίῳ ἤλαυνε λεωφόρῳ·
Ὃς ὀλισθήσας, εἰς ὕδωρ ἐπεπτώκει.
Καὶ δὴ, λυθέντων τῶν ἁλῶν παραυτίκα,
Εὐθὺς ἠγέρθη ἀκόπως βηματίζων.
Ὁ δ᾽, ὑποςρέψας, καὶ πάλιν λαβὼν ἅλας,
Κατεπεπτώκει εἰς ποτάμια ῥεῖθρα.
Καὶ, ἐκλυθέντων πάλιν τῶν ἁλατίων,
Ἐξανέςησεν ἑαυτὸν παραυτίκα.
Ὁ δὲ, λυπηθεὶς, ὁ κύριος τοῦ ὄνου,
Ἐπενόησεν αὐτοῦ τὰς ἐπινοίας.
Ὅςις ἐπελθὼν *εἰς* ἕνα τῶν μυρεψούντων,
Ἐξωνήσατο σπόγγους πολλοὺς εἰς κόρον,
Οὕσπερ ἐπιθεὶς πεφόρτωκε τὸν ὄνον.
Ὁ δὲ, ἀπιὼν, κατέπεσεν εἰς ὕδωρ·

---

(1) Ἐκ τῶν τῆς ἐν Παρισίοις Φιλολογικῆς Ἀκαδημίας Σημ. καὶ Παρεκβολ. (Τομ. Β, σελ. 727).

Καὶ παραυτίκα, ἐμπλησθέντων (1) τῶν σπόγγων,
Ἤγεθ' ὁ ὄνος (2) διπλοῦν βάρος βαςάζων (3).

Ὁ μῦθος δηλοῖ, ὅτι πολλάκις ἐν ᾧ τις εὐτύχησεν, ἐν αὐτῷ καὶ πίπτει.

255. [ΦΛ. 137]. ΟΝΟΣ ΚΑΙ ΤΕΤΤΙΓΕΣ.

Ονος, ἀκούσας τεττίγων ᾀδόντων, ἥσθη ἐπὶ τῇ εὐφωνίᾳ, καὶ ζηλώσας αὐτῶν τὴν ἡδύτητα εἶπε· Τί σιτούμενοι τοιαύτην φωνὴν ἀφίετε; Τῶν δὲ, εἰπόντων, Δρόσον, ὁ ὄνος προσπαραμένων τῇ δρόσῳ, λιμῷ διεφθάρη.

Οὕτως οἱ τῶν παρὰ φύσιν ἐπιθυμοῦντες, παρὰ τὸ μὴ ἐπιτυχεῖν ὧν ἐφίενται, καὶ τὰ μέγιςα δυςυχοῦσιν.

257. [ΦΛ. 135] ΟΝΟΣ ΒΑΣΤΑΖΩΝ ΑΓΑΛΜΑ.

Ονῳ τις ἐπιθεὶς ἄγαλμα, ἤλαυνεν εἰς πόλιν. Πάντων δὲ τῶν συναντώντων προσκυνούντων τὸ ἄγαλμα, ὑπολαβὼν ὁ ὄνος, ὅτι αὐτῷ προσκυνοῦσιν, ἀναπτερωθεὶς ὠγκᾶτο, καὶ οὐκέτι περαιτέρω προβαίνειν ἐβούλετο. Καὶ ὁ ὀνηλάτης, αἰσθόμενος τὸ γεγονὸς, τῷ ῥοπάλῳ αὐτὸν παίων, ἔφη· Ὦ κακὴ κεφαλὴ, ἔτι (4) καὶ τοῦτο λοιπὸν, ἐὰν ὄνος (5) ὑπὸ ἀνθρώπων προσκυνεῖσθαι ζητῇ.

Ὁ μῦθος δηλοῖ, ὅτι οὕτω καὶ οἱ τοῖς ἀλλοτρίοις ἀγαθοῖς ἐπαλαζονευόμενοι, παρὰ τοῖς εἰδόσιν αὐτοὺς γέλωτα ὀφλισκάνουσιν.

---

(1) Ἀντὶ τοῦ, Κυλισθέντων, ἔγραψα, Ἐμπλησθέντων, ὕδατος δηλονότι.

(2) Ἐγράφετο, Ἤγετο ὁ ὄνος.

(3) Εἰς δωδεκασυλλάβους ςίχους, εἰς οὓς ἦν πάλαι διῃρημένος, ἀποκατέςησα τὸν μῦθον.

(4) Ἔγραψα Ἔτι, ἀντὶ τοῦ, ἀδιανοήτου, Αἴτει. ὁ δὲ νοῦς, οἷον ἂν φράσειέ τις καὶ τῇ Γάλλων φωνῇ, Il ne manquoit plus que cela.

(5) Ἔγραψα, Ὄνος, ἀντὶ τοῦ, Ὄνους.

259. [ΦΛ. 134]. ΟΝΟΣ ΚΑΙ ΛΥΚΟΣ.

Ὄνος ποτὲ σκόλοπα πατήσας--
Ἵςατο χωλὸς μὴ δυνάμενος ὁδεῦσαι.
Λύκον δὲ ἰδὼν, καὶ τοῦτον δειλιάσας,
Μήπως, ὡς τρίπους, αὐτῷ γένηται βρῶμα,
Ἀνεβόησε, καὶ πρὸς αὐτὸν ἐλάλει·
Λύκε μέγιςε, νυνὶ θνήσκω ἐκ πόνου,
Καλόν μοί ἐςι τὸ σοῦ δεῖπνος γενέσθαι,
Ἢ τῶν γυπῶν----καὶ κοράκων.
Χάριν δὲ μίαν νῦν ἐξαιτῶ σε, πάτερ,
Ὅπως ἐκβάλῃς ἄκανθαν *ἐκ* τοῦ ποδός μου,
Μὴ μετὰ πόνου ἐγὼ ὁ τάλας θνήξω.
Εὐθὺς δ' ὁ λύκος τῶν ὀδόντων τοῖς ἄκροις
Τὸν σκόλοπα δάκνων, ἐξεῖλε παραυτίκα.
Λυθεὶς δὲ τοῦ πόνου, χάσκοντος τοῦ λύκου,
[Λακτίσας] τοῦτον, καὶ τοὺς ὀδόντας θλάσας,
Χεῖλη, μέτωπον, κάραν, καὶ τὰς ὀσφρήσεις,
Ἀπεπήδησε, καὶ οἴκαδε ἀπῄει.
Καὶ ὁ λύκος ἔφη· Δίκαια πάσχω—·
Μεμαθηκὼς γὰρ πρώην μάγειρος εἶναι,
Ἵνα τί ὄνου ἰατρὸς ἐγινόμην (1);

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ, τοὺς ἐχθροὺς αὐτῶν φιλεῖν πειρώμενοι, ἀντὶ ἀμοιβῆς κακὰ αὐτοῖς παρέχουσι.

---

(1) Ἀποκατέςησα καὶ τοῦτον τὸν μῦθον εἰς τὴν πάλαι ςιχηδὸν γραφήν.

[ΦΛ. 140] ΑΛΛΩΣ.

Ὄνος, ἔν τινι λειμῶνι νεμόμενος, ὡς ἐθεάσατο λύκον ἐπ' αὐτὸν ὁρμώμενον, χωλαίνειν προσεποιεῖτο. Τοῦ δὲ προσελθόντος αὐτῷ, καὶ τὴν αἰτίαν πυνθανομένου, δι' ἣν χωλαίνει, ἔλεγεν· Ὡς φραγμὸν διέβαινον, σκόλοπα (2) ἐπάτησα· καὶ παρῄνει αὐτὸν πρῶτον ἐξελεῖν τὸν σκόλοπα, εἶθ' οὕτως αὐτὸν καταθοινήσασθαι, ἵνα μὴ ἐσθίων περιπαρῇ. Τοῦ δὲ, ἐμπεισθέντος (2), καὶ τὸν πόδα αὐτοῦ ἐπάραντος, ὅλον τὸν νοῦν πρὸς τὸν σκόλοπα ὡς δῆθεν ἔχοντος, ὁ ὄνος λὰξ εἰς τὸ στόμα αὐτοῦ ἀφεὶς, τοὺς ὀδόντας αὐτοῦ ἐξετίναξε. Καὶ ὡς (3) κακῶς διατεθεὶς, ἔφη· Ἀλλ' ἔγωγε δίκαια πέπονθα· τί γὰρ, τοῦ πατρός με μάγειρον διδάξαντος, ἰατρικὴν τέχνην ὑπελαβόμην;

Οὕτως καὶ τῶν ἀνθρώπων οἱ μὴ τοῖς (4) προσήκουσιν ἐπιχειροῦντες, εἰκότως δυστυχοῦσιν.

262. [ΦΛ. 40]. ΓΥΝΗ ΚΑΙ ΠΑΙΣ ΑΥΤΗΣ.

Βοτήρων ἐπ' ἀγρῷ θυόντων αἶγα, τοὺς σύνεγγυς ἐκάλεσαν. Σὺν αὐτοῖς δὲ ἦν καὶ γυνὴ πενιχρὰ, μεθ' ἧς καὶ ὁ παῖς αὐτῆς. Προϊούσης δὲ τῆς εὐωχίας, τὸ παιδίον, ὀγκωθὲν τὴν γαστέρα ἐκ τῶν κρεῶν, ὀδυνώμενον ἔλεγεν· Ὦ μῆτερ, τὰ σπλάγ-

(1) Ἴσ. γρ. Φραγμὸν διαβαίνων, σκόλοπα κ. τ. λ.

(2) Γράφε, Ἀναπεισθέντος, ἢ ἀπροθέτως, Πεισθέντος.

(3) Ἢ τοῦτο τρεπτέον εἰς τὸ, Καὶ ὃς, ἢ τὸ Διατεθεὶς, εἰς τὸ Διετέθη.

(4) Ἐγράφετο κακῶς, Μή τι.

χνα μου. Ἡ δὲ μήτηρ αὐτοῦ εἶπεν· Οὐχὶ τὰ σὰ, τέκνον, ἃ δὲ κατέφαγες.

Ὁ μῦθος οὗτος πρὸς ἄνδρα χρεωφειλέτην, ὅςις ἑτοίμως τὰ ἀλλότρια λαμβάνων, ὅταν ἀπαιτηθῇ ταῦτα, οὕτως ἄχθεται, ὥσπερ ἐὰν (1) οἴκοθεν ταῦτα ἐδίδω.

263. [φλ.·158]. ΠΑΙΣ ΚΑΙ ΣΚΟΡΠΙΟΣ.

Παῖς πρὸ τοῦ τείχους ἀκρίδας ἐθήρευε. Πολλὰς δὲ συλλαβὼν, ὡς ἐθεάσατο σκορπίον, νομίσας ἀκρίδα εἶναι, κοιλάνας τὴν χεῖρα, οἷός τε ἦν καταφέρειν αὐτοῦ (2). Καὶ ὃς (3), τὸ κέντρον ἐπάρας, ἔφη· Εἴθε γὰρ τοῦτο ἐποίησας, ἵνα καὶ ἃς συνειλήφας ἀκρίδας, ταύτας ἀποβάλῃς.

Ὁ λόγος (4) διδάσκει ἡμᾶς, μὴ δεῖν πᾶσι, τοῖς χρηςοῖς καὶ πονηροῖς, τὰ αὐτὰ προσφέρειν (5).

ΑΛΛΩΣ.

ΝΕΑΝΙΣΚΟΣ ΚΑΙ ΣΚΟΡΠΙΟΣ (6).

Νεανίσκος τὶς ἐν τοῖς ἐξωτάτοις καὶ ἐρημικωτάτοις τόποις ἀκρίδας ἠπείγετο κατασχεῖν· καὶ ἰδὼν μέσον αὐτῶν σκορπίον, ἐδόκει κἀκεῖνον ἀκρίδα ὄντως τυγχάνειν, καὶ τὴν χεῖρα ἐκτείνας, ἐξᾶραι αὐτὸν τῆς γῆς ἔμελλεν. Ὁ δὲ σκορπίος, τὸ αὐτοῦ κέντρον πρὸς τὸ νύξαι τὸν νέον ἰθύνας, ἔφη πρὸς αὐτὸν, ὡς Εἰ

(1) Τοῦ παρηκμακότος ἑλληνισμοῦ, ἀντὶ τοῦ, Ὥσπερ εἰ.

(2) Ἐγράφετο κακῶς, Αὐτόν.

(3) Ἔγραψα, Καὶ ὃς, ὡς γέγραπται ἐν τοῖς πρόσθεν (σελ. 174), ἀντὶ τοῦ, Καὶ ὡς.

(4) Καὶ πάλιν κακῶς ἐγράφετο, Ὅλως.

(5) Ἐγράφετο, Προφέρειν.

(6) Ἐκ τῶν τοῦ Συντίπα Μύθων, μύθ. λθ΄.

ὅλως τετόλμηκάς μου καθάψασθαι, παρεσκεύασα ἄν σε ἀπολῦσαι καὶ ἃς κατέσχες ἀκρίδας.

Ὁ μῦθος δηλοῖ, ὡς οὐ χρὴ καὶ τοῖς σκαιοῖς ἀνδράσι καὶ τοῖς ἀγαθοῖς ἐπίσης ἐντυγχάνειν, ἀλλ' ἑκάστῳ πρὸς τὴν ἰδίαν γνώμην δεόντως προσομιλεῖν.

ΑΛΛΩΣ.

[ΦΛ. 171]. ΠΑΙΣ ΣΥΝΑΓΩΝ ΑΚΡΙΔΑΣ.

Παῖς τις συνάγων εἰς ἀρούρας ἀκρίδας,
Ἔμελλεν ἆραι σκορπίον ἀντ' ἀκρίδος.
Ὁ δὲ, τοῦ παιδὸς τὸ ἄκακον νοήσας,
Ταῦτα πρὸς αὐτὸν οὕτως ἐβόα, λέγων·
Ἄπελθε, ὦ παῖ, καὶ σώζου μετ' εἰρήνης,
Μὴ θηρεύσας με ἀπολέσῃς ἁπάσας (1).

Ὁ μῦθος δηλοῖ, ὅτι καλόν ἐστι τὰ ἐναντία γινώσκειν, καὶ τὸ μὲν καλὸν πράττειν, τὸ δὲ κακὸν ἐκφεύγειν.

264. [ΦΛ. 187]. ΥΙΟΣ ΚΑΙ ΛΕΩΝ ΓΕΓΡΑΜΜΕΝΟΣ.

Υἱόν τις ἔχων μονογενῆ ἀνδρεῖον,
Εἶδε καθ' ὕπνον ὑπὸ λέοντος θνήσκειν.
Ὁ δὲ, φοβηθεὶς, μήπως τοὔναρ (2) ἀληθεύσῃ,
Οἴκημα τερπνὸν αὐτῷ κατασκευάσας,
Ἐζωγράφησε τοὺς τοίχους πρὸς τὴν τέρψιν,
Ζώοις παντοίοις αὐτοὺς ἐγκαλλωπίσας,
Ἐν οἷς καὶ λέων -- ἀνεμορφώθη.
Ὡς οὖν ἑώρα τὸν λέοντα ὁ νέος,

(1) Ἐκ τοῦ πεζοῦ εἰς τὸ στιχηρὸν ἀποκατέστησα τὸν μῦθον, μηδὲν τῆς γραφῆς μετακινήσας.

(2) Ἴσ. γρ. Μὴ τοὔναρ.

Μᾶλλον κατεῖχεν αὐτὸν ἡ λύπη πλέον.
Ὃς ἱςάμενος τοῦ λέοντος πλησίον,
Τούτῳ προσεῖπεν· Ὦ κάκιςον θηρίον,
Διὰ τὸ ὄναρ τὸ ψευδὲς τοῦ πατρός μου,
Ὃ αὐτὸς ἑώρακεν ἐν ὕπνοις μάτην,
Προσκατεκλείσθην φρουρᾷ τῇ γυναικείῃ.
Ἆ! τί δέ σοι - ἐγὼ ἄρτι ποιήσω;
Ταῦτα [δὲ] αὐτοῦ τῷ λέοντι εἰπόντος,
Ὑπεξέτεινε τὴν χεῖρα ὑπὸ βάτου (1),
Τοῦ λαβεῖν κλάδους, καὶ τὸν λέοντα καῦσαι (2).
Εὐθὺς δὲ σκόλοψ προσκρούσας τῷ δακτύλῳ,
Ἄλγη μὲν μέγα (3) ἐφλέγμανε τὸν νέον,
Καὶ παραυτίκα ἄλαλος κατεκλίθη.
Ὑπανάψας δὲ πυρετὸς ἐξαπίνης,
Θᾶττον ὁ νέος ἐξέλιπε τὸν βίον (4).

Ὁ μῦθος δηλοῖ, ὅτι ἃ μέλλει συμβῆναί τινι, τούτοις γενναίως ἐγκαρτερείτω, καὶ μὴ κατασοφιζέτω (5)· οὐ γὰρ ἐκφεύξει.

265. [ΦΛ. 77]. ΠΑΤΗΡ ΚΑΙ ΘΥΓΑΤΕΡΕΣ.

Ἔχων τις δύο θυγατέρας, τὴν μὲν μίαν κηπωρῷ ἐξέδωκε, τὴν δὲ ἑτέραν κεραμεῖ. Χρόνου δὲ προελθόντος, ἦλθεν εἰς τὴν τοῦ κηπωροῦ, καὶ ταύτην ἠρώτα πῶς ἔχει, καὶ ἐν τίνι αὐτῆς εἰσι τὰ πράγματα. Τῆς δὲ εἰπούσης, πάντα μὲν αὐτοῖς παρεῖναι, ἓν δὲ τοῦτο εὔχεσθαι τοῖς θεοῖς, ὅπως χειμὼν γένηται, καὶ

(1) Ἴσως ἐγράφετο, Ἐπεξέτεινε τὴν χεῖρα ἐπὶ βάτον.

(2) Ἴσ. γρ. Κροῦσαι, ὡς ὑπετόπασεν ὁ Φλωρεντινὸς ἐκδότης.

(3) Γραπτέον, Ἄλγει μεγάλῳ, ἢ οἰκειότερον τῷ βαρβάρῳ διασκευαςῇ, Ἄλγος μὲν μέγα.

(4) Ἐκ τοῦ πεζοῦ εἰς τὸ ςιχηρὸν μετήνεγκα τὸν μῦθον.

(5) Γραπτέον ἴσως, Κατασοφιζέσθω.

ὄμβρος, ἵνα τὰ λάχανα ἀρδευθῇ. Μετ' οὐ πολὺ δὲ (1), παρεγένετο καὶ πρὸς τὴν τοῦ κεραμέως, καὶ ἐπυνθάνετο καὶ αὐτὴν (2), πῶς ἔχει. Τῆς δὲ, τὰ μὲν ἄλλα μὴ ἐνδεῖσθαι εἰπούσης, τοῦτο δὲ μόνον εὔχεσθαι, ἵνα αἰθρία λαμπρὰ ἐπιμείνῃ, καὶ λαμπρὸς ἥλιος, ὡς ἂν ὁ κέραμος ξηρανθῇ, εἶπε πρὸς αὐτήν· Ἐὰν μὲν σὺ εὐδίαν ἐπιζητῇς, ἡ δὲ ἀδελφή σου χειμῶνα, ποτέρᾳ ὑμῶν συνεύξωμαι (3);

Οὕτως οἱ ἐν ταὐτῷ τοῖς ἀνομοίοις πράγμασιν ἐπιχειροῦντες, εἰκότως περὶ *τὰ* ἑκάτερα πταίουσιν.

266. [ΦΛ. 166]. ΠΟΙΜΗΝ ΠΑΙΖΩΝ.

ΠΟΙΜΗΝ, ἐξελαύνων αὐτοῦ τὴν ποίμνην ἀπό τινος κώμης ποῤῥωτέρω, διετέλει τοιαύτῃ παιδιᾷ χρώμενος. Ἐπιβοώμενος γὰρ τοὺς πολίτας ἐπὶ βοήθειαν, ἔλεγεν, ὡς λύκοι τοῖς προβάτοις ἐπῆλθοσαν. Δὶς καὶ τρὶς τῶν ἐκ τῆς κώμης ἐκπλαγέντων, καὶ ἐκπηδησάντων, εἶτα μετὰ γέλωτος ἀπαλλαγέντων, συνέβη τὸ τελευταῖον τῇ ἀληθείᾳ λύκους ἐπελθεῖν. Ἀποτεμνομένης (4) δὲ αὐτοῦ τῆς ποίμνης, καὶ αὐτοῦ ἐπιβοῶντος ἐπὶ βοηθείᾳ, ἐκεῖνοι ὑπολαβόντες αὐτὸν παίζειν κατὰ τὸ ἔθος (5), ἧττον ἐφρόντιζον. Καὶ οὕτως συνέβη αὐτὸν ἀπολέσαι τὰ πρόβατα.

Ὁ λόγος (6) δηλοῖ, ὅτι τοῦτο κερδαίνουσιν οἱ ψευδόμενοι, τὸ μηδὲ ὅταν ἀληθεύωσι πιςεύεσθαι.

---

(1) Ἴδε τὴν διόρθωσιν ἐν τοῖς πρόσθεν (σελ. [illegible]6).

(2) Οὐ γραφικὸν, ἀλλὰ τοῦ συγγραφέως ἁμάρτημα τὸ, Αὐτήν.

(3) Τῆς τοῦ πατρὸς ταύτης ἀπορίας πολλῷ ἀςειοτέρα καὶ μύθῳ μᾶλλον οἰκεία ἡ τῆς μητρὸς εὐχὴ (σελ. 176), Σοὶ μὲν αἰθρίαν, τῇ δὲ τῷ κηπωρῷ κ. τ. λ.

(4) Ἐκ διορθώσεως τοῦ Φλωρεντινοῦ ἐκδότου, ἀντὶ τοῦ, Ἀποτεμνόμενος.

(5) Διώρθωκα τρέψας τὸ, Ἦθος, εἰς τὸ, Ἔθος.

(6) Ἐγράφετο κακῶς, Ὅλως.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

267 [ΦΛ. 182]. ΤΟΥ ΠΙΘΗΚΟΣ ΠΑΙΔΕΣ.

Τοὺς πιθηκάς φασι δύο τίκτειν, καὶ τὸ μὲν ἓν τῶν γεννημάτων ϛέργειν, καὶ μετ' ἐπιμελείας τρέφειν, τὸ δὲ ἕτερον μισεῖν, καὶ ἀμελεῖν. Συμβαίνει δὲ κατά τινα θείαν τύχην, τὸ μὲν ἐπιμελούμενον ἡδέως, καὶ ἀγκαλιζόμενον παρὰ τῆς μητρὸς, ἀποπνίγεσθαι, τὸ δὲ ὀλιγωρούμενον ἐκτελειοῦσθαι.

Ὁ λόγος (1) δηλοῖ, ὅτι πάσης προνοίας ἡ τύχη δυνατωτέρα καθέϛηκε.

ΑΛΛΩΣ (2).

Δύο τέκνων μητέρα τὸν πίθηκον εἶναι ἀκήκοα. Ἀμφοτέροις οὖν κληρονομίαν χαρίζεσθαι, τῷ μὲν, τὸ μῖσος, τῷ δὲ, τὴν οἰκείαν ἀγάπησιν, δι' ἧς καὶ ἀποκτείνει τὸ πεφιλημένον, συχνῶς περιπτυσσομένη καὶ περιλείχουσα· τὸ δὲ μισηθὲν, [εἰς] τὰς ἐρήμους φοιτῆσαν, διέδρασε τὸν κίνδυνον, κρείττω ἡμῖν τῆς κακίϛης φιλίας τὴν ἔχθραν ἐλέγχουσα.

276. [ΦΛ. 179] ΣΦΗΞ ΚΑΙ ΟΦΙΣ.

Σφὴξ ποτε ἐπὶ κεφαλὴν ὄφεως καθίσας, καὶ συνεχῶς τοῖς κέντροις πλήσσων, ἐχείμαζεν. Ὁ δὲ, περιώδυνος γενόμενος, καὶ τὸν ἐχθρὸν οὐκ ἔχων ἀμύνασθαι καὶ ἀποσοβῆσαι, ὡς ἐθεάσατο ἅμαξαν μεϛὴν ξύλων, ἀμηχανῶν, τὴν κεφαλὴν (3) τῷ τροχῷ

---

(1) Ἐγράφετο κακῶς, Ὅλως.

(2) Ἐκ τῶν τῆς ἐν Παρισίοις Φιλολογικῆς Ἀκαδημίας Σημ. καὶ Παρεκβ. (Τόμ. Β, σελ. 724).

(3) Ἔγραψα, Τὴν κεφαλὴν, ἐκ τῶν ἀνωτέρω (σελ. 181) ἀντὶ τοῦ, Τῇ κεφαλῇ.

ὑπέθηκε, φάσκων· Συντελευτῶ κἀγὼ τῷ ἐχθρῷ μου. Καὶ οὕτω τῷ σφηκὶ συναπέθανεν.

Ὁ λόγος (1) δηλοῖ *πρὸς* τοὺς συναποθνήσκειν τοῖς ἐχθροῖς ὑπομένοντας.

279. ΤΟΞΟΤΗΣ ΚΑΙ ΛΕΩΝ (2).

Ἀνῆλθέ τις ἐν ὄρει κυνηγίου χάριν. Ἰδόντα δὲ αὐτὸν ἅπαντα τὰ θήρια μακρὰν ᾤχοντο. Λέων δὲ μόνος πρὸς μάχην μετεκαλεῖτο αὐτόν. Ὁ δὲ, τὸ βέλος ἀφεὶς, καιρίως τὸν ἰσχυρὸν ἐτραυμάτισεν, εἰπὼν, Ἴδε τὸν ἐμὸν ἄγγελον πρῶτον, οἷός ἐςι, καὶ αὖθις δὴ τὴν ἐμὴν ἰσχὺν δοκιμάσεις. Ὁ δὲ Λέων, βληθεὶς, φεύγειν ὥρμησεν ἀμεταςρεπτί. Ἀλώπηξ δὲ τούτῳ συνήντησε, καὶ θαῤῥεῖν συνεβούλευεν. Ἔφη δὲ οὗτος, Οὐδαμῶς με πλανήσεις δόλιε· ἐπεὶ γὰρ τοιοῦτον πικρὸν ἄγγελον ὁ ἄνθρωπος ἔχει, ἐὰν αὐτός μοι ἐπέλθῃ, τί ἂν ποίησω;

Ὅτι ἐκ τῆς ἀρχῆς τὸ τέλος δεῖ προϊδεῖν, καὶ ἑαυτοὺς περισώζειν.

284. [ΦΛ. 82]. ΧΑΛΚΕΥΣ ΚΑΙ ΚΥΝΑΡΙΟΝ.

Ἦν τις χαλκεὺς κυνάριον ἔχων. Τούτου χαλκεύοντος, τὸ κυνάριον ἐκοιμᾶτο· καὶ αὖ πάλιν ἐσθίοντος, [οὐχ] ὁμοίως ἐκοιμᾶτο. Οὗτος ἐπέῤῥιψεν ὀςοῦν, ταῦτα λαλῶν· Ὦ ταλαίπωρον κυνάριον ὑπνῶδες, τί σοι ποιήσω ὄκνῳ κατεχομένῳ; ὅτε μὲν γὰρ τὸ ἀκμόνιόν μου προσκρούσω, ἐπανακλίνεις ἑαυτὸν ἐπὶ κραββάτου· ὅτε δὲ πάλιν τοὺς ὀδόντας κινήσω, [εὐθὺς ἐγείρῃ (3)] καὶ τὴν κέρκον μοι σείεις.

Ὁ μῦθος οὗτος τοὺς ὑπνώδεις, καὶ ἀργώδεις, καὶ εἰς ἀλλοτρίων πόνους ἀποβλέποντας ἐλέγχει.

---

(1) Ἐγράφετο πάλιν κακῶς, Ὅλως.—(2) Ἐκ τῶν ἐκ τῆς Παρισ. Φιλολογ. Ἀκαδημ. Σημ. καὶ Παρεκβ. (Τόμ. Β, σελ. 706).—(3) Διώρθωκα τὸν μῦθον ἐκ τῶν πρόσθεν (σελ. 185) προσθεὶς τὰς δύο ταύτας λέξεις,

286. [ΦΛ. 190]. ΧΕΛΙΔΩΝ ΕΝ ΔΙΚΑΣΤΗΡΙΩ.

Χελιδὼν, ἔν τινι δικαςηρίῳ νεοττοποιησαμένη, ἐξέπτη. Δράκων δὲ προσερπύσας κατέφαγεν αὐτῆς τοὺς νεοττούς. Ἡ δὲ, ἐπανελθοῦσα, καὶ τὴν καλιὰν κενὴν εὑροῦσα, περιπαθῶς ἐςέναζεν. Ἑτέρας δὲ χελιδόνος παρηγορεῖν αὐτὴν πειρωμένης, καὶ λεγούσης, οὐ μόνην τέκνα ἀποβαλεῖν αὐτὴν συμβέβηκεν, ὑπολαβοῦσα ἔφη· Ἀλλ' ἔγωγε οὐ τοσοῦτον ἐπὶ τοῖς τέκνοις κλαίω, ἀλλ' ὅτι ἐν τούτῳ τῷ τόπῳ ἠδίκημαι, ἐν ᾧ οἱ ἀδικούμενοι βοηθείας τυγχάνουσι.

Ὁ λόγος (1) δηλοῖ, ὅτι χαλεπώτεραι γίνονται τοῖς πάσχουσιν αἱ συμφοραὶ, ὅταν ὑφ' ὧν ἥκιςα προσεδόκησαν πάσχουσι.

287. [ΦΛ. 173]. ΧΕΛΩΝΗ ΚΑΙ ΛΑΓΩΟΣ.

Ποδῶν χελώνης λαγωὸς κατεγέλα.
Ἡ δὲ πρὸς αὐτὸν ταῦτα γελῶσα ἔφη·
Ἐγὼ τὸν ταχὺν σὲ ἐν δρόμῳ νικήσω·
Ὁ δὲ ἔφησε ταύτην μὴ ἀληθεύειν·
Ὅμως *φησίν*, ἔριζε καὶ γνώσῃ μου τοὺς πόδας.
Τίς δὲ τὸν ὅρον προςάξειεν, ἀντεφύσησεν ἡ χελώνη (2),

ὥσπερ καὶ ἀνωτέρω τὴν ἄρνησιν. Ὅρα δέ μοι καὶ πάλιν ἴχνη ςιχηρᾶς διασκευῆς,

Ὅτε δὲ πάλιν τοὺς ὀδόντας κινήσω,
Εὐθὺς ἐγείρῃ, καὶ τὴν κέρκον μοι σείεις.

(1) Ἐγράφετο κακῶς, Ὅλως.

(2) Ἴσ. ἐγράφετο,

Τὶς δὲ τὸν ὅρον προςάξειεν, ἔφη χελώνη,

ἢ,

Τίς δ' ὅρον προςάξει, ἀντέφησ' ἡ χελώνη.

Καὶ τὰ τῆς νίκης τίς ἡμῖν ἐπιδώσει;
Τὸ γοῦν φρόνιμον τῶν ζώων, ἡ ἀλώπηξ,
Συνετάξατο τὴν ἀρχὴν καὶ τὸ τέλος,
Ἅμα τὸν δρόμον καὶ τὸν τόπον δείξασα.
Ἡ οὖν χελώνη, μηδόλως κατοκνοῦσα (1),
Εὐθὺς ὁδεύουσα εἰς τὸν ὅρον ἀνῆλθεν.
Ὁ δὲ λαγωὸς, ποσὶ θαῤῥῶν, ἐφύπνου.
Μετὰ δὲ ταῦτα, ἐξαναστὰς τῆς κοίτης,
Δρομαῖος ἧκεν εἰς τὸν τόπον τοῦ ὅρου,
Ὅστις εὗρε — τὴν χελώνην ὑπνοῦσαν.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλαὶ φύσεις ἀνθρώπων εἰσὶν εὐφυεῖς, ἀλλ' ἐκ ῥᾳθυμίας καὶ ὄκνου ἀπόλλυνται (2)· ἐκ δὲ σπουδῆς καὶ μακροπονίας πολλοὶ περιεγένοντο τῆς φύσεως.

288. [ΦΛ. 168]. ΠΡΟΒΑΤΟΝ ΠΡΟΣ ΚΕΙΡΟΝΤΑ.

Πρόβατον ἀφυῶς κειρόμενον, ἔφη, εἰ μὲν ἔρια ζητεῖς, ἀνωτέρω τέμνε· εἰ δὲ κρεῶν ἐπιθυμεῖς, ἅπαξ με καταθύσας, τοῦ κατὰ μικρὸν βασανίζειν ἀπάλλαξον.

Πρὸς τοὺς ἀφυῶς τὴν τέχνην παραφερομένους (3), ὁ λόγος ἁρμόδιός ἐστι.

291. [ΦΛ. 197]. ΨΙΤΤΑΚΟΣ ΚΑΙ ΓΑΛΗ.

Ψιττακόν τις ἀγοράσας, ἀφῆκεν ἐπὶ τῆς οἰκίας νέμεσθαι. Ὁ δὲ, τῇ ἡμερότητι χρησάμενος, ἀποπηδήσας ἐπὶ τὴν ἑστίαν ἐκάθισε, κἀκεῖθεν τερπνὸν ἐκεκράγει. Γαλῆ δὲ, θεασαμένη, ἐπυν-

(1) Ἐγράφετο, Κατοκνήσασα.

(2) Ἐγράφετο, Ἀπόλλονται.

(3) Ἴσως ἔγραψεν ὁ διασκευαστὴς, Τῇ τέχνῃ προσφερομένους· ἴσως μέντοι καὶ οὕτως ἐξέφρασε διὰ τὸ ἀγνοεῖν ὅπως δεῖ γράφειν.

θάνετο αὐτὸν (1), τίς ἐστι, καὶ πόθεν ἦλθεν. Ὁ δὲ εἶπεν· Ὁ δεσπότης με νεωστὶ ἐπρίατο. Οὐκοῦν, ἰταμώτατε ζώων, ἔφη, πρόσφατος ὢν ταῦτα (2) βοᾷς, ὅτε ἐμοὶ τῇ οἰκογενεῖ οὐκ ἐπιτρέπουσιν οἱ δεσπόται· ἀλλ' ἐάν ποτε τοῦτο πράξω, προσαγανακτοῦντες ἀπελαύνουσί με; Ὁ δὲ ἀπεκρίνατο λέγων· Οἰκοδέσποινα, ἀλλὰ σύ γε βάδιζε μακράν· οὐ γὰρ ὁμοίως δυσχεραίνουσιν οἱ δεσπόται ἐπὶ τῇ ἐμῇ φωνῇ, καὶ ἐπὶ τῇ σῇ.

Ὁ μῦθος οὗτος πρὸς ἄνδρα φιλόψογον, ἑτέροις ἀεὶ αἰτίας προσάπτειν ἐπιχειροῦντα.

292. [ΦΛ. 196] ΑΝΘΡΩΠΟΣ ΚΑΙ ΨΥΛΛΑ.

Ψύλλα δέ ποτε πολλά τινι ἠνώχλει.
Καὶ δὴ συλλαβὼν, Τίς εἶ [σὺ], ἀνεβόα,
Ὅτι πάντα μου μέλη κατεβοσκήσω,
Εἰκῇ καὶ μάτην ἐμὲ καταναλίσκων;
Ἡ δὲ ἐβόα· Οὕτως ζῶμεν, μὴ κτείνῃς (3).
Μέγα γὰρ κακὸν οὐ δύναμαι ποιῆσαι.
Ὁ δὲ, γελάσας, πρὸς αὐτὴν οὕτως ἔφη·
Ἄρτι τεθνήξῃ χερσί μου ταῖς ἰδίαις·
Ἅπαν γὰρ κακὸν, οὐ μικρὸν οὐδὲ μέγα,
Οὐδ' ὅλως πρέπει καθόλου τοῦ φῦναι (4).

Ὁ μῦθος δηλοῖ, ὅτι ὁ κακὸς οὐ πρέπει ἐλεηθῆναι, κἂν μέγας ᾖ, κἂν μικρός.

---

(1) Οὐ γραφικὸν, ἀλλ' αὐτοῦ τοῦ Μυθογράφου ἁμάρτημα τὸ, Αὐτὸν, ἀντὶ τοῦ, Αὐτοῦ.

(2) Γράφε, Τοιαῦτα, ὥσπερ ἐν τοῖς πρόσθεν (σελ. 190)· ἴσως γε μὴν ὧδέ τε κἀκεῖ ἄμεινον τὸ, Τοσαῦτα.

(3) Ἴσ. γρ. κατὰ τὰ πρόσθεν (σελ. 191) Ἡ δὲ ἐβόα, Ὦ οὗτος, σῶζέ με, μὴ κτείνῃς.

(4) Ἀποκατέστησα τὴν γραφὴν τοῦ ἀντιγράφου ἀναγκαίαν οὖσαν εἰς

296.

296. ΤΑΥΡΟΙ ΤΡΕΙΣ ΚΑΙ ΛΕΩΝ (1).

Ἐνέμοντο τρεῖς μετ' ἀλλήλων βόες. Λέων δὲ τούτους φαγεῖν θέλων, διὰ τὴν ὁμόνοιαν ἐδειλία· αἱμύλοις δὲ λόγοις τούτους διαχωρίσας, μεμονωμένους τούτων ἕνα καθ' ἕνα εὑρὼν, ἀδεῶς ἤσθιεν.

300. [ΦΛ. 154]. ΒΑΤΡΑΧΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.

Ὄντος ποτὲ βατράχου ἐν τῇ λίμνῃ, καὶ τοῖς ζώοις πᾶσιν ἀναβοήσαντος, ἐγὼ ἰατρός εἰμι φαρμάκων ἐπιςήμων, ἀλώπηξ ἀκούσασα ἔφη· Πῶς σὺ ἄλλους σώσεις, σαυτὸν χωλὸν ὄντα μὴ θεραπεύων (2);

ὁ μῦθος δηλοῖ, ὅτι ὁ παιδείας ἀμύητος ὑπάρχων, πῶς ἄλλους παιδεῦσαι δυνήσεται;

ΑΛΛΩΣ. (3).

Ὄντος δέ ποτε βατράχου ἐν τῇ λίμνῃ,
Ἀνεβόησε πᾶσι τοῖς ζώοις, λέγων·

τὸν ἀπαρτισμὸν τῶν δώδεκα συλλαβῶν τοῦ ςίχου (εἰς γὰρ ςίχους καὶ τοῦτον μετεσκεύακα τὸν μῦθον, ἐν πεζοῦ λόγου τέως γραφόμενον σχήματι), ἀνθ' ἧς ὁ Φλωρεντινὸς ἐκδότης ἔγραψεν, ὡς ἐν τοῖς πρόσθεν (σελ. 191), Φῦναι.

(1) Ἐκ τῶν τῆς ἐν Παρισ. Φιλολ. Ἀκαδ. Παρ. καὶ Σημ. (σελ. 729).

(2) Παραπλήσιος τῷ ἀνωτέρω (σελ. 77) ἐπιγραφομένῳ, Σκώληξ καὶ Ἀλώπηξ. Λέλειπται δὲ κἀν τούτῳ δωδεκασυλλάβων ςίχων ἴχνη. Αὐτίκα, μικρὰ διορθώσας, εὑρήσεις τὸν πρῶτον καὶ τρίτον,

Ὄντος [δὲ] ποτε βατράχου ἐν τῇ λίμνῃ,
Ἰατρός εἰμι φαρμάκων ἐπιςήμων.

(3) Ἐκ τῶν Συμμίκτ. φιλολογικ. (Λειψ. 1809, Μερ. Α, σελ. 47) παρείληφα τὸν μῦθον, μικρὰ τῆς γραφῆς μεταποιήσει ἀποκαταςήσας

Ἰατρός εἰμι φαρμάκων ἐπιςήμων.
Καὶ πῶς, φησιν ἀλώπηξ, [τοὺς] ἄλλους σώσεις,
Σεαυτὸν χωλὸν ὄντα μὴ θεραπεύων;

301. [φλ. 121]. ΜΥΣ ΑΡΟΥΡΑΙΟΣ ΚΑΙ ΜΥΣ ΕΝ ΟΙΚΩ.

Μῦς ἀρουραῖος τὸν ἐν οἴκῳ ἐφίλει.
Ὁ δὲ τοῦ οἴκου, κληθεὶς ὑπὸ τοῦ φίλου,
Ἦλθεν εὐθέως δειπνήσων εἰς ἀρούρας.
Ὁ δὲ, ἐσθίων κριθὰς καὶ σῖτον, ἔφη·
Γίνωσκε, φίλε, μυρμήκων ζῇς τὸν βίον.
Ἐπείπερ δ' ἐμοὶ ἀγαθῶν πλῆθός ἐςι,
[Ἐμοὶ] σύνελθε, καὶ ἀπολαύσεις πάντων.
Καὶ παραχρῆμα ἀπῄεσαν οἱ δύο.
Καὶ ὃς ἐπεδείκνυεν τὰ ὄσπριά τε καὶ σῖτον (1),
Φοίνικας ἅμα, τυρὸν, μέλι, ὀπώρας.
Τοῦ δὲ τερφθέντος, αὐτὸν εὐλόγει σφόδρα,
Καὶ τὴν ἑαυτοῦ κατεμέμφετο τύχην.
Βουλομένων δὲ ἀπάρξασθαι ἐσθίειν,
Ἤνοιξεν εὐθὺς ἄνθρωπός τις τὴν θύραν.
Φοβηθέντες δὲ οἱ δείλαιοι τοῦ κτύπου (2),
Εἰσεπήδησαν εὐθέως εἰς τὰς ῥάγας (3).

εἰς τοὺς ἀρχαίους ςίχους. Τὸν μὲν οὖν πρῶτον ςίχον ἐκ τοῦ προτέρου μύθου ἀνεπλήρωσα· τῷ δὲ τετάρτῳ προσέθηκα τὸ ἄρθρον, καὶ μετέβαλον τὸ Σαυτὸν τοῦ πέμπτου εἰς τὸ Σεαυτόν.

(1) Ἄρρυθμος παντάπασιν ὁ ςίχος.

(2) Ἴσ. γρ. Τὸν κτύπον· Ἴσως μέντοι καὶ ὡς ἐλλειπτικῇ τοῦ Ἕνεκα ἐχρήσατο ὧδε τῇ γενικῇ.

(3) Ῥάγας, βαρυτόνως εἴρηκε διὰ τὸν ῥυθμὸν τοῦ ςίχου, ἀντὶ τοῦ, Ῥαγάς (παρὰ τὸ Ῥαγή), ὅθεν τὸ ἐν τῇ συνηθείᾳ Ῥαγίζω.

Ὡς δὲ ἤθελον πάλιν ἰσχάδας ἆραι,
Ἧκεν ἕτερος τοῦ λαβεῖν τι τῶν ἔνδον.
Οἱ δὲ [καὶ] πάλιν θεασάμενοι τοῦτον,
Εἰσεπήδησαν κρυβέντες ἐπὶ τρώγλης.
Ὁ δ' ἀρουραῖος, ὀλιγωρῶν τῇ πείνῃ (1),
Ἀνεστέναξε, καὶ πρὸς τὸν ἄλλον ἔφη·
Χαῖρε σὺ, φίλε, κατεσθίων εἰς κόρον,
Ἐπαπολαύων αὐτὰ μετ' εὐφροσύνης,
Καὶ τοῦ κινδύνου, καὶ τοῦ πολλοῦ τοῦ φόβου·
Ἐγὼ δ' ὁ τάλας, κριθὰς καὶ σῖτον τρώγων,
Ζήσω ἄφοβος, μηδενὸς ὑποπτεύων (2).

Ὁ μῦθος δηλοῖ, ὅτι τὸ λιτῶς διάγειν, καὶ ζῆν ἀταράχως, συμφέρει, ἢ τὸ τρυφᾶν ἐν φόβῳ μετ' ὀδύνης.

307. ΓΕΩΡΓΟΣ ΚΑΙ ΑΕΤΟΣ (3).

Γεωργῷ τινι ἀετὸς ἐθηρεύθη, καὶ γνωσθεὶς ἀπελύθη. Ὁ δὲ, τοῦ καλοῦ μὴ ἐπιλαθόμενος, τὸν γεωργὸν ποτὲ ὑπὲρ τοίχου ὁρῶν καθήμενον εὐολίσθου, τὸ ἐπὶ τῆς κεφαλῆς ἐκείνου ἀφείλετο σιμικίνθιον, τῆς καθέδρας τοῦτον ἐξεγεῖραι βουλόμενος· ὡς καὶ (4) κατώρθωσε. Μετὰ γὰρ τὸ καταδιῶξαι τοῦτον, ὁ εὐεργέτης ἀπέρριψε τὸ ἀναληφθὲν, πληρεστάτην ἀντιδοὺς τὴν ἀντίχαριν· οὐ μακρῶς γὰρ ἔμελλε συμπατεῖσθαι τῇ τοῦ τοίχου καταβολῇ ὁ ἀνήρ. Μικρὸν γὰρ ἐκείνου ὑποχωρήσαντος, ἐπιχθόνιον ἐγεγόνει τὸ ἀνύψωμα τῆς καθέδρας.

Ὅτι τοὺς ἀγαθόν τι πεπονθότας ὁμοίως ἀντιποιεῖσθαι χρή.

---

(1) Ἴσ. γρ. Τῆς πείνης.—(2) Ἐγράφετο κακῶς, Ἐποπτεύων. Καὶ τὸ, Μηδενὸς, δὲ εἰς τὸ Μηδὲν, ἂν ἔτρεψα, εἰ μὴ διὰ τὸ δωδεκασύλλαβον τοῦ στίχου· καὶ τοῦτον γὰρ πεζῇ γεγραμμένον εἰς στίχων τάξιν κατεχώρισα.—(3) Ἐκ τῶν τῆς ἐν Παρισ. Φιλολογ. Ἀκαδημ. Σημ. καὶ Παρεκβ. (σελ. 718).—(4) Ἴσ. γρ. Ὃ καί.

309. [ΦΛ. 162]. ΠΙΘΗΞ ΚΑΙ ΑΛΙΕΙΣ.

Πίθηξ, ἔν τινι ὑψηλῷ δένδρῳ καθήμενος, ὡς ἐθεάσατο ἁλιεῖς ἐπί τινα ποταμὸν σαγήνην βαςάζοντας (1), παρετήρει τὰ ὑπ᾽ αὐτῶν γινόμενα. Καὶ δὴ, τούτων τὴν σαγήνην ἐασάντων, καὶ μικρὸν ὑποχωρησάντων, τοῦ φαγεῖν, καταβὰς ἀπὸ τοῦ δένδρου, ἐπειρᾶτο μιμεῖσθαι αὐτούς· φασὶ γὰρ μιμητικὸν εἶναι τὸ ζῶον τοῦτο. Ἐφαψάμενος δὲ τῶν δικτύων, καὶ συλληφθεὶς, ἐκινδύνευε πνιγῆναι. Ὁ δὲ πρὸς ἑαυτὸν ἔφη· Ἀλλ᾽ ἔγωγε δίκαια πέπονθα· τί γὰρ, ἁλιεύειν μὴ μαθὼν, τούτῳ ἐπεχείρουν;

Ὁ λόγος (2) δηλοῖ, ὅτι ἡ τῶν μηδὲν προσηκόντων ἐπιχείρησις, οὐ μόνον ἀσύμφορος, ἀλλὰ καὶ ἐπιβλαβής ἐςι.

310. [ΦΛ. 167]. ΠΑΙΣ ΛΟΥΟΜΕΝΟΣ.

Παῖς ποτε λουόμενος ἔν τινι ποταμῷ, ἐκινδύνευσεν ἀποπνιγῆναι. Ἰδὼν δέ τινα ὁδοιπόρον, τοῦτον ἐπὶ βοηθείᾳ ἐκάλει. Ὁ δὲ ἐμέμφετο τῷ παιδὶ, ὡς τολμηρῷ. Τὸ δὲ μειράκιον εἶπε πρὸς αὐτόν· Ἀλλὰ νῦν μοι βοήθει, ὕςερον δὲ σωθέντι μέμψῃ.

Ὁ λόγος (3) εἴρηται πρὸς τοὺς ἀφορμὴν καθ᾽ ἑαυτῶν διδόντας ἀδικεῖσθαι.

311. [ΦΛ. 375]. ΑΙΣΩΠΟΣ ΕΝ ΝΑΥΠΗΓΙΩ.

Αἰσωπός ποτε ὁ λογοποιὸς, σχολὴν ἄγων, εἰς ναυπήγιον

---

(1) Ἴσ. γρ. Βάλλοντας.

(2) Ἐγράφετο κακῶς, Ὅλως.

(3) Ἐγράφετο κακῶς, Ὅλως. Τὸ δὲ ἐπιμύθιον τί βούλεται λέγειν, αὐτὸς ἂν εἰδείη ὁ τὸν μῦθον διασκευάσας· ὤφειλε γὰρ εἶναι, «Πρὸς » τοὺς παρακαίρως νουθετοῦντας ».

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

εἰσῆλθεν. Τῶν δὲ ναυπηγῶν σκωπτώντων (1) τε αὐτὸν, καὶ ἐκκαλουμένων εἰς ἀπόκρισιν, ὁ Αἴσωπος ἔλεγε· τὸ παλαιὸν χάος, καὶ ὕδωρ γενέϑαι· τὸν δὲ Δία (2) βουλόμενον καὶ τὸ γῆς ϛοιχεῖον ἀποδεῖξαι, παραινέσαι αὐτῇ ὅπως ἐπὶ τρεῖς ἐκροφήσῃ τὴν ϑάλασσαν. Κἀκείνη ἀρξαμένη τὸ μὲν πρῶτον τὰ ὄρη ἐξέφηνεν· ἐκ δευτέρου δὲ ἐκροφήσασα, καὶ τὰ πεδία ἀπεγύμνωσεν. Ἐὰν δὲ δόξῃ αὐτῇ καὶ τὸ τρίτον ἐκπιεῖν τὸ ὕδωρ, ἄχρηϛος ὑμῖν ἡ τέχνη γενήσεται.

Ὅτι οἱ τοὺς κρείττονας χλευάζοντες, λανϑάνουσι μειζόνως ἑαυτοῖς τὰς ἀνοίας (3) ἐξ αὐτῶν ἐπισπώμενοι.

315. [ΦΛ. 366]. ΟΙΣ ΠΡΟΣ ΝΟΜΕΑ ΚΑΙ ΚΥΩΝ.

Οἶς τις [ποτ'] εἶπε πρὸς νομέα τοιάδε·
Κείρεις μὲν ἡμᾶς, καὶ πόκους ἔχεις κέρσας,
Γάλα δ' ἀμέλγων (4) ἐϛί σοι φίλον πῆξαι.
Ἡμῶν δὲ τέκνα μῆλά σοι περισσεύσει (5)·
Πλέον δ' οὐδὲν ἡμῖν· ἀλλὰ καὶ τροφὴ γῆς
Πᾶσ' ἐν ὄρεσιν εὐθαλές τι γεννᾷ σοι (6),
Ὡραία βοτάνη, καὶ δρόσου γεμισθεῖσα.
Φέρβεις δ' ἂν (7) ἡμῖν ἐν μέσοις κύνα ταύτην,
Τρέφων, ὁποῖα σαυτὸν, εὐϑαλεῖ σίτῳ.

---

(1) Ἔγραψα ἐκ τῶν ἀνωτέρω (σελ. 205), Σκωπτώντων, ἀντὶ τοῦ, Σκοπούντων.

(2) Καλῶς ἄρα ποιῶν, προσέθηκα ἀνωτέρω (σελ. 205) Τὸ, Δία.

(3) Γράφε, Μείζονας ἑαυτοῖς ἀνίας, ὡς διώρϑωκα ἀνωτέρω (σελ. 205).

(4) Ἴσως γρ. Ἀμέλγοντ', κατὰ δοτικήν.

(5) Γραπτέον, Περισσεύει.

(6) Γράφε, Εὐϑαλέσι γεννᾶται.

(7) Γραπτέον οἶμαι, Αὖ, ἀντὶ τοῦ, Ἂν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

Ταῦθ' ὡς ἤκουσεν ἡ κύων, ἔφη τοῖα·
Εἰ μὴ παρήμην κἂν μέσοις ἐπολευόμην (1),
Οὐκ ἄν ποθ' ὑμεῖς ἔσχετ' ἄφθονον πόην.
Περιτρέχουσα δ' ἐγὼ πάντοθεν κωλύω
Δρηςῆρα λῃςὴν, καὶ λύκον διωκτῆρα (2).

Ὁ μῦθος πρὸς τοὺς τῇ τῶν πλησίον διαφθονουμένους εὐημερίᾳ ἐςὶν, ὅτε καὶ ὑπ' αὐτῶν ἐκείνων τὰ μέγιςα ὠφελοῦνται.

342. [ΦΛ. 353]. ΚΑΜΗΛΟΣ.

Κάμηλος ποταμὸν διέβαινεν ὀξὺ ῥέοντα. Ἀφοδεύσασα δὲ, καὶ τὴν κόπρον εὐθὺς ἔμπροσθεν ἰδοῦσα, διὰ τὸ ὀξὺ τοῦ ῥεύματος, εἶπε· Τί τοῦτο (3); τὰ ἐξόπισθέν μου, ἔμπροσθέν μου ὁρῶ διερχόμενα.

Τῇ πόλει, ἧς ἔσχατοι καὶ ἄφρονες κρατοῦσιν ἀντὶ τῶν πρώτων καὶ φρονίμων, ἁρμόζει ὁ μῦθος.

ΑΛΛΩΣ (4).

Διέβαινέ ποτε κάμηλος ποταμὸν ὀξὺ διαῤῥέοντα. Ἀφοδεύσασα (5) δὲ, καὶ τὴν κόπρον αὐτῆς ἔμπροσθεν κατιδοῦσα τῇ τοῦ ὕδατος ὀξυτάτῃ καταῤῥοῇ, Τί τοῦτο; ἔφη, τὰ ἐξόπισθέν μου νῦν ἔμπροσθέν μου τεθέαμαι.

Ὅτι πολλάκις οἱ ἄτιμοι τῶν τιμίων προάγουσι.

---

(1) Ἴσως γρ. Πολευόμην, ἀνανξήτως.

(2) Εἰς ςίχους καὶ τοῦτον ἐκ τοῦ πεζοσχήμου μετεκόσμησα χαρακτῆρος.

(3) Ἀμείνων ἥδε ἡ γραφὴ τῆς ἐν τοῖς πρόσθεν (σελ. 223) Εἶπέ τι τοιοῦτο.

(4) Ἐκ τῶν Σημ. καὶ Παρεκβ. τῆς ἐν Παρισ. Φιλολογ. Ἀκαδ. Τόμ. Β, (σελ. 720).

(5) Ἐγράφετο, Ἀμφοδεύσασα.

350. [ΦΛ. 350]. ΗΛΙΟΣ ΓΑΜΩΝ ΚΑΙ ΒΑΤΡΑΧΟΙ.

Ηλίῳ ποτὲ γάμος θέρους ὑπῆρχε.
Πάντα δὲ τὰ ζῶα ἔχαιρον (1) ἐπὶ τούτῳ.
Οἱ δὲ βάτραχοι ἠγάλλοντο μεγάλως
Ἐπὶ τῇ λαμπρᾷ τραπέζῃ τοῦ ἡλίου.
Εἷς δὲ ἐξ αὐτῶν, μέγα ἀναστενάξας,
Ἀνεκέκραγε, καὶ πρὸς αὐτοὺς ἐβόα·
Ὦ ἀνόητοι, καὶ βραδεῖς τῇ καρδίᾳ (2),
Εἰς τί βοᾶτε, μεγάλα (3) κεκραγότες,
Ὡς ἐπ' ἀγαθῷ τινι προσδοκωμένῳ;
Εἰ νῦν ἥλιος, μονώτατος ὑπάρχων,
Ὕλην ἅπασαν, καὶ τὴν γῆν καταφλέγει,
Εἰ γήμας παῖδα ἀνθόμοιον ποιήσει,
Τί πάθωμεν ἡμεῖς καλὸν, εἴπετέ μοι.

Ὅτι πολλοὶ, ὧν τὸ φρόνημα κουφότερον ὑπάρχει, χαίρουσιν ἐπ' ἀδήλοις.

356. ΔΡΥΕΣ. (4).

Αἱ δρύες κατεμέμφοντο τοῦ Διὸς, λέγουσαι, ὅτι Μάτην παρήχθημεν ἐν τῷ βίῳ· ὑπὲρ πάντα γὰρ τὰ φυτὰ βιαίως τὴν τομὴν ὑφιστάμεθα. Καὶ ὁ Ζεὺς, Ὑμεῖς αὐταὶ αἴτιοι τῆς τοιαύτης ἑαυταῖς καθεστήκατε συμφορᾶς· εἰ μὴ γὰρ τοὺς στειλειοὺς

(1) Ἴσ. γρ. Τὰ ζῶ' ἔχαιρον.

(2) Ἐκ τοῦ Εὐαγγελικοῦ ῥητοῦ (Λουκ. κδ', 25), Ὦ ἀνόητοι καὶ βραδεῖς τῇ καρδίᾳ, ἔπλασε δωδεκασύλλαβον στίχον ὁ ἀνόητος καὶ βραδὺς τῇ καρδίᾳ γραμματικός.

(3) Ἐγράφετο, Μέγα.

(4) Ἐκ τῶν Σημ. καὶ Παρεκβολ. τῆς ἐν Παρισ. Φιλολογ. Ἀκαδημ. Τομ. Β, σελ. 701.

ἐγεννᾶτε, καὶ πρὸς τεκτονικὴν καὶ γεωργικὴν χρήσιμοι ἦτε, οὐκ ἂν πέλεκυς ὑμᾶς ἐξέκοπτεν.

Αἴτιοί τινες ἑαυτοῖς τῶν κακῶν καταςάντες, τὴν μέμψιν ἀφρόνως τιθέασι τῷ θεῷ.

357. [ΦΛ. 376]. ΤΑΩΝ ΚΑΙ ΓΕΡΑΝΟΣ.

Ταὼν [δέ] ποτε γεράνου κατεγέλα,
Ἐκκωμῳδοῦσα τὴν χροιὰν (1) τοῦ ὀρνέου,
Λέγουσα πάλιν (2) μυκτηρισμοὺς ἀθέσμους,
Ὡς αὐτὴ (3) χρυσὸν καὶ πορφύραν φοροῦσα,
Ὥσπέρ τις ἄναξ [οὖσα] φησὶ, τυγχάνω.
Ὁ δὲ πρὸς αὐτὴν τοιαῦτα οὕτως λέγει·
Ἀλλ' ἐγὼ φωνῶ ἔγγιςα τῶν ἀςέρων,
Καὶ εἰς οὐρανῶν ἀνίπταμαι τὰ ὕψη,
Σὺ δ', ὡς ἀλέκτωρ, κάτωθεν βηματίζεις,
Μετὰ ὀρνίθων καὶ τῶν ἀλεκτορίδων (4).

Ὅτι κρεῖσσόν ἐςι περίβλεπτόν τινα εἶναι ἐν πενιχρᾷ ἐσθῆτι, ἢ ζῆν ἀδόξως ἐν πλούτῳ γαυρούμενον.

358. [ΦΛ. 356]. ΛΕΩΝ ΑΛΩΠΗΞ ΚΑΙ ΕΛΑΦΟΣ.

Λέων νοσήσας ἔκειτο ἐν φάραγγι. Τῇ προσφιλεῖ δὲ ἀλώπεκι, ᾗ προσωμίλει, εἶπεν· Εἰ θέλεις ὑγιᾶναί με, καὶ ζῆν, τὴν ἔλαφον τὴν μεγίςην, τὴν εἰς τὸν δρυμῶνα οἰκοῦσαν, τοῖς γλυκέσι σου λόγοις ἐξαπατήσασα, ἄγε εἰς ἐμὰς χεῖρας· ἐπιθυμῶ γὰρ αὐτῆς ἐγκάτων καὶ καρδίας. Ἡ δὲ ἀλώπηξ ἀπελθοῦσα εὗρε τὴν ἔλαφον σκιρτῶσαν ἐν ταῖς ὕλαις. Προσπαίσασα δὲ

(1) Ἔγραψα Χροιάν, ἀντὶ τοῦ Χρείαν.—(2) Ἴσ. γρ. Πολλούς.—(3) Ἐγράφετο δεικτικῶς, Αὕτη.—(4) Εἰς ςίχους καὶ τοῦτον μετεποίησα ἐκ τῆς κατὰ συνέπειαν πεζικῆς γραφῆς. Τὸ δὲ ἐπιμύθιον οὐδὲν πρὸς τὸν μῦθον.

αὐτῇ καὶ χαίρειν εἰποῦσα, ἔφη· Ἀγαθά σοι ἦλθον μηνῦσαι. Οἶδας ὡς ὁ βασιλεὺς ἡμῶν γείτων μοί ἐςι· νοσεῖ δὲ, καὶ ἐγγύς ἐςι τοῦ θνήσκειν. Ἐβουλεύετο οὖν ποῖον τῶν θηρίων μεθ' αὐτὸν (1) βασιλεύσει. Ἔφη δὲ, ὅτι σῦς μέν ἐςιν ἀγνώμων, ἄρκτος δὲ νωθρὰ, πάρδαλις δὲ θυμώδης, τίγρις ἀλαζών· ἡ ἔλαφος ἀξιωτάτη ἐςὶν εἰς βασιλέα, ὅτι ὑψηλή ἐςι τὸ εἶδος, πολλὰ δὲ ἔτη ζῇ, καὶ τὸ κέρας αὐτῆς ὄφεσι φοβερόν. Καὶ τί σοι πολλὰ λέγω; ἐκυρώθης βασιλεύειν· τί μοι ἔςαι πρώτῃ σοι εἰπούσῃ; Ἀλλ' εὖξαι μοι σπευδούσῃ, μὴ πάλιν με ζητήσῃ· χρῄζει γάρ με σύμβουλον ἐν πᾶσιν. Εἰ δὲ ἐμοῦ τῆς γραὸς ἀκούσεις, συμβουλεύω καὶ σὲ ἐλθεῖν, καὶ προσμένειν τελευτῶντι αὐτῷ. Οὕτως εἶπεν ἡ ἀλώπηξ. Τῆς δὲ ὁ νοῦς ἐτυφλώθη (2) τοῖς λόγοις· καὶ ἦλθεν εἰς τὸ σπήλαιον, μὴ γινώσκουσα τὸ μέλλον. Ὁ δὲ λέων (3) ---- Ἐγὼ δὲ μόνη σοι δουλεύσω. Οὕτως ἀπατήσασα τὴν δειλαίαν, ἔπεισε δεύτερον ἐλθεῖν. Ἐπεὶ δὲ εἰς τὸ σπήλαιον εἰσῆλθεν, ὁ μὲν λέων δεῖπνον εἶχε, πάντα τὰ ὀςᾶ, καὶ μυελοὺς, καὶ ἔγκατα αὐτῆς καταπίνων· ἡ δὲ ἀλώπηξ εἱςήκει ὁρῶσα. Καρδίαν δὲ ἐκπεσοῦσαν ἁρπάζει λαθραίως, τοῦ κόπου κέρδος ταύτην φαγοῦσα. Ὁ δὲ λέων, ἅπαντα ἐρευνήσας, μόνην καρδίαν ἐπεζήτει. Ἀλώπηξ δὲ, μηκόθεν (4) ςᾶσα, ἔφη·

---

(1) Ἐν μὲν τοῖς πρόσθεν (σελ. 231) ἐγράφετο, Μετ' αὐτὸν, τοῦ μὲν, Ποῖον, κατ' ὀνομαςικὴν, τοῦ δὲ, Βασιλεύσει, ἀμεταβάτως ἐξειλημμένου· ἐνταῦθα δὲ ἔγραψεν ὁ διασκευάσας, Μεθ' αὐτὸν, τὸ μὲν, Ποῖον, κατ' αἰτιατικὴν, τὸ δὲ Βασιλεύσει μεταβατικῶς ἐπὶ τοῦ, Βασιλέα ποιήσει, κατ' Ἑβραϊσμὸν συνήθη τοῖς Ἑβδομήκοντα (Κριτ. θ', 16), ἐκλαβών.

(2) Ἐτυφώθη, γέγραπται ἐν τοῖς πρόσθεν (σελ. 232).

(3) Τὰ λείποντα ὧδε ἐν τῇ Φλωρεντινῇ ἐκδόσει, εὑρήσεις ἐν τοῖς ὑφ' ἡμῶν προεκδοθεῖσιν (σελ. 232) ἐκ τῆς τοῦ Τυρουΐττου συλλογῆς.

(4) Ποιητικώτερον, αντὶ τοῦ Μακρόθεν· εἰς ἰαμβεῖα γὰρ καὶ οὗτος ἐνετέτατο πάλαι ὁ μῦθος, ἢ δῆλον ἐξ ὀλίγων ςιχουργίας λειψάνων.

Αὕτη ἀληθῶς καρδίαν οὐκ εἶχεν, ἥτις δὶς εἰς οἶκον καὶ χεῖρας λέοντος εἰσῆλθεν.

Ὅτι ὁ τῆς φιλοδοξίας ἔρως τὸν ἀνθρώπων νοῦν ἐπιθολοῖ, καὶ τὰς τῶν κινδύνων συμφορὰς οὐ κατανοεῖ.

359. ΛΥΚΟΣ ΚΑΙ ΚΥΝΕΣ (1).

364. [ΦΛ. 363]. ΔΗΧΘΕΙΣ ΥΠΟ ΜΥΡΜΗΚΟΣ ΚΑΙ ΕΡΜΗΣ.

Νεὼς ποτε σὺν αὐτοῖς ἀνδράσι βυθισθείσης, ἰδών τις, ἀδίκως ἔλεγε τοὺς θεοὺς κρίνειν (2)· ἑνὸς γὰρ ἀσεβοῦς ἐμβεβηκότος, πλείω πολλοὺς (3) σὺν αὐτῷ μηδενὸς αἰτίους θνήσκειν. Καὶ ταῦτα ὁμοῦ λέγοντος, οἷα συμβαίνει, πολλῶν ἐπ' αὐτὸν ἐσμὸς ἦλθε μυρμήκων, σπεύδων τὰς ἄχνας πυρίνας ἀποτρώγειν. Ὑφ' ἑνὸς δὲ δηχθεὶς συνεπάτει τοὺς πάντας. Ἑρμῆς δ' ἐπιστὰς, τῷ τε ῥαβδίῳ παίων, εἶτ' οὐκ ἀνέξῃ (4), φησί,

(1) Τῷ μύθῳ τῷδε προσήκειν ἔοικε τὰ παρὰ τῷ Σουΐδᾳ ἀποσπασμάτια, τὸ μὲν (λέξ. Φρήτρα) ἐξ ἀνωνύμου,

Οἳ σφᾶς ἐκόσμουν, καὶ διεῖλον εἰς φρήτρας,
Λόχους τε καὶ φάλαγγας, ὥσπερ ἀνθρώπους·

τὸ δὲ (λέξ. Διάργεμοι) ἐκ τοῦ Βαβρίου,

Ἀλλ' οἱ μὲν ἡμῶν μέλανες, οἱ δὲ τεφρώδεις,
Ἕτεροι δὲ ξανθοὶ καὶ διάργεμοι στήθη.

(2) Διώρθωκα ἐκ τῶν πρόσθεν (σελ. 237) ἀντὶ τοῦ, Ἀδίκους ἔλεγε τοὺς θεοὺς κρίνων.

(3) Γράφε καὶ στίζε, Ἐμβεβηκότος τῷ πλοίῳ, πολλοὺς κ. τ. λ.

(4) Καὶ ταῦτα ἐκ τῶν πρόσθεν (σελ. 237) διώρθωκα, ἀντὶ τοῦ, Εἶτ' οὖν κἂν ἐξῇ.

τοὺς θεοὺς ὑμῶν εἶναι δικαςὰς, οἷος εἶ σὺ μυρμήκων (1);

Ὁ λόγος δηλοῖ, μηδένα τολμᾷν ψέγειν τὰς τοῦ θεοῦ περὶ τοὺς ἀνθρώπους ἀκαταλήπτους οἰκονομίας, κἂν ἄδικοι τοῖς ἀπαιδεύτοις δοκοῖεν.

365. [ΦΛ. 364]. ΟΔΟΙΠΟΡΟΣ ΚΑΙ ΑΛΗΘΕΙΑ.

Ὁδοιπορῶν ἄνθρωπος εἰς ἐρημίαν,
Ἑςῶσαν εὗρε τὴν ἀλήθειαν μόνην,
Καί φησιν αὐτῇ· Δι' ἣν αἰτίαν, γύναι,
Τὴν πόλιν ἀφεῖσα, τὴν ἐρημίαν ναίεις;
Ἡ δ' εὐθὺς πρὸς τάδ' εἶπεν ἡ βαθυγνώμων·
Ὅτι ποτὲ παρ' ὀλίγοισιν ἦν ψεῦδος,
Νῦν [δ'] εἰς πάντας βροτοὺς ἐλήλυθε ψεῦδος.
Εἰ δ' ἐςιν εἰπεῖν, καὶ βεβούλησαι κλύειν,
Ὁ νῦν πονηρὸς βίος ἐςὶν ἀνθρώπων (2).

Ὁ λόγος οὗτος ἀνθρώπους κωμῳδεῖ, ὧν ἡ ἀλήθεια μακρὰν πέφευγε, διὰ τὸ τὸ ψεῦδος τούτους φιλεῖν, καὶ μᾶλλον συνοικεῖν.

---

(1) Δηλονότι καὶ οὗτος ὁ μῦθος ἐκ ςίχων συνέςηκε, οὓς οὐ χαλεπὸν διελεῖν, μικρά τινα τῆς γραφῆς μετακινήσαντα·

Νεώς ποτ' αὐτοῖς ἀνδράσι βυθισθείσης,
Ἰδών τις, ἀδίκως ἔλεγε θεοὺς κρίνειν·
Ἑνὸς γὰρ ἀσεβοῦς συνεμβεβηκότος,
Πολλοὺς σὺν αὐτῷ μηδὲν αἰτίους θνήσκειν.
Καὶ ταῦθ' ὁμοῦ λέγοντος, οἷα συμβαίνει,
Πολλῶν ἐπ' αὐτὸν ἑσμὸς ἦλθε μυρμήκων,
Σπεύδων τὰς ἄχνας πυρίνας ἀποτρώγειν.
Ὑφ' ἑνὸς δὲ δηχθεὶς συνεπάτει τοὺς πάντας.
Ἑρμῆς δ' ἐπιςὰς, τῷ τε ῥαβδίῳ παίων,
Εἶτ' οὐκ ἀνέξῃ, φησὶ, τοὺς θεοὺς ὑμῶν
Εἶναι δικαςὰς, οἷος εἶ σὺ μυρμήκων;

(2) Ἐκ τοῦ πεζοῦ εἰς τὸ ςιχηρὸν σχῆμα τοῦ λόγου μετεποίησα καὶ τοῦτον τὸν μῦθον.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

366. [ΦΛ. 365]. ΕΡΜΗΣ ΓΡΑΦΩΝ [ΕΝ] ΟΣΤΡΑΚῼ ΤΑΣ ΑΜΑΡΤΙΑΣ.

Οστράκῳ γράφοντα τὸν Ἑρμῆν ἁμαρτίας ἐκέλευσεν ὁ Ζεὺς εἰς κιβωτὸν (1) ταύτας σωρεύειν, ἵν' ἐρανίσας (2) ἑκάστου τὰς δίκας ἀναπράσσῃ. Τῶν ὀστράκων δὲ κεχυμένων (3) ἀλλήλοις, τὸ μὲν βράδιον, τὸ δὲ τάχιον ἐμπίπτει εἰς τοῦ Διὸς τὰς χεῖρας, εἴ ποτ' εὐθύνοι. Τῶν οὖν πονηρῶν οὐ προσῆκε θαυμάζειν, ἂν θᾶσσον ἀδικῶν τις, ὀψὲ κακῶς πράσσῃ (4).

---

(1) Ἴσ. γρ. Ὀστράκῳ ἐγγράφειν τὸν Ἑρμῆν τὰς ἁμαρτίας ἐκέλευσεν ὁ Ζεὺς, καὶ εἰς κιβωτόν.

(2) Γραπτέον εἶναί μοι δοκεῖ, Ἐρευνήσας.

(3) Ἴσ. γρ. Συγκεχυμένων.

(4) Ἐγράφετο, Πράσσει. Καὶ οὗτος δ' ὁ μῦθος εἰς στίχους ἐνετέτατο τὸ πάλαι, ὧν ἴχνη καταλέλειπται οὐκ ἀμυδρά.

ΣΗΜΕΙΩΣΕΙΣ ΒΡΑΧΕΙΑΙ

ΕΙΣ ΤΙΝΑΣ ΤΩΝ ΑΙΣΩΠΕΙΩΝ ΜΥΘΩΝ.

ΣΕΛΙΔ. 3, στ. 6, Τὴν ὄνθον.] Ἠμφίσϐηται τὸ γένος. Τὸ γὰρ ὁμηρικὸν, Ὄνθου βοέου (Ἰλιάδ. ψ, 777), ἀρσενικὸν ὑπαγορεύει τὸν ὄνθον. Ὅ γε μὴν Σουΐδας (λέξ. Ὄνθος) ἑτέροις Ὁμηρικοῖς ἀντιγράφοις ἔοικεν ἐντετυχηκέναι, ἐν οἷς ἐφέρετο θηλυκῶς, Ὄνθου βοέης. — Στ. 13, Συνεϐούλευε τῷ κανθάρῳ.] Ἀλόγως πάνυ κανθάρῳ συμϐουλεύων πέπλασται ὁ Ζεύς· πολὺ γὰρ τὸ μεταξὺ Διὸς καὶ κανθάρου. Χρὴ δ' οὐδὲ μύθους γράφοντα ἀμελεῖν τοῦ πρέποντος καὶ ὁπωσοῦν πιθανοῦ.

ΣΕΛΙΔ. 5, στ. 3, Τῶν ἀνθρώπων οὕτως ἀλόγιστοι κ. τ. λ.] Ἀλόγιστον μὲν οὖν τὸ ἐπιμύθιον, τὴν ἄδικον ἁρπαγὴν εἰς ἀρετὴν μεταποιοῦν. Οἰκειότερον δ' ἂν ἐπιμυθεύσαις, «Οἱ ὑπὸ δυνατωτέρων » ἀδικούμενοι, εἰς μάτην αὐτοὺς πολλάκις δυσωπῆσαι » σπουδάζουσι».

ΣΕΛΙΔ. 6, στ. 8, Τράγος ἐν θέρει διψήσας κ. τ. λ.] Ἐκ τῆς Νευελέτου συναγωγῆς ὁ μῦθος, ἐν ᾗ 284 ἠρίθμηται.

ΣΕΛΙΔ. 8, στ. 6, Ἀλώπηξ φραγμὸν κ. τ. λ.] Ἀνόητος μῦθος· τὴν γὰρ πανουργοτάτην ἁπάντων τῶν ζώων Ἀλώπεκα, καὶ τῆς ἀψύχου βάτου ἀλογωτέραν ὑποτίθησι. — Στ. 15, Φραγμοὺς ἀλώπηξ κ. τ. λ.] Τοῦ Ἰγνατίου ὁ μῦθος· ἐκ τῆς Νευελέτου συναγωγῆς, σελ. 358.

ΣΕΛΙΔ. 11, στ. 20, Ἀνὴρ κακοπράγμων ἐν γνώσει κ. τ. λ.] Ἐκ τῆς τοῦ Γερμανοῦ Ὠπτεμάννου συναγωγ., σελ. 289.

ΣΕΛΙΔ. 12, στ. 7, Ἀπαρατήρητον.] Γραπτέον, καθὰ γράφεται ἐν τοῖς παραλλήλοις μύθοις (σελ. 289) Ἀπαρεγχείρητον, τουτέστιν ἀνεξαπάτητον, ἀπλάνητον.

ΣΕΛΙΔ. 12, στ. 11, Εἰς τὸ πλοῖον αὐτῶν εἰσήλατο.] Ἐμπίπτειν τοὺς θύννους τοῖς πλοίοις οἰστρῶντας, ὥσπερ καὶ τοὺς ξιφίας, ἐκ τοῦ Ἀριστοτέλους (Περὶ ζώων ἱστορ. Η, 19) οἱ πρὸ ἡμῶν ἐσημειώσαντο.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΣΕΛΙΔ. 13, στ. 9, Βάτραχοι δύο, ξηρανθείσης κ. τ. λ.] Ἐκ τῆς τοῦ Ὡπτεμάννου συναγωγῆς, σελ. 290.

ΣΕΛΙΔ. 14, στ. 1, Γέρων, ποτὲ κ. τ. λ.] Ἐκ τοῦ αὐτοῦ Ὡπτεμάννου, σελ. 290.—Στ. 2, Ἐπὶ πολλὴν κ. τ. λ.] Ἴσ. γραπτέον καὶ ςικτέον, Ἐπεὶ πολλὴν ἐβάδισεν ὁδὸν, κεκοπιακὼς, καὶ τὸν φόρτον κ. τ. λ.—Στ. 6, Οἱ ἀσθενεῖς τοὺς δυνατοὺς κ. τ. λ.] Παντάπασιν ἀπροσδιόνυσον ἐπιμύθιον.—Στ. 8, Γέρων ποτὲ κ. τ. λ.] Ἐκ τοῦ αὐτοῦ Ὡπτεμάννου, σελ. 290.

ΣΕΛΙΔ. 15, στ. 24, Γυνὴ πρέσβις κ. τ. λ.] Ἐκ τῆς Ὡπτεμάννου συναγωγῆς, σελ. 18.—Στ. 25, Στοιχήσασα.] Συμφωνήσασα, ὡς καὶ ἐν τῇ συνηθείᾳ τὸ Στοιχίζω, ἐπὶ οἰκετῶν μισθώσεως, καὶ τὸ ἀλλαχοῦ (Προδρ. Ἑλλ. Βιβλιοθ., σελ. 291) σημειωθὲν, Στοίχημα.

ΣΕΛΙΔ. 16, στ. 22, Ἀνήρ τις τῇ τέχνῃ γεωργός.] Παρείληφα τὸν μῦθον ἐκ τῆς τοῦ Εὐσιγγήρου ἐκδόσεως (1776), σελ. 23.

ΣΕΛΙΔ. 18, στ. 2, Ἐμβριθής.] Ἀκυρολέκτως ἀντὶ τοῦ, Παχεῖα.

ΣΕΛΙΔ. 21, στ. 11, Ὅτι δεῖ... παρέχειν.] Ἐνδεχόμενόν ἐςιν οὕτω πάλαι γεγράφθαι τὸ ἐπιμύθιον. Ὅτι δεῖ τοῖς φίλοις ἐν καιρῷ ἀνάγκης τὰς βοηθείας παρέχειν.—Στ. 13, Ἰατρός τις κ. τ. λ.] Ἐκ τῆς Ὡπτεμάννου συναγωγῆς, σελ. 291.

ΣΕΛΙΔ. 22, στ. 9, Ὁ κάςωρ.] Τὸ περὶ τῆς ἀποκοπῆς τῶν αἰδοίων τοῦ Κάςορος, καίπερ ὑπὸ πλείςων ἀρχαίων πεπιςευμένον, ἐκ τῆς φυσικῆς ἱςορίας ψεῦδος ὂν ἐλήλεγκται. Τὸ δὲ παρὰ τοῖς ἰατροῖς ἐν χρήσει Καςόριον, οὐκ αὐτοὶ οἱ ὄρχεις, ἀλλ' ἴδιός τίς ἐςι χυμὸς τοῦ κάςορος κηροειδὴς, ὑμέσιν ἢ κυςίσι παρ' αὐτοὺς τοὺς βουβῶνας τοῦ ζώου περιειλημένος.

ΣΕΛΙΔ. 25, στ. 1, Λέων, καὶ ὄνος, κ. τ. λ.] Ἐκ τῆς Εὐσιγγήρου συναγωγῆς, σελ. 36.—Στ. 12, Λέων, ὄνος κ. τ. λ.] Τοῦ Ἰγνατίου ὁ μῦθος, ἐκ τῆς τοῦ Νευελέτου συναγωγῆς, σελ. 356.

ΣΕΛΙΔ. 26, στ. 1, Λέων καὶ ἄρκτος κ. τ. λ.] Ἐκ τῆς Ὡπτεμάννου συναγωγῆς, σελ. 32.

ΣΕΛΙΔ. 28, στ. 21, Γεωργόν φασι.] Ἐκ τῶν Μηχαὴλ τοῦ Ἀποςολίου Παροιμιῶν, σελ. 186.

ΣΕΛΙΔ. 29, στ. 2, Οὐδὲ τὴν ἰδίαν.] Προσέθηκα τὴν ἄρνησιν, καὶ ὡς ἐνοῦσαν τῷ προτέρῳ μύθῳ (σελ. 28), καὶ ὡς δριμύτερόν τι καὶ μύθῳ μᾶλλον οἰκεῖον ἔχουσαν.—Στ. 22, Εἰ τοιαύτην πόλιν κτίζεις κ. τ. λ.] Οἰκειότερον ἂν τις ἐπιθείη τέλος τῷ μύθῳ, Εἰ τοιαύτην ᾔδειν τὴν κτιζομένην πόλιν, προειλόμην ἂν τὴν ἐν

ἐρήμοις δίαιταν.—Στ. 24, Τότε μάλιςα οἶκοι κ. τ. λ.] Ἐπιμύθιον ἀνόητον, ὡς τὰ πλεῖςα τῶν μύθων τούτων. Σὺ δέ μοι λέγε, Ὁ μῦθος πρὸς τοὺς χείρονι περιπίπτοντας τύχῃ, διὰ τὸ μὴ ἀγαπᾶν τῇ παρούσῃ.

ΣΕΛΙΔ. 31, στ. 17, Ὁ ἀσπάλαξ.] Καὶ τὸ περὶ ἀσπάλακος ψεῦδος ὃν ἀπέδειξεν ἡ τῆς φυσικῆς ἱςορίας ἀκριβεςέρα ἐπιςήμη. Οὐ γὰρ τυφλὸς ὅλως ἐςίν· ἀλλ' οὕτω μικροὺς ἔχει τῶν ὀμμάτων τοὺς πόρους, ὥςε μόλις εἶναι συνόπτους τοῖς ὁρῶσι τὸ ζῶον.

ΣΕΛΙΔ. 34, στ. 5, Οἱ λαγωοὶ συναχθέντες.] Ἐκ τῆς τοῦ Ὠπτεμάννου συναγωγῆς, σελ. 46.—Στ. 15, Θάνατον ἑαυτῶν.] Ἀφθονίου μῦθος κγ'· ἐκ τῆς τοῦ Νευελέτου συναγωγῆς, σελ. 339.—Στ. 16, Ὅποι.] Ἀντὶ τοῦ Ὅποι (ὅ ἐςιν Εἰς τίνα τόπον) ἄμεινον ἂν γράφοις, Ὅπῃ, τουτέςι, Τίνι τρόπῳ.

ΣΕΛΙΔ. 35, στ. 1, Θανεῖν ἔθεντο.] Τοῦ Ἰγνατίου ὁ μῦθος, ἐκ τῆς Νευελέτου συναγωγῆς, σελ. 386.

ΣΕΛΙΔ. 37, στ. 12, Χελώνη ἀετοῦ.] Παρὰ τὸν μῦθον τοῦτον εἰρῆσθαί φησι Σουΐδας (Τομ. Β, σελ. 640) καὶ τὸ παροιμιακὸν, Νῦν σωθείην, ἵν' ἦ μοι δίδαγμα τοῦτο τοῦ λοιποῦ χρόνου.—Στ. 19, Νωθρὴ χελώνη.] Τοῦ Ἰγνατίου ὁ μῦθος, ἐκ τῆς Νευελέτου συναγωγῆς, σελ. 385.

ΣΕΛΙΔ. 38, στ. 2, Τοῦ ἀδυνάτου... τοῦ δυνατοῦ.] Γράφε, Τῶν ἀδυνάτων... τῶν δυνατῶν.

ΣΕΛΙΔ. 39, στ. 6, Ἔλαφος, κυνηγοὺς κ. τ. λ.] Ἐλήφθη ἐκ τῆς τοῦ Εὐσιγγήρου συναγωγῆς, σελ. 55.—Στ. 21, Ἔλαφον ἐξήλαυνον.] Τοῦ Ἰγνατίου μῦθος· ἐκ τῆς συναγωγῆς Νευελέτου, σελ. 359.

ΣΕΛΙΔ. 40, στ. 3, Τὴν τοῦ ἀλεκτρυόνος φωνὴν φοβεῖσθαι.] Τῶν εἰκῆ πεπιςευμένων παρὰ πολλοῖς τῶν ἀρχαίων ἐςὶ καὶ τοῦτο.

ΣΕΛΙΔ. 41, στ. 7, Κατὰ τῆς Ἀφροδίτης,] Σῦν γὰρ Ἀφροδίτῃ θύειν οὐκ ἐνενόμιςο, διὰ τὸν τοῦ ἐρωμένου Ἀδώνιδος ὑπὸ συὸς θάνατον. Διὸ καὶ Ἀναφρόδιτος ἐπωνόμαςαι ὁ χοῖρος ὑπ' Ἀρτεμιδώρου (Ὀνειροκριτ. έ, 80).—Στ. 22, Ὗς καὶ κύων.] Ἐκ τῆς τοῦ Εὐσιγγήρου συναγωγῆς, σελ. 59.

ΣΕΛΙΔ. 44, στ. 18, Ἀνὴρ εὐπορῶν... ἐβούλετο.] Ἔςιν Ἀφθονίου ὁ δεύτερος μῦθος· ἐκ τῆς Νευελέτου συναγωγῆς, σελ. 323.

ΣΕΛΙΔ. 45, στ. 7, Πριάμενός τις κ. τ. λ. Του Θεμιςίου ὁ μῦθος, ἐκ τῆς τοῦ Εὐσιγγήρου συναγωγῆς, σελ. 64.—Στ. 9, Χαλασραίοις.] ΕΔ, ἀντὶ τοῦ Χαλάςραις. Χαλάςρα μὲν γὰρ λίμνη ἐςὶν οὕτω καλου-

μένη ἐν Μακεδονίᾳ· Χαλαςραῖον δὲ τὸ ἐξ αὐτῆς συλλεγόμενον νίτρον, ᾧπερ ἐχρῶντο εἰς ἱματίων πλύσιν (Ἔπιθι Τιμαίου Λέξ. Πλατωνικ. λέξ. Χαλαςραῖον, μετὰ τῶν τοῦ Ῥυγκενίου σημ.).—Στ. 13, Αἰθίοπά τις ὠνήσατο.] Τοῦ Ἀφθονίου μῦθος ϛ΄· ἐκ τῆς Νευελέτου συναγωγ. σελ. 326.

ΣΕΛΙΔ. 46, Μῦθ. 77, ΒΟΥΤΑΛΙΣ.] Τὴν λέξιν ταύτην ὁ μὲν Στέφανος ἀνερμήνευτον κατέλιπεν ἐν τῷ Θησαυρῷ τῆς Ἑλληνικῆς γλώσσης· ὁ δὲ φίλος Σνεϊδέρος οὐδὲ κατεχώρισε τὴν ἀρχὴν ἐν τῷ Ἑλληνογερμανικῷ λεξικῷ, ὡς βάρβαρον δηλονότι. Ὁ Καμεράριος ἐξέφρασε κακῶς διὰ τοῦ Ῥωμαϊκοῦ Merula, τοῦ δηλοῦντος τὸν Κόσσυφον· ἕτερος δέ τις, οὐδὲν μᾶλλον ὀρθῶς, διὰ τοῦ Bubo, ὅ ἐςιν ὁ παρὰ τῷ Ἀριςοτέλει (Περὶ ζώων ἱςορ. Η, 3). Βύας, ὄρνεον τὴν ἰδέαν ὅμοιον γλαυκί. Ἔςι γὰρ ἡ λέξις τοῦ παρηκμακότος Ἑλληνισμοῦ, δηλοῦσα τὴν παρὰ τοῖς Ἕλλησιν Αἴθυιαν, παρὰ δὲ τοῖς Ῥωμαίοις Mergus, ἣν οἱ Γάλλοι Plongeon ὀνομάζουσιν, ἡ δὲ παρ' ἡμῖν συνήθεια νῦν, κατὰ μὲν τὸν Δουκάγγιον (Τόμ. Α, σελ. 223), Βουταμαρίαν, καθ' ἑτέρους δὲ, Βουταναρίαν. Δηλοῖ δὲ καὶ τὸ τῆς λέξεως ἔτυμον· τό, τε γὰρ παρ' ἡμῖν Βουτῶ, καὶ τὸ παρὰ Ῥωμαίοις mergere, et τὸ παρὰ τοῖς Γάλλοις plonjer, ὅθεν παρῆκται τοῦ ὀρνέου τοὔνομα, τὸ καθ' ὕδατος δύειν, ἢ δύεσθαι, σημαίνουσι.

ΣΕΛΙΔ. 49, στ. 12, Ἀπολώλαμεν... Ἀπόλωλα.] Περὶ τῶν βαρβάρων τούτων παρακειμένων ἔπιθι Πρόδρ. Ἑλλ. Βιβλιοθ. σελ. 383. Οἰκειότερον δ' ἂν προσάψαις ἐπιμύθιον τῷ μύθῳ τόδε· Οἱ μὴ μεταδιδόντες τῶν εὐτυχημάτων, οὐ ῥᾳδίως ἕξουσι τοὺς συναλγήσοντας ἐν τοῖς ἀτυχήμασι.

ΣΕΛΙΔ. 50, Μῦθ. 86, ΑΛΚΥΩΝ.] Περὶ τῆς Ἀλκυόνος ἔπιθι τὸν Ἀριςοτέλην (Περὶ ζώων ἱςορ. Ε, 8, 9, Η, 3, καὶ Θ, 14). Περὶ δὲ τῆς νεοττιᾶς αὐτῆς, τὸν Πλούταρχον (Ποτερ. τῶν ζώων φρονιμώτερ. κ. τ. λ. § 35), καὶ τὸν Αἰλιανὸν (Περὶ ζώων ἰδίοτ. Θ, 17). Περὶ δὲ τῆς μεταμορφώσεως καὶ τῶν μυθευομένων Ἀλκυονίδων ἡμερῶν, τὸν Λουκιανὸν (Ἀλκ. ἢ περὶ μεταμορφ.).

ΣΕΛΙΔ. 52, στ. 5, Πίθηκον ναυαγίῳ.] Τοῦ διαβοήτου Τζέτζου οἱ βάρβαροι οὗτοι ςίχοι· ἐκ τῆς τοῦ Εὐσιγγήρου συναγωγῆς, σελ. 74.

ΣΕΛΙΔ. 53, στ. 7, ΕΡΜΗΣ... τὴν Τειρεσίου.] Ὅμηρος δὲ τὸν Ἑρμῆν ἐν σπαργάνοις ἔτι ὄντα, ἐξαναςῆναι τοῦ λίκνου, καὶ κλέψαι τὰς Ἀπόλλωνος βοῦς ἐμυθολόγησε (Ὁμήρ. ὕμν. εἰς Ἑρμ. στίχ. 18-22, 74-150).

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΣΕΛΙΔ. 54, στ. 6. Τῶν νέων οἱ μηδὲν ἐπιςάμενοι οὐ μεμπτοί εἰσιν ὅταν κ. τ. λ.] Πολλῆς μὲν οὖν μομφῆς ἄξιοι, ὅταν ἧς ἠμέλησαν οἱ μεμπτοὶ γονεῖς παιδικῆς ἀγωγῆς, μὴ δι' ἰδίας φιλοπονίας, καὶ τῆς τῶν καλῶς ἠγμένων μιμήσεως, ἀναπληρῶσαι σπουδάζωσι.

ΣΕΛΙΔ. 56, Μυθ. 99, ΚΟΡΩΝΗ ΚΑΙ ΚΥΩΝ.] Κορωνὶς θυγάτηρ ἦν Κορωνέως, βασιλέως Φωκίδος, ὑπὸ τῆς Ἀθηνᾶς εἰς ὄρνεον, τὴν καλουμένην Κορώνην, μεταποιηθεῖσα, μετὰ δὲ ταῦτα, διὰ τὸ ἐξαγορεῦσαί τι τῶν ἀποῤῥήτων, μισηθεῖσα. Ἡ ἱςορία παρὰ τῷ Οὐϊδίῳ (Μεταμορφ. Β, 548-590) καὶ ἄλλοις. Κουροῦναν νῦν ὀνομάζει τὴν Κορώνην ἡ παρ' ἡμῖν συνήθεια.—Στ. 17, Ὡς κἀκ τῶν συντρόφων κ. τ. λ.] Τούτου οὕτως ἔφρασαν τὸν νοῦν οἱ πρὸ ἡμῶν, Ὥςε ἀπὸ σοῦ μόνης ἐκ τῶν συγγενῶν καὶ συντρόφων ὀρνίθων περιελεῖν τὴν πίςιν, Ὥςε ἐκ μόνης τῆς σῆς φωνῆς μηδὲν ἔχειν πιςὸν οἰωνίζεσθαι τοὺς ἀνθρώπους.

ΣΕΛΙΔ. 57, στ. 4, Διὰ θησαυρῶν εὕρεσιν.] Σημειοῦ τὴν ἀνοησίαν τοῦ ἐπιμυθίου. Ἡ μὲν γὰρ θησαυρῶν εὕρεσις μερικόν τι καὶ τῶν ὅτιμάλιςα σπανίων ἐςί· τὸ δὲ τροφῆς ἀπορεῖν, ὥσπερ ὁ κόραξ, τῶν πολλάκις συμβαινόντων, καὶ τὸ ταύτην ζητοῦντα ἀπροσδοκήτῳ περιπεσεῖν κακῷ, ἐλεεινότερον ἢ μεμπτότερον.—Στ. 18, Κολοιὸς μεγέθει.] Ἐκ τῆς Νευελ. συναγωγ. σελ. 253.

ΣΕΛΙΔ. 59, στ. 5, Ζεὺς, πλάσας.] Ἐκ τούτου ἴσως τοῦ μύθου ὁρμηθεὶς συνέθηκε καὶ Γρηγόριος ὁ Θεολόγος τὸν περὶ τῆς Αἰσχύνης μῦθον, ὃν ἀνωτέρω (σελ. 247) κατεχώρισα.

ΣΕΛΙΔ. 61, στ. 11, Οὐχ ὄρνις, ἀλλὰ μῦς... μὴ μῦς, ἀλλὰ νυκτερίς.] Ἔςι γάρ πως τὸ δερμόπτερον ζῶον τοῦτο ἐν μεθορίῳ τῶν πτηνῶν καὶ τῶν πεζῶν, καὶ ὥς φησιν Ἀριςοτέλης (Περὶ ζώων μορ. Δ, 13) διὰ τὸ ἐπαμφοτερίζειν, ἀμφοτέρων μετέχει καὶ οὐδετέρων.

ΣΕΛΙΔ. 65, 8, Ὡς χολὴν οὐκ ἔχει.] « Οὐκ ἔχει δὲ οὐδὲ ἡ κά» μηλος [χολὴν] ἀποκεκριμένην, ἀλλὰ χολώδη φλέβια μᾶλλον » φησὶν Ἀριςοτέλης (Περὶ ζώων μορ. Δ, 2).—Στ. 18, Εἰδωλεῖον.] Σημειοῦ τὴν λέξιν, Εἰδωλεῖον, τῆς ἐκκλησιαστικῆς χρήσεως οὖσαν (Α Κορινθ. ή, 10). Σημαίνει δὲ ναὸν, εν ᾧ θεῶν εἰσιν εἴδωλα.

ΣΕΛΙΔ. 67, στ. 3, Αἵ γε αὐταί... οὐκ ἴσμεν.] Ἴσως ἐγέγραπτο, Εἴγε αὐταί... οὐκ ἴσμεν.—Στ. 19, Αὐξηνθῶ.] Τοῦ παρακμάσαντος Ἑλληνισμοῦ, ἀντὶ τοῦ Αὐξηθῶ, ὡς καὶ τὸ Κλινθῶ, ἀντὶ τοῦ, Κλιθῶ.

ΣΕΛΙΔ. 69, στ. 25, Ἀλώπηξ... ὡς ἐθεάσατο.] Ἐκ τῆς τοῦ Ὀπτεμάννου συναγωγῆς, σελ. 294.

ΣΕΛΙΔ. 70, στ. 14, Ἔλαφον διώκει κ. τ. λ.] Ἐκ Μαξίμου τοῦ Τυρίου (λογ. λγ΄).

ΣΕΛΙΔ. 71, στ. 8, Ἄνθρωπός τις κ. τ. λ.] Ἐκ τῆς Εὐσιγγήρου συναγωγῆς, σελ. 100.

ΣΕΛΙΔ. 73, στ. 1, Ἀνὴρ Ἁλιεύς.] Ἀφθονίου λγ΄ μῦθος· ἐκ τῆς Νευελέτου συναγωγῆς, σελ. 347.

ΣΕΛΙΔ. 74, στ. 7, Τοξότης ἀετοῦ κ. τ. λ.] Ἀφθονίου λϐ΄ μῦθος· ἐκ τῆς Νευελ. συναγωγ. σελ. 347.—Στ. 11, Βέλει τὸ ςῆθος.] Τοῦ Ἰγνατίου ὁ μῦθος· ἐκ τῆς αὐτῆς τοῦ Νευελ. συναγωγ. σελ. 369.

ΣΕΛΙΔ. 75, στ. 3, Ὁ μυθογράφος.] Τοῦ Τζέτζου ὁ μῦθος· ἐκ τῆς τοῦ Ὀπτεμάννου συναγωγ. σελ. 296.—Στ. 14, Θέρους ἦν ἀκμή.] Ἀφθονίου ὁ πρῶτος μῦθος· ἐκ τῆς Νευελ. συναγωγ. σελ. 322.

ΣΕΛΙΔ. 76, στ. 8, Ἤτει τροφήν.] Τοῦ Ἰγνατίου ὁ μῦθος· ἐκ τῆς Νευελ. συναγ. σελ. 378.

ΣΕΛΙΔ. 77, στ. 13, Ἔτικτε χρυσοῦν.] Ἔςιν ὁ μῦθος τοῦ Ἰγνατίου· ἐκ τῆς Νευελ. συναγ. σελ. 365.

ΣΕΛΙΔ. 78, στ. 11, Τηθὴν ἐλύπει.] Ἀφθονίου μῦθος λθ΄· ἐκ τῆς Νευελ. συναγ. σελ. 352.

ΣΕΛΙΔ. 79, στ. 1, Γῆρας ἐλύπει.] Ἀφθονίου μῦθος ή· ἐκ τῆς Νευελ. συναγωγ., σελ. 327.

ΣΕΛΙΔ. 81, στ. 8, Ἀρνὸς, ἐφ' ὑψηλοῦ κ. τ. λ.] Ἐκ τῆς τοῦ Ὀπτεμάννου συναγωγ. σελ. 298.—Στ. 14, Πύργου.] Ἰγνατίου ὁ μῦθος· ἐκ τῆς Νευελέτου συναγ. σελ. 383.

ΣΕΛΙΔ. 82, στ. 9, Ἡμίονός τις.] Ἐκ τῆς Εὐσιγγήρου συναγωγ. σελ. 111.

ΣΕΛΙΔ. 83, στ. 19, Ὄφιν θέλων.] Τοῦ Ἰγνατίου ὁ μῦθος· ἐκ τῆς Νευελ. συναγωγ., σελ. 359.

ΣΕΛΙΔ. 84, στ. 11, Ἦν τις σαλπιςής.] Ἐκ τῆς Εὐσιγγήρου συναγ. σελ. 113. Ὅτι δὲ ὁ μῦθος εἰς δωδεκασυλλάϐους τὸ πάλαι ἐνετέτατο ςίχους, εἴσῃ ἐκ τῶν (σελ. 340), Παραλλήλων μύθων.

ΣΕΛΙΔ. 85, στ. 1, Δρῦν ἄνεμος.] Ἐκ τῆς Ὀπτεμάννου συναγωγ. σελ. 299.—Στ. 8, Εἰς ἔριν δρυί.] Ἀφθονίου μῦθος λϛ΄· ἐκ τῆς Νευελ. συναγωγ. σελ. 350.—Στ. 15, Δρῦν ἦγε.] Τοῦ Ἰγνατίου ὁ μῦθος (ἐκ τῆς Νευελ. συναγ. σελ. 387), διωρθωμένος ὑφ' ἡμῶν.

ΣΕΛΙΔ. 86, στ. 7, Λύκῳ περιπείρεται.] Ἀφθον. μῦθ. κέ· ἐκ

τῆς Νευελ. συναγ. σελ. 341.—Στ. 9, Καὶ θεῖσα.] Γραπτέον, οἶμαι, Καὶ καθεῖσα.—Στ. 14, Εἰς λαιμόν.] Τοῦ Ἰγνατίου ὁ μῦθος· ἐκ τῆς Νευελ. συναγωγ. σελ. 377. Διώρθου τὸ τυπογραφικὸν ἁμάρτημα τοῦ τρίτου ϛίχου, γράφων, Σῶον, ἀντὶ τοῦ, Ζωόν.

ΣΕΛΙΔ. 87, στ. 6, Κύριος ὑπερηφάνοις ἀντιτάσσεται κ. τ. λ.] Εὖγέ σου τῆς μωρίας, ὦ Μυθογράφε, τὰς γραφικὰς ῥήσεις (Σολομ. Παροιμ. γ', 34) εἰς ὀρνίθων ὀχείας παρατιθεμένου.—Στ. 7, Ἀλέκτορες δύο.] Ἐκ τῆς Εὐσιγγήρου συναγ. σελ. 117.—Στ. 14, Ἀλεκτρυόνες.] Ἀφθονίου μῦθος ιδ· ἐκ τῆς Νευελ. συναγ. σελ. 331.

ΣΕΛΙΔ. 90, στ. 1, Τὰς ἐρήμους οἰκῶ.] Μετὰ τὰ τελευταῖα ταῦτα ῥήματα, ἐν τῇ Νευελέτου ἐκδόσει (σελ. 213) εὕρηται τὰ ἑξῆς κατὰ συνέπειαν ἡρμοσμένα τῷ μύθῳ, «Ἡ μὲν χελιδὼν τῶν ἐν τῷ κόσμῳ » ἀνθρώπων (γράφε, Τοῖς ἐν τῷ κόσμῳ ἀνθρώποις) παρεικά- » ζεται· ἡ δὲ ἀηδὼν τοῖς φιλερήμοις κατὰ τὸν θεὸν μοναχοῖς, οἵτινες » τῷ κόσμῳ (γράφε, Τὸν κόσμον) ἔφυγον». Ἐξ ὧν δῆλον, ὅτι τῆς τῶν μοναχῶν ἀγέλης ἦν ὁ τὸν μῦθον διασκευάσας, καὶ πιθανὸν ὅτι ὁ αὐτὸς, ὃς καὶ τῷ ἀνωτέρω μύθῳ 147, (σελ. 87) τὴν γραφικὴν ῥῆσιν εἰς ἐπιμύθιον αἰσχρῶς μετεποίησε. Καὶ ὅρα μοι αὖθις τὴν εὐήθειαν τοῦ ἀνδρός· ταῖς γὰρ ἀηδόσι παρεικάζων τοὺς φιλερήμους μοναχοὺς, δῆλός ἐϛιν ἀποσκορακίζων ἀπαξάπαντας τοὺς ἀναϛρεφομένους ἐν κόσμῳ, καὶ γάμον ὅλως ἀναιρῶν· οὐδὲ τοῦτο δὴ τὸ πρόχειρον ἐννοήσας ὅτι καὶ ἀηδὼν τεκνοποιεῖται.—Στ. 5, Ἀγροῦ χελιδὼν μακρὰν ἐξεποτήθη.] Ὁ μὲν μῦθος ἐκ τῆς τοῦ Τυρσυΐττου συναγωγῆς, ὥσπερ ἐσημειωσάμην (σελ. 90)· τὸ δ' ἐπιμύθιον ἀνελεξάμην ἐκ τῆς Νευελ. συναγωγ. σελ. 380. Ἀντὶ τοῦ Ἐξεποτήθη, γράφε, Ἐξεπωτήθη.

ΣΕΛΙΔ. 91, στ. 14, Αἶγαν.] Τοῦ Ἀφθονίου μῦθος ε, ἐκ τῆς Νευελ. συναγ. σελ. 326. Εἴασα δὲ κατὰ χώραν τὸ Αἶγαν, ἀντὶ τοῦ ἑλληνικωτέρου, Αἶγα· οὐ γὰρ δῆλον, πότερον, Νευελέτου παρόραμά ἐϛιν ἡ λέξις, ἢ αὐτοῦ τοῦ Ἀφθονίου, τῷ παρακμάζοντι ἴσως εἴξαντος ἑλληνισμῷ. Πολλὰς γὰρ τοιαύτας αἰτιατικὰς, περιττοσυλλάβων εἰς ὀνομαϛικὰς ἰσοσυλλάβων (ἐξ ὧν αἰτιατικαὶ μετὰ προσθήκης τοῦ ν) μεταπεσούσας, ἀλλαχοῦ (Ἑλλην. Βιβλιοθ. Τομ. 4, σελ. 265) διὰ μακρῶν ἐσημειωσάμεθα.—Στ. 20, Ῥάβδῳ κατῆξεν κ. τ. λ.] Τοῦ Ἰγνατίου ὁ μῦθος (ἐκ τῆς Νευελ. συναγ. σελ. 384), διωρθωμένος ὑφ' ἡμῶν.—Στ. 25, Ἡ δ' αὖ γέ φησι.] Καὶ τοῦτο ἴσως διορθοῦν ὤφειλον τρέπων εἰς τὸ, Ἡ δ' αὖτέ φησι, κατὰ τὸ ἀνωτέρω (σελ. 90) εἰρημένον, Τὸν δ' αὖτ' ἀηδών.

ΣΕΛΙΔ. 92, στ. 8, Ὄρνις ποτέ.] Ἐκ τῆς Ὠπτεμάννου συναγωγῆς σελ. 303.—Στ. 10, Ἀποθνήξω.] Σημειοῦ τὸν βάρβαρον μέλλοντα, ἀντὶ τοῦ, Ἀποθανοῦμαι.—Στ. 12, Κάμνουσαν ὄρνιν.] Μῦθος Ἰγνατίου· ἐκ τῆς Νευελ. συναγωγ. σελ. 381.—Στ. 15, Ὑπέλθω.] Σημειοῦ τὸ βάρβαρον, Ὑπέλθω, ἀντὶ τοῦ, Ὑπελεύσομαι, οὐδὲ τοῦτο ἐπὶ τῆς προκειμένης ἐννοίας κυριολεκτούμενον.

ΣΕΛΙΔ. 94, στ. 6, Κερδῶ.] Τοῦ Ἰγνατίου ὁ μῦθος· ἐκ τῆς Νευελ. συναγωγ. σελ. 363.—Στ. 10, Πρὸς τοὺς ποιοῦντας κ. τ. λ.] Φέρεται καὶ ἕτερον ἐπιμύθιον ἐξ ἑτέρων ἀντιγράφων τόδε· Τὸ ἐκ πείρας ἀδύνατον προφάσεως εὔπορον.

ΣΕΛΙΔ. 95, στ. 10, Ἀλώπηξ... ἐν πήρᾳ βοσκοῦ.] Ἐκ τῆς Ὠπτεμάννου συναγωγ. σελ. 119. Ἔτρεψα δὲ τὸ Πείνῃ εἰς τὸ Πήρᾳ.—Στ. 15, Εἰσδῦσα.] Τοῦ Ἰγνατίου ὁ μῦθος· ἐκ τῆς Νευελ. συναγωγ. σελ. 382. —Στ. 19, Ζημίαις ἴσαις.] Ἐγράφετο κακῶς, Ζημίας ἴσας.

ΣΕΛΙΔ. 97, στ. 9, Ἄνθρωπός τις.] Ἐκ τῆς Ὠπτεμάννου συναγωγ. σελ. 121.

ΣΕΛΙΔ. 98, στ. 9, Ἀνήρ τις, μέσην κ. τ. λ.] Ἐκ τοῦ αὐτοῦ σελ. 304.—Στ. 14, Ἐρωμένας.] Τοῦ Ἰγνατίου ὁ μῦθος· ἐκ τῆς Νευελέτου συναγωγ. σελ. 367.—Στ. 15, Διενηνοχυῖαι.] Οὕτω διώρθωκα ἀντὶ τοῦ ἀδιανοήτου, Δ' ἐννοχυῖαι. Ἄμεινον δέ μοι νῦν δοκεῖ γράφειν καὶ ςίζειν,

Ἐρωμένας δύ' εἶχεν ἀνὴρ μιξόθριξ,
Χρόνῳ διενηνοχυίας πάντῃ καὶ τρόπῳ.
Ἡ μὲν κ. τ. λ.

ΣΕΛΙΔ. 99, στ. 1, Ἀλώπεκά τις.] Ἐκ δωδεκασυλλάβων ςίχων εἰς πεζοῦ λόγου σχῆμα μετεσκευάσθαι ἔοικεν ὁ μῦθος, ἐκ τῶν ἔτι καταλελειμμένων τουτωνί,

Εἰς τὰς ἀρούρας τοῦ βαλόντος ὡδήγει.
Ὁ δ' ἠκολούθει θρηνῶν, μηδὲν θερίσας.

—Στ. 8, Πέρδικα τις θηρεύσας ἤμελλε σφάξαι.] Στίχος οὗτος δωδεκασύλλαβος, καθὰ καὶ ὁ ἑξῆς,

Πολλὰς πέρδικας ἐγώ σοι κυνηγήσω.

Δῆλον δὲ καὶ ἐκ τοῦ παραλλήλου μύθου (σελ. 353) ὅτι καὶ οὗτος πάλαι ςιχηρῶς ἦν γεγραμμένος.

ΣΕΛΙΔ. 101, στ. 1, Ἄγροις.] Τοῦ Ἰγνατίου ὁ μῦθος· ἐκ τῆς Νευελ.

συναγ. σελ. 366.—Στ. 21, Βάτραχοι, λυπούμενοι ἐπὶ τῇ κ. τ. λ.] Ἐκ τῆς Ὠπτεμάννου συναγωγ. σελ. 126.

ΣΕΛΙΔ. 102, στ. 15, Βατράχων.] Ἐκ τοῦ αὐτοῦ, σελ. 305.

ΣΕΛΙΔ. 103, στ. 1, Βόες ἅμαξαν.] Ἐκ τοῦ αὐτοῦ σελ. 306.

ΣΕΛΙΔ. 104, στ. 1, Ἀνὴρ γαλῆν.] Τοῦ Ἰγνατίου ὁ μῦθος· ἐκ τῆς Νευελέτου συναγωγ. σελ. 362.—Στ. 6, Γαλῆν καθίζει.] Γρηγορίου τοῦ Θεολόγου ὁ μῦθος· ἐκ τῆς Ὠπτεμάννου συναγωγ. σελ. 306.—Στ. 11, Ὥσπερ που.] Τοῦ Τζέτζου ὁ μῦθος, εἰς τοὺς λεγομένους πολιτικοὺς ςίχους ἐντεταμένος· ἐκ τῆς Ὠπτεμάννου συναγωγ. σελ. 306.

ΣΕΛΙΔ. 105, στ. 1, Ἔθαλπέ τις.] Τοῦ Ἰγνατίου ὁ μῦθος, τρισὶ μόνοις τοῖς πρώτοις ςίχοις συνεςηκὼς (Νευελ. συναγωγ. σελ. 379). Ὁ δὲ Νευελέτος ἐν ταῖς σημειώσεσιν (σελ. 642) παρέθετο ἐξ ἑτέρου ἀντιγράφου τοὺς τελευταίους δύο.—Στ. 4, Στίχον.] Στίφον γράφεται παρὰ τῷ Νευελέτῳ (σελ. 642). Οὐκ ἔχω δὲ λέγειν, εἰ τρεπτέον, ὡς τυπογραφικὸν ἁμάρτημα, εἰς τὸ ἀνόητον, Στίχον, ἢ ἄλλο τι γραπτέον ἀντὶ τοῦ δυσνοήτου, Στίφον.—Στ. 5, Δίκαια πάσχω.] Οὕτως ἔγραψα ἀντὶ τοῦ παρὰ τῷ Νευελέτῳ (σελ. 642), Δικαίως πάσχων.—Στ. 5, Οὕτω κακοὶ κ. τ. λ.] Φέρεται καὶ ἕτερον ἐξ ἑτέρου ἀντιγράφου ἐπιμύθιον, ἢ μᾶλλον, ὡς ὑπὸ τοῦ πληχθέντος εἰρημένος κατὰ συνέπειαν ἕκτος ςίχος ὅδε,

Οὕτως κακοὶ πέλουσι τοῖς εὐεργέταις.

—Στ. 8, Προσέταξε δέσμην ῥάβδων.] Ὤφειλεν εἰπεῖν, Προσέταξε ῥάβδους, ὥσπερ ἐν τοῖς παραλλήλοις μύθοις (σελ. 358)· οὔπω γὰρ ἦσαν συνδεδεμέναι αἱ ῥάβδοι. Τῷ δὲ μύθῳ προσαρμόσαις ἂν ἰςόρημα παραπλήσιον, τὸ παρὰ τῷ Πλουτάρχῳ (Περὶ ἀδολεσχ. § 17). «Σκιλοῦρος (φησὶ) καταλιπὼν ὀγδοήκοντα παῖδας ὁ Σκυθῶν βασιλεὺς, ᾔτησε δέσμην δορατίων, ὅτε ἀπέθνησκε, καὶ λαβόντας ἐκέλευσε καταθραῦσαι καὶ κατεάξαι συνδεδεμένην καὶ ἀθρόαν· ὡς δ' ἀπεῖπον, αὐτὸς ἕλκων ἓν καθ' ἓν, πάντα ῥᾳδίως διέκλασε· τὴν συμφωνίαν αὐτῶν καὶ τὴν ὁμόνοιαν ἰσχυρὰν ἀποφαίνων καὶ δυσκαθαίρετον, ἀσθενὲς δὲ τὴν διάλυσιν καὶ οὐ μόνιμον ».—Στ. 15, Ἀκατάγνωςοι.] Ἴδε ἀνωτέρω (σελ. 358) τὴν διόρθωσιν.

ΣΕΛΙΔ. 106, στ. 7, Γεωργὸν ἠδίκουν.] Τοῦ Ἀφθονίου ιδ' μῦθος· ἐκ τῆς τοῦ Νευελ. συναγωγ. σελ. 332.—Στ. 14, Ἔθνει γεράνων.] Τοῦ Ἰγνατίου ὁ μῦθος· ἐκ τῆς τοῦ Νευελ. συναγωγ. σελ. 371.—Στ. 18, Πρὸς φίλον κ. τ. λ.] Ἐν ἑτέρῳ ἀντιγράφῳ (Νευελ. σελ. 641)

ἐπιμύθιον φέρεται τοῦτο, «Κακοῖς μὴ συναγελάζεσθαι· ἐν ἄλλῳ δὲ τόδε, Ἀδικίᾳ μὴ συμφέρεσθαι.

ΣΕΛΙΔ. 107, στ. 18, Δάμαλις ἀγύμναστος.] Ἐκ τῆς Ὠπτεμάννου συναγωγ. σελ. 307.

ΣΕΛΙΔ. 108, στ. 2, Μάχαιρα, καὶ οὐχὶ ζυγός.] Παρείληφα ἐκ τῶν Νευελέτου σημειώσεων (σελ. 625) ἀντὶ τοῦ, Μάχαιρα, οὐ ζυγός. —Στ. 11, Δειλὸς κυνηγός.] Τοῦ Ἰγνατίου ὁ μῦθος· ἐκ τῆς Νευελ. συναγωγ. σελ. 375.—Στ. 12, Εἶδες ἴχνη.] Οὕτως ἔγραψα διὰ τὸ μέτρον, ἀντὶ τοῦ, Ἴχνη εἶδες.—Στ. 13, Εἰ θέλεις.] Εἰς τοῦτ' ἔτρεψα τὸ διὰ μιᾶς λέξεως Ἐθέλεις, καὶ διὰ τὸ μέτρον, καὶ διὰ τὸν νοῦν. —Στ. 14, Ἴχνους.] Οὕτως ἔγραψα, ἀντὶ τοῦ, Ἴχνος. Τὸ ἑξῆς, Οὐ ζητῶ πλέον ἴχνους.—Στ. 15, Πρὸς ἀνθρώπους κ. τ. λ.] Φέρεται καὶ ἕτερον ἐπιμύθιον (Νευελ. σελ. 641) τόδε, Κατὰ ἀπόντων μὴ θρασύνεσθαι.

ΣΕΛΙΔ. 109, στ. 11, Ἐξ ἀγροῦ τις.] Τοῦ Ἀφθονίου λ' μῦθος· ἐκ τῆς Νευελ. συναγωγ. σελ. 345.

ΣΕΛΙΔ. 110, στ. 8, ΔΗΜΑΔΗΣ.] Ἔν τισιν ἀντιγράφοις φέρεται, ΔΗΜΩΔΗΣ. Καὶ τοῦτο μὲν δηλονότι ἡμαρτημένη ἐστὶ γραφή· μήποτε δὲ καὶ ἀντὶ τῆς ἑτέρας ἐγράφετο πάλαι, ΔΗΜΟΣΘΕΝΗΣ. Σημειοῦ δὲ ἐκ τῶν χρόνων ὅτι οὐκ Αἰσώπειος ὁ μῦθος.

ΣΕΛΙΔ. 111, στ. 1, Δρυοτόμοι.] Ἐκ τῆς Ὠπτεμάννου συναγωγ. σελ. 308.—Στ. 9, Εἶχες θελήσειν.] Σημειοῦ τοῦ παρηκμακότος ἑλληνισμοῦ τὸ, Εἶχες θελήσειν, ἀντὶ τοῦ, Ἠθέλησας ἄν, ἢ, Ἠβουλήθης ἄν, ἀνθ' οὗ νῦν φαμέν, Ἤθελες θελήσειν.

ΣΕΛΙΔ. 112, στ. 11, Ἔλαφος, διψει.] Ἐκ τῆς Ὠπτεμάννου συναγωγ. σελ. 138.—Στ. 25, Ἔλαφον τὸ θέρος.] Ἀφθονίου ιή μῦθος· ἐκ τῆς Νευελ. συναγωγ. σελ. 336.

ΣΕΛΙΔ. 113, στ. 5, Ἔλαφος διψήσας.] Ἐκ τῆς Ὠπτεμάννου συναγωγῆς, σελ. 309.—Στ. 12, Ὅτι περὶ πράγματός τινος κ. τ. λ.] Ἐλήφθη τὸ ἐπιμύθιον ἐκ τῆς τοῦ Νευελ. συναγωγ. σελ. 625.—Στ. 14, Πηγαῖς ὁρῶσα κ. τ. λ.] Ἐκ τῆς αὐτῆς συναγωγ. σελ. 363. —Στ. 20, Ὀνήσωσιν.] Οὕτως ἡ τοῦ Ἐρνεστίου καὶ ἡ τοῦ Ὠπτεμάννου ἔκδοσις· ἡ δὲ τοῦ Νευελέτου (σελ. 239) Οἰήσωσιν· ὁ δὲ Φλωρεντινὸς ἐκδότης, οὐκ οἶδ' ὅθεν εἰληφώς, Οἴσωσιν. Βάρβαρα ταῦτα καὶ ἀδιανόητα· ὤφειλε γὰρ γεγράφθαι κατὰ μέσην διάθεσιν, Οἴσονται, ἢ Ὀνήσονται. Ὅπως δὲ ποτ' ἂν ἔχῃ τὰ τῆς γραφῆς, ἔοικεν ὁ μυθογράφος ἀφορμὴν ἐσχηκέναι τοῦ μύθου τὴν ἐπιβληθεῖσαν τοῖς πρωτο-

πλάςοις ποινὴν (Γενέσ. γ', 17), Ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου· ἐν λύπαις φαγῇ αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου, κ. τ. λ.

ΣΕΛΙΔ. 114, στ. 8, Καί τις ἄμπελος πλησίον εἶχε ποταμοῦ τὸν φραγμόν.] Ἐκ τῆς Ὠπτεμάννου συναγωγῆς, σελ. 140. Δῆλον δὲ ὅτι ςιχηρῶς ἐγέγραπτο πάλαι ὁ μῦθος· πλὴν γὰρ τῶν ὀκτὼ τούτων λέξεων, τὰ λοιπὰ εἰς ςίχους εὐχερές ἐςιν ἐντεῖναι τούτους,

Τοῦ δὲ ποταμοῦ ἐξ ὄμβρων φυσηθέντος,
Ἦρε τὸν φραγμὸν καὶ καθελὼν ἀπήει.
Τῇ δὲ παλιούρῳ δράκων τις συνεπλάκη,
Ὃς ἐφέρετο τοῦ ποταμοῦ ἐν μέσῳ.
Καί τις κατιδὼν ἔφη, γελάσας μέγα·
Ἡ μὲν ναῦς κακὴ, ἀξία δὲ τοῦ ναύτου.

ΣΕΛΙΔ. 116, στ. 18, Ζεύς... ὅπως τὸν ὡραιότερον κ. τ. λ.] Ἐκ τῆς Ὠπτεμάννου συναγωγ. σελ. 144.

ΣΕΛΙΔ. 117, στ. 10, Ἀποδώσωσιν.] Ἔπιθι τὰ ἀνωτέρω (σελ. 367) σημειωθέντα.—Στ. 11, Κάλλους ἦν ἀγών.] Τοῦ Ἀφθονίου λά μῦθος· ἐκ τῆς Νευελ. συναγωγ. σελ. 346.—Στ. 21, Αἴσωπος παρεισφέρει κ. τ. λ.] Τοῦ Τζέτζου ὁ μῦθος· ἐκ τῆς Ὠπτεμάννου συναγωγ. σελ. 309.

ΣΕΛΙΔ. 118, στ. 6, Ἀλλοτρίοις.] Τοῦ Ἰγνατίου ὁ μῦθος· ἐκ τῆς Νευελ. συναγ. σελ. 369.—Στ. 8, Πρώτη δὲ δῶρον.] Ἐκ διαφόρου γραφῆς (Νευελ., σελ. 641) ἀντὶ τοῦ, Πρῶτον δὲ δῶρον.—Στ. 11, Ἔδοξε τῷ Διί.] Τοῦ Λιβανίου ὁ μῦθος, ἐκ τῆς Ὠπτεμάννου συναγωγ. σελ. 310.—Στ. 15, Ἐξεκαλεῖτο.] Γραπτέον ἴσως, Ἐξεβάλλετο, ἢ Ἐξέβαλλε.

ΣΕΛΙΔ. 121, στ. 16, Οὕτω πολλοὶ κ. τ. λ.] Ἀπροσδιόνυσον καὶ παντάπασιν ἀνόητον, ὥσπερ τὰ πλεῖςα, ἐπιμύθιον.

ΣΕΛΙΔ. 122, στ. 8, Ἐκ ποίων δρόμων εἰς οἵους καμπτῆρας.] Γράφοις ἂν ἄμεινον, Ἐξ οἵων δρόμων κ. τ. λ. Καμπτῆρας δὲ λέγει, τὰς περὶ τὸν μυλῶνα περιαγωγάς, αἰνιττόμενος τὴν νύσσαν ἢ τὸν καμπτῆρα, περὶ ὃν ἐν τοῖς ἀγῶσιν ἔκαμπτον οἱ ἵπποι πρὸ τοῦ ἀφικέσθαι ἐπὶ τὸ τέρμα.—Στ. 12, Ἵππον ἐλύπει.] Ἀφθονίου μῦθος ιγ'· ἐκ τῆς Νευελ. συναγωγ. σελ. 332.—Στ. 16, Θεραπεύων παρηκολούθουν τοῖς ἀνθρώποις.] Ὡς διάφορον γραφὴν ὁ Νευελέτος τοῦ, Παρηκολούθουν, ἐσημειώσατο τὸ, Παρηκολούθει. Ἀλλ' οὐδ' οὕτως ἀπήρ-

τιςαι τῶν λεγομένων ὁ νοῦς. Γράφε τοίνυν ϑχϱῶν, Θεραπεύων παρηκολούϑει τις ἀνϑρώπων (ἢ Ἄνϑρωπος). Λέγει δὲ τὸν ἱπποκόμον.

ΣΕΛΙΔ. 124, στ. 14, Εἶδεν εἰς ταῦρον.] Ἀφϑονίου ιέ μῦϑος· ἐκ τῆς Νευελ. συναγωγ. σελ. 333.—Στ. 19, Κυρτή.] Ἰγνατίου ὁ μῦϑος· ἐκ τῆς αὐτῆς Νευελ. συναγωγ., σελ. 374.

ΣΕΛΙΔ. 125, στ. 1, Ζημοῖ.] Συγκοπὴ βάρβαρος τοῦ Ζημιοῖ, διὰ τὸ μέτρον

ΣΕΛΙΔ. 127, στ. 8, Ἑαυτοῦ.] Βαρβάρως ἀντὶ τοῦ, Αὐτοῦ.

ΣΕΛΙΔ. 129, στ. 18, Οὕτως ὃς κ. τ. λ.] Ἴδε ἀνωτέρω (σελ. 370) τὴν διόρϑωσιν.

ΣΕΛΙΔ. 130, στ. 1, Ἀετὸς ἀρνόν.] Ἀφϑονίου ιϑ΄ μῦϑος· ἐκ τῆς Νευελ. συναγωγ., σελ. 336.—Στ. 6, Ἀρνὸν καταπτάς.] Ἰγνατίου· ἐκ τῆς αὐτῆς, σελ. 368.—Στ. 8, Παῖς δ' ἐφώνει, τοῦτό τι.] Γράφε καὶ ςίζε, Παῖς δ' ἐφώνει, Τοῦτο τί, ἐρωτηματικῶς.

ΣΕΛΙΔ. 131, στ. 9, Κόραξ κ. τ. λ.] Ἐκ τῆς Ὀπτεμάννου συναγωγ. σελ. 159.—Στ. 20, Τῷ κόρακι.] Ἀφϑονίου κϑ΄ μῦϑος· ἐκ τῆς Νευελ. συναγωγ. σελ. 344.

ΣΕΛΙΔ. 132, στ. 7, Τυρόν.] Ἰγνατίου ὁ μῦϑος· ἐκ τῆς Νευελ. συναγωγ. σελ. 364.—Στ. 9, Εὐϑὺς δ' ὁ τοῦτον ρίψεν· ἡ δ' αὐτὸν φάγεν.] Ἐν ἑτέρῳ ἀντιγράφῳ εὕρηκεν ὁ Νευελέτος (σελ. 640), Κόραξ δὲ ρίπτει τυρόν· ἡ δ' εἷλεν, φάγε· ἐν ἄλλῳ δὲ, Ὁ νήπιος δ' ἔκραγεν· ἡ δ' εἷλεν τυρόν.—Στ. 11, Πρὸς τοὺς ἐπὶ κολακείαις χαίροντας.] Ἐν ἄλλοις, Ἐχϑρῶν ἐπαίνοις μὴ πιςεύειν.—Στ. 12, Μύϑοις Αἰσώπου.] Τοῦ Τζέτζου ὁ μῦϑος· ἐκ τῆς Ὀπτεμάννου συναγωγ. σελ. 311.

ΣΕΛΙΔ. 133, στ. 4, Ἤρνησας.] Βαρβάρως τὸ ἀποϑετικὸν Ἠρνήσω ἔτρεψεν εἰς τὸ ἐνεργητικὸν Ἤρνησας, καϑὰ καὶ ἀνωτέρω (σελ. 6, στ. 13) Ἔσκεψας κατ' ἐνεργητικὸν τύπον, εἴρηκεν, ὅπερ ἡμεῖς, οὐ καλῶς ἴσως ποιοῦντες, εἰς τὸ Ἐσκέψω μετεποιήσαμεν.

ΣΕΛΙΔ. 133, στ. 8, Εὐμενέςατον.] Καὶ τυφλῷ δῆλον γραπτέον εἶναι Εὐμελέςατον, ἢ Ἐμμελέςατον.

ΣΕΛΙΔ. 134, στ. 15, Ἀδικάςως.] Ἐξ ἑτέρων διορϑώσεως ἀντὶ τοῦ Ἀδεκάςως. Καὶ ἡ μὲν διόρϑωσις ἀκριβής· ἡ δὲ λέξις ἠκυρολόγηται ἀντὶ τοῦ, Ἀλογίςως. Καὶ τὸ ἐχόμενον δὲ Πρᾶγμα, εἰς τὸ Πράγματι ἂν ἔτρεψα, εἰ δῆλον ἦν μὴ τοῦ μυϑοποιοῦ αὐτοῦ τὸν βαρβαρισμὸν εἶναι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΣΕΛΙΔ. 135, στ. 7, Κύων κρέας.] Ἐκ τῆς Ὠπτεμάννου συναγωγ. σελ. 163.—Στ. 14, Κύων, παρὰ ποταμόν.] Θέωνος τοῦ σοφιςοῦ· ἐκ τῆς αὐτῆς συναγωγ. σελ. τελευτ.—Στ. 18, Φέρων ποταμοῦ.] Ἰγνατίου ὁ μῦθος· ἐκ τῆς Νευελ. συναγωγ. σελ. 372.—Στ. 22, Ὅτι ὁ πλεονεκτῶν μᾶλλον ζημιοῦται.] Ἐν ἑτέρῳ ἀντιγράφῳ (Νευελ. σελ. 641) τόδε φέρεται ἐπιμύθιον, Τὸ ἐν χερσὶ μικρὸν τοῦ ἐλπιζομένου μείζονος κρεῖττον.

ΣΕΛΙΔ. 136, στ. 14, Κρέας ἁρπάσας.] Ἀφθονίου λέ μῦθος· ἐκ τῆς Νευελ. συναγωγ. σελ. 349.

ΣΕΛΙΔ. 137, στ. 19, Ὄνος, θεασάμενος.] Γαληνοῦ ὁ μῦθος· ἐκ τῆς Ὠπτεμάννου συναγωγ. σελ. 165.

ΣΕΛΙΔ. 138, στ. 14, Κώνωψ καθῆσο.] Ἰγνατίου ὁ μῦθος· ἐκ τῆς Νευελ. συναγωγ. σελ. 358.

ΣΕΛΙΔ. 139, στ. 17, Ἑαυτῷ προσελάλει.] Ἔτρεψα τὸ, Ἑαυτὸν προσαιτεῖ, εἰς τὸ, Ἑαυτῷ προσελάλει, καὶ τὸ ἐν τοῖς ἑξῆς (σελ. 140) Πολυχρηματίᾳ εἰς τὸ Φιλοχρηματίᾳ.

ΣΕΛΙΔ. 140, στ. 19, καὶ 20, Καμήλῳ... Κάμηλον.] Ἴδε τὴν ἐν τοῖς πρόσθεν (σελ. 373) σημείωσιν.

ΣΕΛΙΔ. 141, στ. 8, Λέοντος.] Ἰγνατίου ὁ μῦθος· ἐκ τῆς Νευελ. συναγωγ. σελ. 354.—Στ. 11, Οὐ μῦν πτοοῦμαι, τὴν ὁδὸν δ' ἀνατρέπω.] Τὸ μὲν, Μῦν, ἀντὶ τοῦ, Μὲν, ἐξ ἀντιγράφου (Νευελ. σελ. 639), τὸν δὲ, Δ', σύνδεσμον προσέθηκα, διὰ τὸ μέτρον.—Στ. 12, Ἀρχὰς ὕβρεων ἀναςέλλειν.] Ἐξ ἀντιγράφου (Νευελ. σελ. 639) μεταποιήσας μόνον τὸ, Διαςέλλειν, εἰς τὸ, Ἀναςέλλειν. Ἐν δὲ ταῖς διὰ τύπων ἐκδόσεσι φέρεται, Ὅτι οὐ δεῖ καὶ μικρὰν περιφρόνησιν ἀποςρέφεσθαι.—Στ. 13, Τοῖς μύθοις.] Τοῦ Τζέτζου ὁ μῦθος· ἐκ τῆς Ὠπτεμάννου συναγωγ. σελ. 313.

ΣΕΛΙΔ. 142, στ. 11, Εἰς ἔριν.] Ἀφθονίου μῦθος λδ'· ἐκ τῆς Νευελ. συναγωγ. σελ. 348.—Στ. 19, Ἀνδρὸς ποσίν.] Τοῦ Ἰγνατίου· ἐκ τῆς αὐτῆς συναγωγ. σελ. 354.—Στ. 23, Ἐπ' ἀρετῇ.] Ἐν ἑτέρῳ ἀντιγράφῳ (Νευελ. σελ. 639) φέρεται, Ἐν φύσει.

ΣΕΛΙΔ. 143, στ. 1, Λέων, ἰδών.] Τῷ Εὐριπίδου σχολιαστῇ ἀνατίθεται ὁ μῦθος, ἐν τῇ Ὠπτεμάννου συναγωγ. σελ. 313.

ΣΕΛΙΔ. 144, στ. 6, Λέων ἐρασθείς.] Ἐκ τῆς Ὠπτεμάννου συναγωγ. σελ. 313.—Στ. 7, Ἐκθεάζων τὸν πατέρα αὐτοῦ.] Ἔχεις ἀνωτέρω (σελ. 375) τὴν διόρθωσιν.—Στ. 17, Ἁλίσκεταί ποτε.] Νικηφόρου τοῦ Βασιλακίου ἢ Βασιλάκη, ἐκ πέντε μύθων

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ὁ γ΄ ἐκ τῶν Παρεκβολῶν Λέοντος Ἀλλατίου (ἐν Ῥώμῃ ἔτ. 1641) σελ. 130.

ΣΕΛΙΔ. 145, στ. 19, Φασὶν ἐρασθέντα.] Διοδώρου τοῦ Σικελιώτου (ιθ΄, 25)· ἐκ τῆς Ὡπτεμάννου συναγωγ. σελ. 172.—Στ. 26, Λέων ἤρα.] Ἀφθονίου μῦθος ζ΄ ἐκ τῆς Νευελ. συναγωγ. σελ. 327.

ΣΕΛΙΔ. 146, στ. 2, Ἐπειρᾶτο.] Ἐπηρώτα [rogavit] ἔοικεν ὁ Λατῖνος μεταφραστὴς ἀναγνῶναι· ὅπερ ἧττον ἀνόητον καὶ σοφιστικὸν τοῦ Ἐπειρᾶτο.

ΣΕΛΙΔ. 147, στ. 5, Λέων μάχην.] Ἰγνατίου ὁ μῦθος· ἐκ τῆς Νευελ. συναγωγ. σελ. 355. — Πρὸς ποτῷ.] Ἐξ ἀντιγράφου (Νευελ. σελ. 639) ἀντὶ τοῦ, Πρὸς ποτέ.—Στ. 6, Γῦπες δ᾽ ἄνωθεν ἐσκόπευον τὴν μάχην.] Ἀντὶ τοῦ στίχου τούτου ἐν τοῖς ἀντιγράφοις τοῦ Νευελέτου φέρεται ὧδε,

Γῦπες δὲ θηρῶν ἐσκόπευον τὴν μάχην.

—Στ. 12, Ἀπὸ ψόφων.] Ἴδε ἀνωτέρω, σελ. 376.—Στ. 16, Μείζονα ἐλπίδα.] Ἄμεινον ἂν εἶπε, Μειζόνων ἐλπίδα.—Στ. 17, Ἐλπίδα μείζονα.] Καὶ ὧδε συνετώτερον ἂν ἦν τὸ, Ἐλπίδα μειζόνων.

ΣΕΛΙΔ. 148, στ. 5, Ἄγρην.] Ἰγνατίου μῦθος· ἐκ τῆς Νευελ. συναγωγ. σελ. 386.—Γεράνῳ]. Ἴσως ἐγέγραπτο, Ὀνάγρῳ.

ΣΕΛΙΔ. 149, στ. 3, Καταγωνίσαι.] Γράφε, Καταγωνίσασθαι, ὥσπερ ἐν τῷ παραλλήλῳ μύθῳ, σελ. 377.—Στ. 6, Δεινοπαθῶν.] Ἴδε ἀνωτέρω (σελ. 377) τὴν σημείωσιν.—Στ. 12, Λέων... καὶ προσκαλεσάμενος.] Ἐκ τῆς Ὡπτεμάννου συναγωγ. σελ. 177.

ΣΕΛΙΔ. 150, στ. 17, Λύκος, ἄρνα.] Ἐκ τῆς Ὡπτεμάννου συναγωγ. σελ. 179. Ὁ δὲ μῦθος εἰς πεζοῦ λόγου σχῆμα ἐκ δωδεκασυλλάβων μεταμεμόρφωται στίχων ἀρρύθμων πάνυ, οὓς ἀνευρήσεις, ὀλίγα τῆς γραφῆς μεταποιήσας·

Λύκος [δὲ], ἄρνα εὑρὼν πεπλανημένον,
Οὐκ ἀφήρπασε χειρὶ δυνατωτάτῃ·
Ἀλλ᾽ ἐπεζήτει τοῦτον φαγεῖν εὐλόγως.
Ὅστις πρὸς αὐτὸν ταῦτα οὕτως ἐλάλει·
Πέρυσιν αὐτὸς πολλὰ καθύβρισάς με.
Ὁ δὲ πρὸς αὐτὸν ταῦτα θρηνῶν ἐβόα·
Ἔγωγ᾽ οὐκ ἐν τούτῳ γεγένημαι τῷ χρόνῳ.
Ὁ δὲ πρὸς αὐτὸν, Τὴν ἄρουράν μου νέμῃ.

Ὁ δ' ἀρνὸς ἔφη, Ἀκμὴν τροφὴν οὐκ εἶδον.
Πάλιν ὁ λύκος, Ἐκ τῆς πηγῆς μου πίνεις.
Οὐ πίνω γ' ἀκμὴν ὕδωρ, αὐτῷ προσεῖπε·
Μητρός μοι γάλα τροφὴ ἐςι καὶ πόμα.
Ὁ δὲ συλλαβὼν καὶ φαγὼν αὐτὸν εἶπεν·
Ἀλλ' ἐγὼ νῦν τέως ἄδειπνος οὐ μενῶ
Διὰ τοῦτο, σοῦ ἀφορμὰς πολλὰς λύων.

ΣΕΛΙΔ. 151, στ. 5, Λύκος πρός.] Ἰγνατίου ὁ μῦθος· ἐκ τῆς Νευελ. συναγωγ. σελ. 374.—Στ. 8, Θοίνη γένῃ μοι, κἂν θέμις, κἂν μὴ θέμις.] Ἀντὶ τούτου ἐν ἑτέροις ἀντιγράφοις (Νευελ. σελ. 641) ὧδε φερέται ὁ ςίχος,

Ἐπεὶ λέγεις δίκαια, πάγκακος πέλεις.

—Στ. 9, Ἀδικία προφάσεως εὔπορος.] Προὔκρινα τὸ ἐξ ἀντιγράφου (Νευελ. σελ. 641) ἐπιμύθιον τόδε, τοῦ κοινῇ φερομένου τούτου, Πρὸς τοὺς ἀδεῶς φανερῶς ἀδικοῦντας.

ΣΕΛΙΔ. 154, στ. 5, Λύκος, τῶν λοιπῶν.] Ὅτι μὲν ἐκ ςίχων εἰς πεζοῦ λόγου σχῆμα μετεποιήθη ὁ μῦθος, δεδήλωται ἀνωτέρω (σελ. 380)· ἀλλ' ὧδέ τε κἀκεῖ ἡμάρτηται ἐν πολλοῖς ἡ γραφή.—Στρατηγήσας.] Ἐν τῷ παραλλήλῳ μύθῳ (σελ. 380) Ἔγραψεν ὁ διασκευαςὴς βαρβάρως, Ἐκςρατηγήσας, διὰ τὴν ἀνάγκην τοῦ μέτρου τῶν συλλαβῶν.—Στ. 6, Ἵν' ὅ τις αὐτῶν τιποτοῦν κυνηγήσῃ.] Οὕτως ἔγραψα ἀντὶ τοῦ, Ἵνα τις αὐτῶν τιποτοῦν κυνηγήσας, ἵνα ᾖ τὸ ἑξῆς Ὅ, τί ποτ' οὖν τις αὐτῶν κυνηγήσῃ.—Στ. 7, Μερίσαι.] Εἰς τοῦτο ἔτρεψα τὸ, Μοιρίσαι· νῦν δὲ γραπτέον οἶμαι, Μοιράσαι. Ἔςι δὲ τὸ Ἀγαγεῖν, καὶ τὸ Μοιράσαι, οὐ γραφικὰ, ἀλλ' αὐτοῦ τοῦ διασκευαςοῦ ἁμαρτήματα, ἀντὶ τοῦ, Ἀγάγῃ, καὶ Μοιράσῃ, ὡς ὀρθώτερον ἔγραψεν ὁ ἕτερος (σελ. 380).—Ὄνου δὲ ἀκηκοότος ταῦτα πάντα.] Οὐδ' αὕτη ἡ βάρβαρος ἀπόλυτος γενικὴ τοῦ γραφέως ἐςὶν ἁμάρτημα· πολλὰς γὰρ τοιαύτας εὑρήσεις ἐν τούτοις τοῖς μύθοις. Ὀρθώτερον ὁ ἕτερος τῶν διασκευαςῶν εἴρηκε, Τούτων οὖν ὄνος ἀκηκοώς. Ὥρα δὲ καὶ τὸν μῦθον ὅλον διορθώσαντας ἐξ ἑκατέρου εἰς τοὺς ἑξῆς οὐ πάνυ τι κομψοὺς ἐντεῖναι ςίχους·

Λύκος τῶν λοιπῶν λύκων ἐκςρατηγήσας,
Πᾶσιν ἔταξε νόμον αὐτοῖς προτείνας,

Ἵν', ὅ τις αὐτῶν τιποτοῦν κυνηγήσῃ,
Μέσον ἀγάγῃ καὶ μοιράσῃ τοῖς πᾶσι.
Τούτων οὖν ὄνος ἀκηκοὼς, [αὐτίκα]
Χαίτην ἔσεισε, καὶ γελῶν ἔφη τάδε·
Καλῶς εἴρηκας, ὦ πρώταρχε τῶν λύκων·
Ἀλλὰ πῶς σὺ χθὲς, ἣν ἐκράτησας ἄγραν,
Κοίτῃ παρέθου εἰς τροφήν σοι λαθραίως;
Κόμισον αὐτὴν μερισθῆναι τοῖς πᾶσιν.
Ὁ δὲ θαμβηθεὶς, κατέλυσε τοὺς νόμους.

ΣΕΛΙΔ. 155, στ. 12, Οἱ λύκοι πρός.] Ἀφθονίου μῦθος κά' ἐκ τῆς Νευελ. συναγωγ. σελ. 338.—Στ. 8, Οἱ λύκοι παρά.] Λιβανίου μῦθος· ἐκ τῆς Ὀπτεμάννου συναγωγ. σελ. 316.

ΣΕΛΙΔ. 156, στ. 10, Καθ' ὃν χρόνον.] Ἐκ τοῦ κατὰ Πλανούδην Αἰσώπου βίου· παρὰ τῷ Ὀπτεμάννῳ, σελ. 316.

ΣΕΛΙΔ. 158, στ. 6, Μηναγύρται.] Οὕτως ἐκαλοῦντο οἱ ἱερεῖς τῆς Ῥέας· καὶ Μητραγύρται δὲ οἱ αὐτοί. Καὶ τοῦτο μὲν ἀναμφηρίστως παρὰ τὸ τῇ Μητρὶ τῶν θεῶν ἀγείρειν τροφὰς μετὰ τυμπάνων περιιόντας, ὥς φησιν Εὐστάθιος (σελ. 1824)· τὸ δὲ Μηναγύρται, διὰ τὸ κατὰ μῆνα, φασὶ, γίνεσθαι τὴν τοιαύτην περίοδον καὶ ἐπαίτησιν τῶν ἱερέων τούτων, ὧν τὴν ἀναίδειαν ἱκανῶς ἐδήλωσε Πλάτων ἐν Πολιτείας δευτέρῳ. Ἐφοίτων δὲ μάλιστα παρὰ τὰς γυναῖκας ὡς ἀνδρῶν οὔσας φύσει δεισιδαιμονεστέρας, καὶ ἐμύουν αὐτὰς τῇ μητρὶ τῶν θεῶν, ὥστε καὶ εἰς τὸ βάραθρον ἐμβληθῆναί τινα τῶν γοήτων τούτων ὑπὸ τῶν Ἀθηναίων (Σουΐδ. λέξ. Μητραγύρτης). Ἕτεροι δὲ ἑτέρως ἀποδεδώκασι τοῦ Μηναγύρται τὸ ἔτυμον (ἴδ. Ἡσυχ. Λεξικ. Τ. Β, σελ. 594). Μήποτε δὲ παρὰ τὸ, Μῆνα, πιθανώτερόν ἐστι παράγειν τὴν λέξιν, τὸ σημαῖνον τὴν Μητέρα, καὶ τὴν Μήτραν, καθὰ δηλοῖ καὶ τὸ ἀπ' ἐκείνου παρηγμένον ἐν τῇ παρ' ἡμῖν συνηθείᾳ Μάνα. Μαρτυρεῖ δέ μου τῇ εἰκασίᾳ, ταύτῃ Ἡσύχιος, λέγων, «ΜΗΝΑ, τὸ μέσον τοῦ ξύ» λου· ὅπερ Καρδία καὶ Ἐντεριώνη »· Καὶ αὖθις, « ΜΗΤΡΑ... τῶν » ξύλων τὸ ἐντὸς, ὃ Καρδίαν τινὲς, ἢ Ἐντεριώνην καλοῦσι ».

ΣΕΛΙΔ. 159, στ. 10, Γαλαῖ καὶ μύες.] Ἐκ τῆς Ὀπτεμάννου συναγωγ. σελ. 317.

ΣΕΛΙΔ. 161, στ. 17, Βρυάζων.] Εἰς τοῦτο ἔτρεψα τὸ, Βρυχάζων, ὃ καλῶς ποιῶν καὶ ὁ φίλος Σνεϊδέρος ἐν ταῖς ἀμφιβαλλομέναις τῶν λέξεων κατέταξεν, ἐκ τοῦδε παραλαβὼν τοῦ μύθου. Τὸ δὲ

Βρυάζων ἐπὶ τοῦ γαυριῶν καὶ ἡδόμενος, ἐνταῦθα. Σημαίνει δὲ καὶ τὸ, Θάλλων, ἀκμάζων ἀνθῶν, ἢ αὐξανόμενος· ὅθεν καὶ Ἔμβρυον, τὸ ἐν τῇ γαςρὶ αὐξανόμενον. Τὸ γὰρ Βρυάζειν παράγωγόν ἐςι τοῦ Βρύειν. Καὶ ἡ παρ' ἡμῖν δὲ συνήθεια, Βρυάζειν φησὶν οὐδετέρως τὸ πολυπληθεῖν, οἷον « Βρυάζουσιν οἱ ποντικοί ».—Στ. 18, Βρεκεκεκὲξ, κοὰξ, κοάξ.] Τοῦ Νευελέτου (σελ. 630) ἡ διόρθωσις, Βρεκεκεκὲξ, ἀντὶ τοῦ, Βεκεκέξ. Εἴληφε δὲ ταῦτα ὁ μυθογράφος ἐξ Ἀριςοφάνους, μίμημα φωνῆς βατράχων παίξαντος τοῦτο· αὐτοὶ γὰρ οἱ βάτραχοι παρ' ἐκείνῳ (Βατρ. 258) παράγονται λέγοντες,

Ἀλλὰ μὴν κεκραξόμεσθά γ',
Ὁπόσον ἡ φάρυγξ ἂν ἡμῶν
Χανδάνῃ, δι' ἡμέρας,
Βρεκεκεκὲξ, κοὰξ, κοάξ.

Σημαίνει δὲ οὐ μόνον τὴν φωνὴν τοῦ βατράχου, τὸ Κοὰξ, ἀλλὰ καὶ αὐτὸν τὸν βάτραχον, μεταθέσει τοῦ τόνου. «Κόαξ, βάτραχος» φησὶν Ἡσύχιος. Καὶ εἰκὸς τοὺς Αἰολέας τὸ δίγαμμα παρεντιθέντας, Κόϐαξ, ἢ Κούαξ, τοῦτο προφέρειν· παρ' ὃ τὸ ἐν τῇ συνηθείᾳ δηλοῦν τὸν βάτραχον, Κούβακας, ὡς παρὰ τὸ Κόλαξ, τὸ Κόλακας.

ΣΕΛΙΔ. 162, στ. 1, Ὅτε ἦν ὁμόφωνα.] Ἐκ τοῦ Βίου Αἰσώπου τοῦ κατὰ Πλανούδην· ἐκ τῆς Ὠπτεμάννου συναγωγ. σελ. 192.—Στ. 5, Μὴ ἀποκάμῃς.] Ἔγραψαν ἕτεροι, Ἵνα μὴ ἀποκάμῃς, δηλονότι τὸν λατινισμὸν ἐκφυγεῖν βουλόμενοι.

ΣΕΛΙΔ. 164, στ. 4, Δύο φίλοι.] Ἐκ τῆς Ὠπτεμάννου συναγωγ. σελ. 196.—Στ. 17, Βοηθεῖν.] Ἴσ. γρ. Βοηθοί.

ΣΕΛΙΔ. 165, στ. 6, Ὅτι.] Ἴδε ἀνωτέρω (σελ. 387) τὸν παράλληλον μῦθον.—Στ. 13, Τῆς ἑαυτοῦ ἀβουλίας.] Ὤφειλε γράφειν Τὴν ἑαυτοῦ (ἢ Τὴν σεαυτοῦ) ἀβουλίαν, διὰ τὸ Ἠτιῶ.—Στ. 17, Ἐγγὺς φρέατος.] Ἐκ τῆς Ὠπτεμάννου συναγωγ. σελ. 317.

ΣΕΛΙΔ. 166, στ. 11, Οὐδὲ ἐπιδέομαι.] Ἴσ. γρ. Οὐδὲν ἐπιδέομαι. —Στ. 13, Ὅτι τοιοῦτος κ. τ. λ.] Παρὰ τὸ Εὐριπίδειον (Εὐριπιδ. Τομ. Β, σελ. 466),

Ὅςις δ' ὁμιλῶν ἥδεται κακοῖς ἀνὴρ,
Οὐ πώποτε ἠρώτησα, γιγνώσκων ὅτι
Τοιοῦτός ἐσθ' οἵοις περ ἥδεται ξυνών.

ΣΕΛΙΔ. 167, στ. 1, Τῶν ἀλγεινῶν.] Ἐκ τοῦ Πλουτάρχου (Ποτερ.

τῶν ζώων φρονιμ. κ. τ. λ. § 16)· ἐκ τῆς τοῦ Ὠπτεμάννου συναγωγ. σελ. 200.—Στ. 13, Περῶν.] Ἰγνατίου ὁ μῦθος· ἐκ τῆς Νευελέτου συναγωγ. σελ. 373.

ΣΕΛΙΔ. 169, στ. 1, Ὤμοις.] Ἰγνατίου ὁ μῦθος· ἐκ τῆς Νευελ. συναγωγ. σελ. 357.—Στ. 2, Ὅπερ.] Ἀντὶ τούτου τοῦ ςίχου εὗρεν ἐν ἑτέροις ἀντιγράφοις ὁ Νευελέτος (σελ. 639) τὸν ἑξῆς,

Φοίβου, τό περ πᾶς προσκυνῶν πίπτεν κάτω.

—Στ. 12, Ὄνος ἐπεθύμει.] Ἀφθονίου μῦθος ι΄ ἐκ τῆς Νευελέτου συναγωγ. σελ. 329.—Στ. 18, Κόσμος.] ΕΔ, ἀντὶ τοῦ, Νόμος. —Στ. 19, Ὄνος τις.] Θεμιςίου ὁ μῦθος· ἐκ τῆς Ὠπτεμάννου συναγωγ. σελ. 204.

ΣΕΛΙΔ. 170, στ. 6, Φέρων.] Τοῦ Ἰγνατίου ὁ μῦθος· ἐκ τῆς Νευελ. συναγωγ. σελ. 361.—Στ. 7, Τρέπων.] Ἐκ τῶν Νευελέτου (σελ. 640) ἀντιγράφων, ἀντὶ τοῦ, Βλέπων.—Στ. 11, Ἐν Κύμῃ.] Τοῦ Τζέτζου· ἐκ τῆς Ὠπτεμάννου συναγωγ. σελ. 318.

ΣΕΛΙΔ. 171, στ. 7, Ὄνος ἐζήτει.] Ἀφθονίου μῦθος θ΄· ἐκ τῆς Νευελ. συναγωγ. σελ. 328.—Στ. 12, Ὀδοῦσιν.] Τοῦ Ἰγνατίου ὁ μῦθος· ἐκ τῆς αὐτῆς συναγωγ. σελ. 376.—Στ. 16, Πρὸς τούς... ἐπὶ βλάβῃ.] Ἐν ἑτέροις ἀντιγράφοις τόδε εὗρεν ὁ Νευελέτος (σελ. 641) ἐπιμύθιον, Ὃ μὴ ἤσκηταί τις, μὴ μετιέτω.

ΣΕΛΙΔ. 172, στ. 10, Οὐρά ποτε.] Τοῦ Πλουτάρχου· ἐκ τῆς Ὠπτεμάννου συναγωγ. σελ. 206.

ΣΕΛΙΔ. 173, στ. 8, Βοτῆρες.] Ἐκ τῆς Ὠπτεμάννου συναγωγ. σελ. 208.—Στ. 16, Βοὸς φαγών.] Τοῦ Ἰγνατίου· ἐκ τῆς τοῦ Νευελ. συναγωγ. σελ. 357.—Στ. 17, Ἤμει, κεκληγὼς, Σπλάγχνα.] Οὕτως ἐν ἑτέροις τοῦ Νευελέτου (σελ. 640) ἀντιγράφοις ὀρθῶς, ἀντὶ τοῦ, Οἴμοι κέκληγ' ὡς σπλάγχνα.

ΣΕΛΙΔ. 174, στ. 3, Ἐκτιννύειν.] Ἐξ ἀντιγράφων τοῦ Νευελέτου, ἀντὶ τοῦ, Ἀντιςρέφειν.—Στ. 11, Παῖς τις.] Ἐκ τῆς Ὠπτεμάννου συναγωγ. σελ. 208.—Στ. 13, Ὡς ἀκρίδας.] Τοῦ Ἰγνατίου· ἐκ τῆς τοῦ Νευελ. συναγ. σελ. 360.

ΣΕΛΙΔ. 176, στ. 8, Γυνή τις.] Ἐκ τῆς τοῦ Ὠπτεμάννου συναγωγ. σελ. 211.

ΣΕΛΙΔ. 177, στ. 7, Τοὺς πιθήκους.] Παρὰ τὴν φυσικὴν ἱςορίαν ἀπιθάνως πέπλαςαι ὁ μῦθος, ὑπὸ ἀμαθεςάτου, ὡς εἰκάζειν ἐςὶν ἐκ τῶν ἑξῆς, γραμματικοῦ.—Στ. 12, Ὅτι πάσης προνοίας κ. τ. λ.] Ἐν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ἑτέρῳ ἀντιγράφῳ εὗρεν ὁ Νευελέτος (σελ. 632) τὸ μακρὸν οὐχ ἧττον ἢ γελοῖον ἐπιμύθιον τοῦτο (ὅπερ εἰκὸς ὑπ' αὐτοῦ ἐκείνου προσγεγράφθαι, ὃς προσέπλασε καὶ τὸ ἀνωτέρω, (σελ. 419) τῷ περὶ τῆς ἀηδόνος μύθῳ)· « Τοιοῦτον ἦθος ἔχουσί τινες τῶν ἀνθρώπων, οἷς ἀεὶ ἐχθραίνειν » ἐςὶ καλὸν ἢ φιλεῖν, ὅπερ καὶ παρὰ γονέων πολλάκις πρὸς οἰκεῖα » γίνεται τέκνα· ὅσα δῆθεν φιλῶσιν, αὐτὰ τῆς σωτηρίας ἐμποδίζουσιν· » ὅσα δὲ δῆθεν μισῶσιν, αὐτὰ εὐκόλως πρὸς σωτηρίαν ἀπέρχεται, καὶ » τὸ τῶν μοναχῶν σχῆμα περιβάλλεται ». Ὅρα δέ μοι καὶ τοῦ Ἑλληνιςοῦ τὸ ἄμουσον, καὶ τοῦ Μοναχοῦ τὸ μισάνθρωπον. Τοῦ μὲν γὰρ ἐπιμυθίου ἡ σύνταξις ἄνδρα τῆς ἑλληνικῆς κομψείας ἀλλότριον καὶ γραμματικὸν αὐτόχρημα φιλοσοφίας ἄμοιρον κατελέγχει· τὸ δὲ πάντας τοὺς μὴ τὸ μοναχικὸν περιβαλλομένους σχῆμα σωτηρίας ἀποκλείειν, τῆς εὐαγγελικῆς φιλανθρωπίας ἀλλότριον, καὶ μονονοὺ θηριῶδες.

Τοιόνδε δ', ὦ πίθηκε, τὸν πώγων' ἔχων,
Εὐνοῦχος ἡμῖν ἦλθες ἐσκευασμένος,

καὶ τὰς ἑλληνικὰς Μούσας ἀφανίζων, καὶ τῆς τίμιον τὸν γάμον ἀποφηναμένης θρησκείας καταγελῶν; — Στ. 13, Δύο γεννᾷ.] Ἐκ τῆς Ὠπτεμάννου συναγωγ. σελ. 320. — Μιμώ.] Οὕτως ἐκάλουν τὸν πίθηκον, διὰ τὸ ἄγαν μιμητικὸν τοῦ ζώου. Μιμεῖται γὰρ ὅ, τι περ ἂν ἴδῃ· ἀλλ' ἐπὶ τὸ γελοιότερον ἅπαντα, ἀτεχνῶς ὥσπερ καὶ οἱ δίχα φιλοσοφίας πιθηκίζοντες γραμματικοί. Ἔςι δὲ τοῦ παρακμάζοντος ἑλληνισμοῦ τοὔνομα (Σουίδ. λέξ. Πιθὼ, καὶ Πίθηκος), ἐξ οὗ τὸ ἐν τῇ συνηθείᾳ Μαϊμοὺ, ὅπερ οἱ Τοῦρκοι, Μαϊμοὺν, προφέρουσι.

ΣΕΛΙΔ. 178, στ. 3, Στεῤῥὸς ὁ κυβερνήτης.] Ὕποπτος ἡ γραφή. — Στ. 15, Ἐν τόπῳ τινί.] Ἐκ της Ὠπτεμάννου συναγωγ. σελ. 320. — Στ. 17, Συνεθίσῃς.] Ὡς τὸ παρ' ἡμῖν, Συνειθίσῃς, περὶ οὗ ἔπιθι τῆς ἡμῖν ἐκδιδομένης Ἑλληνικῆς Βιβλιοθήκης τοῦ 3 Τόμου τὴν 384 σελίδα.

ΣΕΛΙΔ. 179, στ. 8, Μάνδρας εἴσω.] Δηλονότι ἐκ ςίχων δωδεκασυλλάβων εἰς πεζοῦ λόγου σχῆμα μετεῤῥύθμιςαι ὁ μῦθος, ὑπὸ γραμματικοῦ. Γνώσῃ δὲ, μικρὰ τὴν γραφὴν μεθαρμόσας·

Μάνδρας εἴσω πρόβατα ποιμὴν εἰσάγων,
Λύκον ἤμελλε λεληθότως συγκλεῖσαι,
Εἰ μὴ κύων, ἔφησε πρὸς τὸν ποιμένα·

Πῶς, τὰ πρόβατα [ὦ ποιμὴν] σῶσαι θέλων,
Τόνδε τὸν λύκον συνεισάγεις τῇ ποίμνῃ;

—Στ. 21, Ποιμὴν σκύλακα.] Ἐκ τῆς Ὀπτεμάννου συναγωγ. σελ. 217.

ΣΕΛΙΔ. 180, στ. 1, Ὁμαλίζων.] Τί δύναται τὸ Ὁμαλίζω, σεσημείωται ἐν τοῖς εἰς τὸν Ἰσοκράτην (Μέρ. Β, σελ. 69). Κἀκεῖ μὲν τὸ, Ὡμαλισμένας ὑπὸ τῶν συμφορῶν, ἔλεγον τὸ ἐξισωμένας δηλοῦν, ἀπὸ μεταφορᾶς τῶν ὁμαλῶν καὶ ἐπιπέδων χωρίων, δέον προσθεῖναι καὶ τὸ, τεταπεινωμένας· τοιαῦτα γὰρ τὰ ἐπίπεδα καὶ ὁμαλὰ, ἀντιδιεσταλμένως πρὸς τὰ ὀρεινὰ ἢ ἀνώμαλα. Ἐν δὲ τῷ προκειμένῳ μύθῳ ἴσον δύναται τὸ Ὁμαλίζων, τῷ ἐν τῇ παρ' ἡμῖν συνηθείᾳ, Χαϊδεύων, ἢ Κολακεύων (Γαλατ. caresser), τῇ προσψαύσει δηλονότι καὶ ἀπὸ τῆς κεφαλῆς ἐπὶ τὰ νῶτα καὶ τὴν οὐρὰν τοῦ ζώου, φορᾷ τῆς χειρὸς, δι' ἧς αἱ πεφρικυῖαι τρίχες ἐπὶ τὸ κατὰ φύσιν ὁμαλιζόμεναι ταπεινοῦνται.—Στ. 2, Μὴ γένηται, μηδὲ συμβῇ.] Βαρβάρως, ἀντὶ τοῦ Μὴ γένοιτο μηδὲ συμβαίη, ἢ ἀντὶ τοῦ, Οὐ μὴ γένηται οὐδὲ μὴ συμβῇ.—Στ. 12, Προμηθεύς.] Τῶν ἀστείων ὁ μῦθος, ἱκανῶς ἐλέγχων τοὺς ἐν ἀνθρωπείαις σαρξὶ θηρίου ψυχὴν ἐμφωλεύουσαν ἔχοντας.

ΣΕΛΙΔ. 181, στ. 7, Ἀμύνεσθαι.] Γράφε, Ἀμύνασθαι, ὡς φέρεται ἐν τῷ (σελ. 396) παραλλήλῳ μύθῳ.—Στ. 11, Τράγος δὲ κ. τ. λ.] Σημειοῦ λείψανον χωλιάμβων,

Τράγος δὲ τοῦτον τοῖς κέρασιν ἐξώθει.

—Στ. 17, Ἤλαυνε.] Τοῦ Ἰγνατίου ὁ μῦθος· ἐκ τῆς Νευελέτου συναγωγ. σελ. 378.

ΣΕΛΙΔ. 182, στ. 21, Μάχην.] Τοῦ Ἰγνατίου ὁ μῦθος· ἐκ τῆς Νευελ. συναγωγ. σελ. 382.

ΣΕΛΙΔ. 183, στ. 10, Τράγῳ.] Τοῦ Ἰγνατίου ὁ μῦθος· ἐκ τῆς αὐτῆς συναγωγ. σελ. 362.—Στ. 14, Ἀδικίας μὴ κατάρχεσθαι.] Τοῦτο παρείληφα ἐκ τῶν ἀντιγράφων Νευελέτου (σελ. 640) τὸ ἐπιμύθιον, ἀντὶ τοῦ παρ' ἅπασι φερομένου, ἀπροσφυοῦς μὲν τῷ μύθῳ, οὐ μὴν ἀπρεποῦς τῷ μυθογράφῳ, ἐπιμυθίου τοῦδε· « Ὅτι πολλάκις » θέλων τις ἀδικεῖν τινα, ὠφελεῖ αὐτόν ».—Στ. 15, Ἄμπελος.] Ἀφθονίου μῦθος λζ'· ἐκ τῆς Νευελ. συναγωγ. σελ. 351.

ΣΕΛΙΔ. 184, στ. 4, Τὰς ὑαίνας φασί.] Οὗτος καὶ ὁ ἑξῆς 282 μῦθος

μῦθος ἀντιφέρονται προδήλως τῇ φυσικῇ ἱςορίᾳ, ἐκ τῆς πεπλανημένης τινῶν, ἐν οἷς καὶ ὁ Αἰλιανὸς (Περὶ ζώων ἰδιότ. ά, 25), δόξης περὶ τοῦ ζώου. Ἀριςοτέλης δὲ (Περὶ ζώων ἱςορ. ϛ΄, 32), ὡς ἐσημειώσατο ὁ Νευελέτος, ψεῦδος ὂν ἀπήλεγξε τὸ τῆς ὑαίνης ἀνδρόγυνον· ἔοικε δὲ καὶ τὴν αἰτίαν τῆς πλάνης ὑποσημαίνεσθαι διὰ τούτων, «Σπάνιον δὲ » ἐςι λαβεῖν ὕαιναν θήλειαν· ἐν ἕνδεκα γοῦν κυνηγός τις μίαν ἔφη » λαβεῖν». Ὃ δὲ μάλιςα θαυμάζειν ἄξιον, ὅτι καὶ νῦν ἔτι ἐν τῷ καλουμένῳ Ἀκρωτηρίῳ τῆς χρηςῆς ἐλπίδος (Cap de bonne-Espérance) κοινῇ πεπίςευται τὸ τὰς ὑαίνας παρ' ἐνιαυτὸν ἀλλάσσειν τὴν φύσιν, ἢ μᾶλλον ἄῤῥενάς τε καὶ θηλείας τὰς αὐτὰς εἶναι· ὥς φησί τις τῶν τὰ ἐκεῖ ἔναγχος ἱςορηκότων (Ἴδ. τὰς σημ. εἰς τὰ Ἀρτεμιδώρου Ὀνειροκριτ. Τόμ. Β, σελ. 338), Von diesem Thiere... erzählt man hier, es sey ein Jahr ums andere Mann oder Weib, oder vielmehr, es sey beydes zugleich. Dieses behaupten nicht nur die Bauern, sondern auch Leute von Erziehung. —Στ. 16, Λογοθετοῦντας... λογοθετουμένους.] Χαλεπὸν ἐςι νοῆσαι τί βούλεται λέγειν, διὰ τοῦ ἀπροσδιονύσου τούτου ἐπιμυθίου, ὁ γραμματικὸς μυθογράφος. Ὁ Νευελέτος, ὡς γοῦν ἐκ τῆς Λατινικῆς εἰκάσαι μεταφράσεως (σελ. 314), ἔοικεν ἀναγνῶναι, Νομοθετοῦντας... νομοθετουμένους.—Στ. 19, Ἄνεμος δὲ φυσήσας.] Σημειοῦ καὶ ὧδε ςίχων δωδεκασυλλάβων λείψανα,

> Ἄνεμος δὲ φυσήσας ἀφεῖλε ταύτας.
> Γέλως δὲ πλατὺς τοὺς παρεςῶτας εἶχε.
> Κἀκεῖνος εἶπε, τοῦ δρόμου [κατα]παύσας.

ΣΕΛΙΔ. 185, στ. 4, Γυμνοὶ γὰρ κ. τ. λ.] Ἐκ τοῦ παρὰ τῷ Ἰὼϐ (α, 21) «Γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύ- » σομαι ἐκεῖ» παρῴδηκε ταῦτα, ὁ ἀφιλόσοφος γραμματικὸς, τὰ τῆς ἱερᾶς γραφῆς τοῖς Αἰσωπείοις μύθοις συναναφύρας, ὡς καὶ ἀλλαχοῦ τῶν μύθων τούτων. Ἡ δὲ φιλοσοφία, εὐσεβεςέρας ἔχουσα περὶ τῶν θείων δόξας, ταῦτα λέγει· «Ὁ θεὸν ἐγκαταμιγνὺς ἀνθρωπίναις χρείαις » οὐ φείδεται τῆς σεμνότητος, οὐδὲ τηρεῖ τὸ ἀξίωμα καὶ τὸ μέγεθος » αὐτῷ τῆς ἀρετῆς (Πλούταρχ. Περὶ τῶν Ἐκλελοιπ. χρηςηρ. § 9)». —Στ. 8, Ὑπνώδη.] Καίπερ ὄντος δήλου γραπτέον εἶναι Ὑπνῶδες, ὡς φέρεται καὶ ἐν τῷ ἑξῆς (σελ. 397) παραλλήλῳ μύθῳ, εἴασα τὴν γραφὴν, ἐκ τῆς λοιπῆς ἀμουσίας τῆς περὶ τὴν σύνθεσιν, οὕτω τὴν ἀρχὴν γεγραφέναι τὸν διασκευαςὴν εἰκάσας.—Στ. 12, Ἦν τις.] Ἐκ τῆς Ὠπτε-

μάννου συναγωγ. σελ. 225. Σώζει δὲ ὁ μῦθος λείψανα δωδεκασυλλάβων ςίχων ἀῤῥύθμων οὐκ ὀλίγα,

Τὸν γὰρ ἄκμονα ἐμοῦ προσκεκρουκότος,
Ἐπανακλίνεις σαυτὸν ἐπὶ τῆς κλίνης,
Μὴ θέλοντός σου ἀναςῆναι καθόλου.
Ὅταν δὲ πάλιν τοὺς ὀδόντας κινήσω,
Εὐθὺς ἐγείρῃ, καὶ τὴν κέρκον σου σείεις.

ΣΕΛΙΔ. 186, στ. 17, Τοῦ λίνου, ὡς ὄντος κακῶν.] Ὁ μὲν Ἐρνέςιος, ἐξ οὗ ἀπεγραψάμην τὸ κείμενον, γράφει Τοῦ λίνου, ὡς πάντως κακῶν· ὁ δὲ Νευελέτος, Ὡς πάντως ὄντος τοῦ λίνου κακῶν.

ΣΕΛΙΔ. 187, στ. 7, Πῆξε.] Ἰγνατίου ὁ μῦθος· ἐκ τῆς Νευελ. συναγωγ. σελ. 370. Ἐν τῷ δευτέρῳ ςίχῳ ἐγράφετο ἴσως, Βλάπτεν, κατὰ παρατατικὸν ἀναύξητον, ἀντὶ τοῦ, Βλάπτει. Σημειοῦ καὶ τὸ, Καλῶν ἀνθρώπων, τοῦ ἐπιμυθίου, ὡς ἐκ τῆς συνήθους φωνῆς εἰλημμένον, ἀντὶ τοῦ, Ἀγαθῶν ἀνθρώπων.—Στ. 15, Συνειδυῖα ἑαυτὴν βραδυτάτην.] Ἄμεινον ἂν ἐγράφετο, Συνειδυῖα ἑαυτῇ βραδύτητα.

ΣΕΛΙΔ. 188, στ. 1, Ποδῶν χελώνης.] Ἐκ τῆς τοῦ Ὀπτεμάννου συναγωγ. σελ. 228. Μετεῤῥύθμιςαι δὲ ἐκ ςίχων εἰς τὸν πεζὸν λόγον, ἢ δῆλον ἐκ τοῦ (σελ. 398) παραλλήλου μύθου.—Στ. 11, Σεμνὸς ἦν ἵππος] Τοῦ Λιβανίου ὁ μῦθος περιέργως καὶ σοφιςικῶς συντεθειμένος· ἐκ τῆς Ὀπτεμάννου συναγωγ. σελ. 322.

ΣΕΛΙΔ. 189, στ. 5, Ἐν τόπῳ τινὶ κ. τ. λ.] Οὐ δ' ἐν τούτῳ ὁ διασκευαςὴς τῷ μύθῳ ἴσχυσεν ἀφανίσαι τελέως τοῦ ςιχηροῦ λόγου τὰ ἴχνη. Εὑρήσεις γὰρ, μικρὰ τῆς γραφῆς μετασκευάσας, τρεῖς ςίχους τούτους,

Πόσην γὰρ ὁλκὴν τοὐμὸν αἷμα προσθήσει;
Καὶ εἰ μὲν κρεῶν, ὦ δέσποινά [μου], χρήζεις,
Μάγειρος ἔςαι, ὅς με συντόμως θύσει.

ΣΕΛΙΔ. 191, στ. 1, Ψύλλα δέ.] Εἰς ςιχηρὸν ἐκ τοῦ πεζῇ γεγραμμένου μετεποίησα τὸν παράλληλον τούτῳ μῦθον (σελ. 400).—Στ. 8, Ὅσην τοῖς κύκνοις.] Ἀφθονίου μῦθος γ΄· ἐκ τῆς Νευελ. συναγωγ. σελ. 324.—Στ. 14, Λέγεται τὸν ἰκτῖνα.] Ἰουλιανοῦ τοῦ Αὐτοκράτορος· ἐκ τῆς Ὀπτεμάννου συναγωγ. σελ. 323.

ΣΕΛΙΔ. 192, στ. 1, Ἰξευτὴς τέττιγος.] Ἀφθονίου μῦθος δ΄· ἐκ τῆς Νευελ. συναγωγ. σελ. 325.—Στ. 7, Ἡ μήτηρ.] Τοῦ αὐτοῦ Ἀφθο-

νίου ιά· ἐκ τῆς αὐτῆς συναγωγ. σελ. 330.—Στ. 13, Ὀρθῶς βαδίζειν.] Τοῦ Ἰγνατίου μῦθος· ἐκ τῆς αὐτῆς συναγωγ. σελ. 383.

ΣΕΛΙΔ. 193, στ. 1, Ταῦροι τρεῖς.] Ἀφθονίου μῦθος ιϛ'· ἐκ τῆς Νευελ. συναγωγ. σελ. 334.—Στ. 8, Ἐνέμοντο.] Ἐκ τῆς Ὀπτεμάννου συναγωγ. σελ. 323.—Στ. 13, Ὁμόφρονες.] Τοῦ Ἰγνατίου· ἐκ τῆς Νευελ. συναγωγ. σελ. 370.—Στ. 15, Καὶ μάχης.] Φέρεται καὶ ἑτέρα γραφὴ, Καὶ λόγοις.—Στ. 16, Ἕκαστον... ὡς ἕνα.] Ἑτέρα γραφὴ, Ἕκαστον οἷον ἐκβέβρωκεν ἀθλίως· ἄλλη, Ἕκαστον ὡς ἓν' ἐκβέβρωκεν ἀθλίως.—Στ. 17, Πρὸς τοὺς σχιζομένους... πάσχοντας.] Φέρεται καὶ ἕτερον ἐπιμύθιον ἐξ ἑτέρων ἀντιγράφων τοῦτο, Φυλάττεσθαι τοὺς ὁμοφρονοῦντας.—Στ 18, Ταύρω δύο.] Τοῦ Θεμιςίου ὁ μῦθος· ἐκ τῆς Ὀπτεμάννου συναγωγ. σελ. 323.

ΣΕΛΙΔ. 194, στ. 5, Παραδέδωκε.] Βαρβάρως ἀντὶ τοῦ Παρέδωκε.—Στ. 17, Ἔλαφον ἡ μήτηρ.] Ἀφθονίου μῦθος ιζ'· ἐκ τῆς Νευελ. συναγωγ. σελ. 335.

ΣΕΛΙΔ. 195, στ. 1, Ἀλώπηξ.] Ἀφθονίου μῦθος κ'· ἐκ τῆς αὐτῆς συναγωγ. σελ. 337.—Στ. 8, Ἐλαία.] Τοῦ αὐτοῦ μῦθος κβ'· ἐκ τῆς αὐτῆς συναγωγ. σελ. 339.

ΣΕΛΙΔ. 196, στ. 6, Ὁ βάτραχος.] Ἀφθονίου μῦθος κδ'· ἐκ τῆς Νευελ. συναγωγ. σελ. 341.—Στ. 12, Μῦς ἀρουραῖος.] Τοῦ αὐτοῦ μῦθος κϛ'· ἐκ τῆς αὐτῆς συναγωγ. σελ. 342.

ΣΕΛΙΔ. 197, στ. 10, Ἐσύριζον.] Ἐγράφετο ἐν τῇ Τυρουΐττου διατριβῇ (σελ. 16) Ἐτζύριζον· ὅπερ οὔτε γραφικῶς, οὔτε τυπογραφικῶς ἡμαρτῆσθαι ἔοικεν, ἀλλὰ τοῦ διασκευάσαντος τὸν μῦθον βάρβαρος λέξις εἶναι, ἐκ τῆς συνηθείας παρειλημμένη. Οὐ μόνον γὰρ, Σφυρίζω (Προδρ. Ἑλλ. Βιβλ. Αὐτοσχ. ϛοχ. σελ. οϐ'), ἀλλὰ καὶ, Τζυρίζω, φαίη ἂν ἡ συνήθεια, τὸ Συρίζω, καθὰ καὶ παρὰ τὸ Σίζω, ἔπλασε τὸ Τζίζω.

ΣΕΛΙΔ. 198, στ. 1, Ἐν κοίλῃ.] Ἀφθονίου μῦθος κζ'· ἐκ τῆς Νευελ. συναγωγ. σελ. 343.—Στ. 4, Μηδὲν δεόμενος μέλιτος κ. τ. λ.] Ἐντεῦθεν ἡ πᾶσι δήλη παροιμία, Μήτε μέλι, μήτε μελίσσας, χρηςὴ μὲν τοῖς μὴ βουλομένοις παθεῖν τι τῶν δοκούντων ἀγαθῶν μετὰ κακοῦ, ἀλυσιτελὴς δὲ τοῖς διὰ τὸ πικρὸν τῶν πόνων τὰ ὄντως ἀγαθὰ μὴ προαιρουμένοις.—Στ. 7, Δράκων.] Ἀφθονίου μῦθος κη'· ἐκ τῆς Νευελ. συναγωγ. σελ. 344.—Στ. 13, Ἀλοῶντες.] Ἐκ τοῦ Αἰλιανοῦ (Περὶ ζώων ἰδιότ. ιζ', 37).

ΣΕΛΙΔ. 199, στ. 2, Ἔργμασιν.] Οὕτω διορθώσας γέγραφα ἀντὶ

τοῦ ἠπορημένου, Ἔρμασιν· προσέθηκα δὲ καὶ τὸ ὁμοιωματικὸν, Ὥς, διὰ τὴν σύνταξιν. Ἡσύχιος φησίν· «Ἕργμασιν· κωλύμασι, περιφράγ- » μασι ».—Στ. 25, Γεωργῷ.] Ἀφθονίου μῦθος λή' ἐκ τῆς Νευελ. συναγωγ. σελ. 351.

ΣΕΛΙΔ. 200, στ. 4, Ἑωρακώς.] Τοῦ αὐτοῦ μῦθος μ'· ἐκ τῆς αὐτῆς συναγωγ. σελ. 353.—Στ. 9, Βοῤῥᾶς.] Ἐκ τῆς Ὠπτεμάννου συναγωγ. σελ. 243, τῆς δὲ Ἐρνεςείου 217.

ΣΕΛΙΔ. 201, στ. 7, Βοῤῥᾶς καὶ ἥλιος.] Ἐκ τῆς Ὠπτεμάννου συναγωγ. σελ. 243.—Στ. 14, Ὁ ἥλιος τὸν Βορέαν.] Πλουτάρχου, Γαμικ. παραγγελμ. § 12.

ΣΕΛΙΔ. 202, στ. 14, Γεωργός.] Ἐκ τῆς Ὠπτεμάννου συναγωγ. σελ. 244.—Στ. 17, Φάκελλον.] « Φάκελλος (φησὶ Σουΐδας), τὸ τῆς » κεφαλῆς φόρεμα, ὃ καὶ Φακιόλιον λέγεται. Λέγεται δὲ καὶ ὁ δεσμὸς » τῶν καλάμων ». Ἄμεινον δ' ἂν γράφοιτο δι' ἑνὸς λ, ὡς εὕρηται ἐν τῷ τοῦ Φωτίου Λεξικῷ (λ. ξ. Φάκελος). Ἔςι γὰρ παρὰ τὸ τῶν Ῥωμαίων **Fasciola**, ὅτε σημαίνει τὸν τῆς κεφαλῆς ἐπίδεσμον, ἢ παρὰ τὸ **Fasciculus**, ἡνίκα δηλοῖ ξύλων δέσμην.

ΣΕΛΙΔ. 203, στ. 1, Διὰ ςενῆς.] Ἐκ τοῦ αὐτοῦ Ὠπτεμάννου, σελ. 245.—Στ. 9, Πίθηκος.] Ἐκ τοῦ αὐτοῦ, σελ. 246.

ΣΕΛΙΔ. 204, στ. 10, Παῖς λουόμενος.] Ἐκ τοῦ αὐτοῦ, σελ. 247.

ΣΕΛΙΔ. 205, στ. 1, Αἴσωπός ποτε.] Ἐκ τοῦ αὐτοῦ, σελ. 248. —Στ. 11, Τὰ δένδρα.] Ἰώσηπος (Ἰουδ. Ἀρχαιολογ. Ε, ζ', σελ 207) διεσκεύασε τὸν μῦθον τοῦτον ἐκ τοῦ ἐν τῇ παλαιᾷ γραφῇ (Κριτ. Θ, 8) ὑπὸ Ἀβιμέλεχ πρὸς τοὺς ἄνδρας Σικίμων ῥηθέντος μύθου, οὗ ἡ ἀρχὴ, « Πορευόμενα ἐπορεύθη τὰ ξύλα τοῦ χρίσαι ἐφ' ἑαυτὰ βασιλέα ».

ΣΕΛΙΔ. 207, στ. 14, Ἦν ὅτε.] Ἐκ τῶν πέντε ὁ β μῦθος Νικηφόρου τοῦ Βασιλακίου (ἐκ τῶν Παρεκβολῶν Λέοντος Ἀλλατίου, σελ. 127), μακρὸς, περίεργος, ἀηδὴς, καὶ ἑνὶ λόγῳ, οἷον ἐχρῆν εἶναι τὸν ὑπὸ τοιούτου σοφιςοῦ συντεθειμένον μῦθον.

ΣΕΛΙΔ. 208, στ. 10, Ἔχθραν.] Γράφε, Ἐχθρὰν, ἐπιθετικῶς πρὸς τὴν ἔλαφον.—Στ. 18, Ἤριζεν.] Ἰγνατίου ὁ μῦθος· ἐκ τῆς Νευελ. συναγωγ., σελ. 366.

ΣΕΛΙΔ. 209, στ. 12, Κρότωνας.] Οἱ αὐτοὶ καὶ οὓς ἀνωτέρω Κυνοραϊςὰς ὠνόμασεν Ἀριςοτέλης. Εἰσὶ δὲ αἱ παρ' ἡμῖν καλούμεναι Σκυλόμυιαι.· Στ. 15, Τραυματίᾳ.] Ἰωσήπου (Ἰουδ. Ἀρχαιολογ. ιή, 7, σελ. 811) ὁ μῦθος.

ΣΕΛΙΔ. 211, στ. 4, Ἀνὴρ δειλός.] Πλουτάρχου· ἐκ τῆς Ὠπτεμάννου συναγωγ. σελ. 256.

ΣΕΛΙΔ. 217, στ. 13, Ὀπῆς.] Σκέπης δεῖν γράφειν εἴκασάν τινες. Ἴσως γραπτέον, Ὀροφῆς.

ΣΕΛΙΔ. 218, στ. 2, Μηδὲ τῆς.] Οὕτως ἔγραψα, ἀντὶ τοῦ, Μήτε τῆς. Ἄμεινον δ' ἂν γράφοις ἁπλῶς, Μὴ τῆς. Πρὸς δὲ τὸ Ἀποδέχεσθαι, ὑπονόει τὸ Φασὶ, ἤ τι τοιοῦτον ἕτερον.—Στ. 9, Μάτην ἐπὶ κακῷ.] Σημειοῦ τὸ, Ἐπὶ κακῷ, συνωνύμως ἴσως τεταγμένον τῷ Μάτην. Οὕτω γὰρ καὶ ἡ Συνήθεια, Τοῦ κακοῦ, κατὰ γενικὴν λέγει, ἐπὶ τῆς ἐννοίας τοῦ Μάτην.

ΣΕΛΙΔ. 220, στ. 1, Βοηλάτης.] Παρὰ τῷ Σουΐδᾳ· ἐκ τῆς Ὠπτεμάννου συναγωγ., σελ. 267.—Στ. 7, Ἐπέσκωπτον.] Γρηγορίου τοῦ Θεολόγου (Ἐπιστολ. Α. Τομ. Α, σελ. 767) ὁ μῦθος.—Στ. 8, Μήτε.] Γράφε, Μηδέ.

ΣΕΛΙΔ. 221, στ. 16, Ἀνθρώπων ἕκαστος.] Θεμιστίου (Λογ. κά, σελ. 262) ὁ μῦθος.—Στ. 21, Δύο πήρας.] Γαληνοῦ· ἐκ τῆς Ὠπτεμάννου συναγωγ. σελ. 270.

ΣΕΛΙΔ. 222, στ. 1, Αἴσωπος ἔφη.] Ἐκ τῶν Ἀντωνίου καὶ Μαξίμου γνωμῶν· ἐκ τῆς Ὠπτεμάννου συναγωγ. σελ. 270.—Στ. 5, Κεραμεύς.] Ἐκ τοῦ Σουΐδα (λέξ. Ὄνου παρακύψεως).—Στ. 11, Λέων ποτέ.] Νικηφόρου τοῦ Βασιλακίου, τῶν πέντε ὁ πρῶτος μῦθος· ἐκ τῶν Λέοντος τοῦ Ἀλλατίου Παρεκβολῶν, σελ. 125.

ΣΕΛΙΔ. 223, στ. 10, Ποταμός.] Ἐκ τῆς Ὠπτεμάννου συναγωγ. σελ. 274.—Στ. 13, Διέβαινε.] Ἐκ τοῦ αὐτοῦ, σελ. 274.—Στ. 15, Εἰπέ τι τοιοῦτο.] Ἔπιθι τὰ ἀνωτέρω (σελ. 406) σημειωθέντα.

ΣΕΛΙΔ. 224, στ. 1, Γυνή τις.] Ἐκ τοῦ κατὰ Πλανούδην Αἰσώπου βίου· ἐκ τῆς Ὠπτεμάννου συναγωγ. σελ. 275.—Στ. 17, Ἀνήρ τις.] Ἐκ τοῦ αὐτοῦ Πλανούδου· ἐκ τῆς αὐτῆς συναγωγ. σελ. 276.

ΣΕΛΙΔ. 225, στ. 1, Ἀνήρ τις, τῆς οἰκείας.] Ἐκ τοῦ Πλανούδου· παρὰ τῷ Ὠπτεμάννῳ, σελ. 277.—Στ. 5, Γεωργός τις.] Ἐκ τοῦ αὐτοῦ· παρὰ τῷ αὐτῷ, σελ. 277.

ΣΕΛΙΔ. 226, στ. 3, Λέοντα.] Τοῦ Ἰγνατίου ὁ μῦθος. ἐκ τῆς Νευελέτου συναγωγῆς, σελ. 355.—Στ. 5 καὶ 6, Εἰ σωφρονῶν... δράσεις.] Οἱ δύο στίχοι οὗτοι ἐν ἑτέρῳ ἀντιγράφῳ τοῦ Νευελέτου (σελ. 639) οὕτω φέρονται,

Εἰ σωφρονῶν γὰρ δυσκάθεκτος ἦν λέων,
Πῶς οὐ μανεὶς δράσειε μεστὰ δακρύων;

—Στ. 7, Ὅτι ἐξουσίαν κ. τ. λ.] Καὶ τὸ ἐπιμύθιον ἐν τῷ αὐτῷ ἀντιγράφῳ οὕτως ἔχει· Ὅτι δεῖ τὸν ἐξουσιάζοντα θυμοῦ κρατεῖν. —Στ. 8, Μῦς ἔκφερεν μῦν.] Τοῦ αὐτοῦ Ἰγνατίου· ἐκ τῆς αὐτῆς συναγωγ. σελ. 360. Ἔγραψα δὲ ἐξ ἑτέρων ἀντιγράφων τοῦ Νευελέτου (σελ. 640) Μῦς ἔκφερεν μῦν, ἀντὶ τοῦ κοινῇ φερομένου, Σῦς εἷλκε τις μῦν.—Στ. 11, Ὡς οὐδὲ μῦν.] Ἐκ τῶν αὐτῶν ἀντιγράφων, ἀντὶ τοῦ, Ὡς οὐδὲ σῦν.—Στ. 12, Πρὸς τοὺς τὰ ἑαυτῶν.] Ἐν τοῖς αὐτοῖς ἀντιγράφοις καὶ τὸ ἐπιμύθιον οὕτως ἔχει· Μὴ γελᾷν πτῶμα τῶν πέλας.—Στ. 14, Γάμοις ἔχαιρον.] Τοῦ αὐτοῦ Ἰγνατίου· ἐκ τῆς αὐτῆς συναγωγ. σελ. 365.—Τοῖς ἡλίου.] Ἐξ ἀντιγράφου Νευελέτου (σελ. 640) ἀντὶ τοῦ, Τοῦ ἡλίου.—Στ. 16, Μόνου.] Ἐκ διορθώσεως Νευελέτου, ἀντὶ τοῦ, Μόνας.

ΣΕΛΙΔ. 227, στ. 5, Πᾶσιν πεφύκει.] Τοῦ Ἰγνατίου· ἐκ τῆς τοῦ Νευελέτου συναγωγ. σελ. 370.—Στ. 10, Ἤτει λαβεῖν.] Τοῦ αὐτοῦ· ἐκ τοῦ αὐτοῦ Νευελέτου, σελ. 376.

ΣΕΛΙΔ. 228, στ. 10, Ἀνδρὸς πόθον.] Τοῦ αὐτοῦ· ἐκ τοῦ αὐτοῦ, σελ. 381.—Στ. 15, Ὁ μυθογράφος.] Τοῦ Τζέτζου ὁ μῦθος· ἐκ τῆς Ὠπτεμάννου συναγωγ. σελ. 286.

ΣΕΛΙΔ. 229, στ. 11, Λέγεται.] Ἐκ τοῦ Λουκιανοῦ (Ἀλ. ἢ Ἀναβ. § 36).

ΣΕΛΙΔ. 230, στ. 1, Τὶς τῶν ἐν δόξῃ.] Τοῦ Τζέτζου ὁ μῦθος· ἐκ τῆς τοῦ Ὠπτεμάννου συναγωγ. σελ. 287.—Στ. 8, Στελλίδια.] Οὕτως ἐν τῇ τοῦ Ἄγγλου Τυρουΐττου διατριβῇ (σελ. 5) ἐξ ἧς εἴληπται ὁ μῦθος. Γραπτέον μέντοι δι' ἑνὸς λ Στελίδια, ἢ μᾶλλον Στελεΐδια· παρὰ γὰρ τὸ Στελεὸν, οὐδέτερον, καὶ ποιητικῶς Στειλειὸν (Ὀδυσσ. Ε, 236). Ἔςι δὲ ἡ λαβὴ τῆς ἀξίνης ἢ τοῦ πελέκεως, ἡ καὶ παρὰ τοῖς Γερμανοῖς Stiel καλουμένη. Ἔσωσε δὲ καὶ ἡ συνήθεια τὴν λέξιν ἐν τῷ Στελιάριον, τὸ ἐπ' Εὐςαθίου (Παρεκβολ. εἰς τὴν Ὀδύσσ. σελ. 1531) Στειλειάριον καλούμενον, καὶ ῥῆμα σχηματίσασα ἐξ αὐτοῦ τὸ Στελιαρίζω, ὃ σημαίνει τὸ ξύλῳ παίω. Εὕρηται δὲ καὶ ἀρσενικῶς τοὔνομα, οὗ ἡ γραφὴ Στειλαιὸς ἡμάρτηται παρὰ τῷ Ἱπποκράτει· ὤφειλε γὰρ εἶναι Στειλεὸς, ἢ Ἰωνικώτερον Στειλειός.

ΣΕΛΙΔ. 235, στ. 4, Λύκοις καὶ κυσίν.] Τὰ Βαβρίου εἰς τοῦτον τὸν μῦθον ἀνήκοντα λείψανα (ἃ καὶ πρὸ ἡμῶν ὁ Τυρουΐττος ἐσημειώσατο) εὑρήσεις ἀνωτέρω (σελ. 410).—Στ. 13, Ζεὺς ἐν πίθῳ.] Εἴληπται, ἢ μᾶλλον παρῴδηται ἐκ τῶν Ἡσιόδου Ἔργων τε καὶ ἡμερῶν (στ. 81-104) ὁ μῦθος· ἐκεῖ γὰρ οὐκ ἀνὴρ, ἀλλὰ γυνὴ, ἡ Παν-

θῶρα, ἣν ἡ τὸ πῶμα τοῦ πίθου ἀφελοῦσα, ἐξ οὗ, οὐ τἀγαθὰ, ἀλλὰ τὰ κακὰ, ἐξελθόντα ἀνὰ πᾶσαν γῆν τε καὶ θάλασσαν ἐσκεδάσθησαν.

ΣΕΛΙΔ. 236, στ. 7, Εἴληφεν.] Γραπτέον, οἶμαι, Εἴληχεν.

ΣΕΛΙΔ. 237, στ. 11, Ὑφ' ἑνὸς δηχθῆναι τοῦτον.] Ἀντὶ τοῦ, Τοῦτον, γραπτέον, Τούτων, πρὸς τὸ Μυρμήκων.

ΣΕΛΙΔ. 238, στ. 6, Πίθηκοι συνελθόντες.] Εὕρηται καὶ παρὰ τῷ Πρισκιανῷ (σελ. 1330) ὁ μῦθος ἐξ Ἑρμογένους παρειλημμένος, καὶ εἰς τὴν Ῥωμαίων φωνὴν οὕτω μεταπεφρασμένος· Simiæ oonvenerunt, et consilium habuerunt de urbe condenda: et quia placuit illis, paratæ erant incipere ædificationem. Sed vetus inter eas prohibuit ab incepto eas, docens, quod facile capientur, si intra muros concludantur.—Στ. 10, Λέων ποτέ.] Τὸν 368 μῦθον τοῦτον, τὸν ἐκ Νικηφόρου τοῦ Βασιλακίου, διάγραφε, ὡς ἀβλεψίᾳ τυπογράφων δὶς γεγραμμένον, ὧδέ τε, καὶ ἀνωτέρω (σελ. 222)· οὐδὲ γάρ ἐκείνων ἐςὶ τῶν καλῶν τὰ τοῦ Βασιλακίου, ἃ καὶ δὶς λέγειν καλὸν εἶναί φησι Πλάτων.

ΣΕΛΙΔ. 239, στ. 17, Κόραξ τις, ἰδών.] Μόνοις τοῖς προσώποις διαφέρει ὁ μῦθος τοῦ ἀνωτέρω 293 μύθου (σελ. 191).

ΣΕΛΙΔ. 240, στ. 2, Ἐν τοῖς ὕδασι.] Ἴσως ἔγραψεν ὁ Συντίπας, Ἐν τοῖς σοῖς ὕδασι.

ΣΕΛΙΔ. 241, στ. 4, Ὅτι ἐν ᾧ μέτρῳ.] Ἐκ τοῦ Εὐαγγελιςοῦ Ματθαίου (ζ', 2) παρῴδηκε τὸ ἐπιμύθιον.

ΣΕΛΙΔ. 246, στ. 1, Ἀνήρ τις τῶν εὐλαβῶν.] Καὶ τὸ Εὐλαβὴς, καὶ τὸ Αἱρετισάμενος, ἐκκλησιαςικαὶ λέξεις εἰσί.—Στ. 13, Καὶ τὸ μὲν χρυσίον μὴ εὑρηκὼς κ. τ. λ.] Ὅπερ ἐν ἄλλοις (Προδρ. Ἑλλ. Βιβλιοθ. Στοχ. Αὐτοσχ. σελ. ρκέ) ἐσημειωσάμεθα τοῦ Πλάτωνος δίςιχον, παρῳδεῖν ἔοικεν ὁ μυθογράφος.

ΣΕΛΙΔ. 258, στ. 21, Κτῆσιν.] ΕΔ, ἀντὶ τοῦ, Κύησιν.

ΣΕΛΙΔ. 260, στ. 17, Τοῦτο.] ΕΔ, ἀντὶ τοῦ, Τοῦτον.

ΣΕΛΙΔ. 263, στ. 17, Τὴν λείαν ἀτὰρ διά.] Ἴσ. γρ. Τὴν λείαν ἀταρπὸν (ἢ Ἀτραπὸν) διά.

ΣΕΛΙΔ. 264, στ. 12, Οὐδὲ τὰ κοινὰ τοῖς ἀνθρώποις ἐπιτελεῖν δυνάμενοι.] Αἰνίγματι ὅμοιον τὸ τέλος τοῦ μύθου. Ἴσως ἐξεῤῥύηκέ τι τοῦ χωρίου περὶ τῆς Ἀράβων ἀλαζονείας, μεγάλα ἐπαγγελλομένων, ὅτε μηδὲ τὰ μικρὰ ἐκτελέσαι οἷοί τέ εἰσι, κατὰ τὸν 166 μῦθον (σελ. 100 καὶ 355).—Στ. 15, Ὁ δ', ἐπιςραφείς.] Ἐγράφετο, Ὁ δὲ ἐπιςραφείς.

ΣΕΛΙΔ. 265, στ. 9, Κάμηλος ἀναγκαζομένη κ. τ. λ.] Τῶν ἀςείων ὁ μῦθος· εἰς ὃν ἀνακτέον, τὰ ἐκ τοῦ Βαβρίου παρὰ τῷ Σουΐδᾳ (λέξ. Πυῤῥίχαις), λυπρὰ ταυτὶ λείψανα κομψοῦ μύθου,

— Ἐμοὶ γένοιτο κἂν ὁδῷ βαίνειν
Μὴ καταγέλαςον, μήτε (γρ. Μηδὲ) Πυῤῥίχην παίζειν,

ἅπερ ἕτεροι οὐκ ὀρθῶς, ἐμοὶ δοκεῖν, τῷ 387 (σελ. 247) μύθῳ προσήκειν ὑπέλαβον.

ΣΕΛΙΔ. 268, στ. 1, Μὴ φρενωθείην.] Ἢ ἐπὶ τοῦ Φρονιματισθείην ἐκδεκτέον τὸ Φρενωθείην, ἢ γραπτέον Μὴ 'κφρενωθείην, παρὰ τὸ μήπω καταχωρισθὲν ἐν τοῖς Λεξικοῖς Ἐκφρενοῦσθαι, τουτέςιν, Ἔξω φρενῶν γίνεσθαι.—Στ. 5, Ὑπὸ τῶν.] Ἐγράφετο κακῶς, Ἀπὸ τῶν.—Στ. 6, Ἐπιγινώσκειν.] Ἴσ. γρ. Ἐπιγινώσκοντας. —Στ. 17, Ἐναντίως κ. τ. λ.] Γραπτέον ἤ, Ἐναντίας ἔχοντας δόξας, ἢ Ἐναντίως ἔχοντας ταῖς δόξαις.

ΣΕΛΙΔ. 269, στ. 3, Κλωβός.] Ὀρνίθων οἴκημα δρυφάκτοις περιεχόμενον· ὅθεν τὸ ἐν τῇ συνηθείᾳ Κλωβίον καὶ Κλουβίον.—Στ. 20, Σχεῖν τι δειπνήσει.] Γράφε, Σχεῖν σήμερον τί δειπνήσω, ἢ Σχεῖν τὸν φίλον τί δειπνήσει.

ΣΕΛΙΔ. 270, στ. 7, Διαλαμβάνον.] Πρὸς τό, Γραμμάτιον. Ἐγράφετο δὲ κακῶς, Διαλαμβάνων.—Στ. 11, Ὄνον τις ἔχων κ. τ. λ.] Μιᾶς σχεδὸν μόνης λέξεως, τῆς Μέλλων εἰς τὴν Μέλλοντος, μεταβολῇ, καὶ ἑτέρας μιᾶς, τῆς Πάντως, ἀποβολῇ, ἐκ πεζοῦ εἰς ςιχηρὸν οἷόν τε μετακοσμῆσαι τὸν μῦθον,

Ὄνον τις ἔχων, καὶ τῷ βοῒ συζεύξας,
Ἠροτρία, πτωχῶς μέν, ἀλλ' ἀναγκαίως.
Ἐπεὶ δὲ τὸ ἔργον ἐπληρώθη, λύειν
Μέλλοντος αὐτούς, ὁ ὄνος διηρώτα
Τὸν βοῦν· Τίς ἄξει τῷ γηπόνῳ τὰ σκεύη;
Ὁ δὲ πρὸς αὐτὴν εἶπεν· Ὅσπερ εἴωθε.

ΣΕΛΙΔ. 271, στ. 13, Μικρὸν λύκον... εἶτα σκύμνον γενόμενον.] Πῶς Γενόμενον; οὐ γὰρ ἔπειτα γίνεται, ἀλλ' ἔςιν ἤδη καὶ λέγεται, Σκύμνος λύκου, ὁ μικρὸς λύκος.

ΣΕΛΙΔ. 274, στ. 8, Πέμψειν.] Ἐγράφετο, Πέμπειν.

ΣΕΛΙΔ. 275, στ. 19, Καὶ κρίνων, ἢ καὶ ῥόδον τι.] Ἴσ. γρ. Κρίνων, ἢ ῥόδων τι.—Στ. 23, Οὐκέτι. Ἐγὼ δέ, ἔφη κ. τ. λ.] Προσ-

έθηκα τὸν σύνδεσμον· ἐνήλλαξα δὲ καὶ τὴν ςίξιν, ὃ συνῆκε καὶ ὁ Φλωρεντινὸς ἐκδότης. Ἐγράφετο δὲ πρότερον, Οὐκέτι ἐγώ, ἔφη.

ΣΕΛΙΔ. 276, στ. 18, Τύχοι.] Ἐγράφετο, Τύχη.

ΣΕΛΙΔ. 277, στ. 14, Τρεῖς Βολάς.] Οὕτω καὶ ἡ συνήθεια, Τρεῖς βολάς, ἢ Τρεῖς φοράς, λέγει, ἀντὶ τοῦ, παρὰ τοῖς ἀρχαίοις ἐπιῤῥήματος, Τρίς· καθά, καὶ Μίαν βολάν, ἢ φοράν, ἀντὶ τοῦ, Ἅπαξ, καὶ Πολλὰς βολάς, ἢ φοράς, ἀντὶ τοῦ, Πολλάκις. Ὁ δὲ μῦθος, τῶν πάνυ χυδαίων ὤν, χυδαῖον καταγγέλλει τὸν μυθογράφον, ἴσως δὲ καὶ Μοναχὸν τῆς τρισκαιδεκάτης ἢ τεσσαρεσκαιδεκάτης ἑκατονταετηρίδος.

ΣΕΛΙΔ. 281, στ. 14, Δεῖ δὲ αὐτόν.] Γράφε, Δεῖν δὲ αὐτόν, ὥσπερ ἐγέγραπτο ἀνωτέρω (σελ. 3).—Στ. 19, Τὰ ἐν χερσὶν οὐ προσίενται.] Γραπτέον, Τὰ ἐν χερσὶ προΐενται.

ΣΕΛΙΔ. 290, στ. 21, Εἰ καὶ δυςυχεῖ λίαν, κἂν καὶ μυρίους κινδύνους ὑποςῇ.] Βάρβαρα ταῦτα καὶ τῆς ἑλληνικῆς γλώσσης ἀλλότρια.

ΣΕΛΙΔ. 293, στ. 5, Τοῦτο.] Ἐγράφετο κακῶς, Τοῦτον.—Στ. 9, Δέον ἐςίν, ἵνα... δηχθήσωμαι.] Διττῶς βάρβαρον· τὸ μὲν ὅτι ἀντὶ τοῦ, Δέον, ἢ Δεῖ με δηχθῆναι, ἀναλύσας τὸ ἀπαρέμφατον, Δέον ἵνα, κ. τ. λ. εἴρηκε· τὸ δέ, ὅτι καὶ τῷ, Δηχθήσωμαι, ἀντὶ τοῦ, Δηχθῶ, ἢ Δάκνωμαι, ἐχρήσατο.

ΣΕΛΙΔ. 346, στ. 12, Ἐτύγχανέ τινι λυπηθῆναι καὶ τὸν τόπον φεύγειν.] Ἴσως γραπτέον, Εἰ τυγχάνει τινὶ λυπηθῆναι, καὶ τὸν τόπον φεύγει.

ΣΕΛΙΔ. 359, στ. 8, Τηρῶ δὲ καὶ χρείαν οὐχὶ μίαν τούτων.] Ὀψέ ποτε συνῆκα, παραβαλὼν πρὸς τὸν ἐν τοῖς πρόσθεν (σελ. 106) μῦθον, τοῦτον οὕτω πως εἶναι διορθωτέον τὸν ςίχον,

Ὅρα δὲ καὶ χροιὰν οὐχ ὁμοίαν τούτοις,

ἢ οἰκειότερον τῷ διασκευαςῇ, τουτέςι βαρβαρώτερον,

Τηρῶ δὲ καὶ χροιὰν οὐχ ὁμοίαν τούτων.

ΣΕΛΙΔ. 370, στ. 5, Τὸ ζῆν ἀποῤῥήγνυμι.] Ἐγράφετο, Τοῦ ζῆν ἀποῤῥήγνυμαι, μετὰ διαφόρου γραφῆς, Τοῦ ζῆν ἀποῤῥήγνυμι.

ΣΕΛΙΔ. 394, στ. 16, Ἃ μέλλει... ἐκφεύξει] Τούτῳ προσαρμοςέον τῷ μύθῳ ὅπερ ἐσημειώσατο Τυρουΐττος ἐκ τοῦ Ἐτυμολογικοῦ (λέξ. Πεπρωμένον) Βαβριανὸν ἐπιμύθιον τόδε,

Ἅ σοι πέπρωται, ταῦτα τλῆθι γενναίως,
Καὶ μὴ σοφίζου· τὸ χρεὼν γὰρ οὐ φεύξῃ.

ΣΕΛΙΔ. 396, στ. 12, Ἐλέγχουσα.] Ἐλέγχον, δέον εἰπεῖν, πρὸς τὸ μισηθὲν τέκνον, ὁ δὲ πρὸς τὴν μητέρα συνέταξε. Ψευδὴς δὲ ἡ τοῦ μύθου ὑπόθεσις, ἀπ' αὐτοῦ ἴσως τοῦ Ὀππιανοῦ τὴν ἀρχὴν λαβοῦσα· οὕτω γὰρ ἐκεῖνος (Κυνηγετ. Β, 608-611) περὶ τῶν πιθήκων·

Κεῖνοι καὶ φίλα τέκνα δυσειδέα δοιὰ τεκόντες,
Οὐκ ἀμφοῖν ἀτάλαντον ἑὴν μερίσαντο ποθητύν,
Ἀλλὰ τὸ μὲν φιλέουσι, τὸ δ' ἐχθαίρουσι χόλοισιν·
Αὐταῖς δ' ἀγκαλίδεσσιν ἑῶν ἔκτεινε τοκήων.

ΣΕΛΙΔ. 397, στ. 8, Ἐτραυμάτισεν.] Πολλὴ παρὰ τοῖς Ἑβδομήκοντα ἡ λέξις, Τραυματίζω, ἀντὶ τοῦ, Τιτρώσκω.—Στ. 22, Ἀργώδεις.] Τοῦ παρηκμακότος ἑλληνισμοῦ, ἀντὶ τοῦ, Ἀργούς.

ΣΕΛΙΔ, 403, στ. 5, Ὀλιγωρῶν τῇ πείνῃ.] Τῆς πείνης, δεῖν γράφειν ἔλεγον. Οὐ θαυμαστὸν δὲ εἰ καὶ τὴν βάρβαρον ἀντίπτωσιν προείλετο ὁ διασκευαστής, οὐδ' εἰ τὸ Ὀλιγωρῶν ἐπὶ τοῦ Λειποθυμῶν, ἢ τοῦ συνηθεστέρου Ὀλιγοθυμῶν, ἔταξε.—Στ. 8, Ἐπαπολαύων αὐτά.] Αὐτῶν ὤφειλεν εἰπεῖν, ἀντὶ τοῦ, Αὐτά.—Στ. 17, Σιμικίνθιον.] Τῶν Ῥωμαίων ἡ λέξις Semicinctum, ἧς χρῆσις καὶ ἐν ταῖς τῶν Ἀποστόλων Πράξεσι (ιθ', 12). Δύναται δὲ ἐνταῦθα κεφαλῆς περίζωμα ἢ περίθεμα, ὃν ἕτερος τοῦ μύθου διασκευαστής, Φάκελλον, εἴρηκε (σελ. 202). Ἄλλοι δὲ Φακεόλιον, ἢ Φακίολον, ἢ Φακιόλιον, ὡς καὶ ἡ παρ' ἡμῖν συνήθεια ὠνόμασαν, παραφθείραντες καὶ ταύτην τὴν λέξιν ἐκ τοῦ τῶν Ῥωμαίων Fasciola, τοῦ δηλοῦντος, ὥσπερ ἔφην (σελ. 436), τὸν Ἐπίδεσμον. « Σιμικίνθιον (φησὶ Σουΐδας), » φακέολον, ἢ σουδάριον »· καὶ αὖθις, « Φακιόλιον. Κρέων ἐν τῷ » πρώτῳ τῶν Ῥητορικῶν Κορδύλην φησὶ καλεῖσθαι παρὰ Κυπρίοις » τὸ κεφαλῆς περιείλημα, ὃ παρ' Ἀθηναίοις καλεῖται, Κρώβυλον » (γρ. Κρώβυλος), παρὰ δὲ Πέρσαις, Νιδάριον (γρ. Κιδάριον) ». —Στ. 23, Ἀντιποιεῖσθαι.] Γραπτέον οἶμαι, Ἀντευποιεῖσθαι· τοῦτο δὲ ἐπὶ τοῦ ἐνεργητικοῦ, Ἀντευποιεῖν, ἐκληπτέον.

ΣΕΛΙΔ. 405, στ. 4, Ἐπὶ τρεῖς.] Συνηθέστερον καὶ μᾶλλον ἐν χρήσει τὸ ἐπιῤῥηματικὸν, Ἐπιτρίς.

ΣΕΛΙΔ. 406, στ. 9, Τὴν κόπρον εὐθύς] Γραπτέον ἔοικεν ὧδέ τε καὶ ἀνωτέρω (σελ. 223), Τὴν κόπρον αὐτῆς, ὥσπερ φέρεται ἐν τῷ ἑξῆς παραλλήλῳ μύθῳ.

ΠΑΡΑΒΟΛΗ

ΤΟΥ ΗΜΕΤΕΡΟΥ ΚΕΙΜΕΝΟΥ ΠΡΟΣ ΤΟ ΤΟΥ ΠΡΟΤΕΡΟΥ ΕΚΔΟΤΟΥ (1).

	Τὸ ἡμέτερον κειμενον.	Τὸ τοῦ προτέρου ἐκδότου.
ΣΕΛ. 4, στ. 6,	Ἀνέστη, ὡς ἐκ τῆς κεφαλῆς.	Ἀνέστηκεν ἐκ τῆς κεφαλῆς ὡς.
6, 13,	Ἐσκέψω.	Ἔσκεψας.
ΣΕΛ. 8, στ. 1,	Συνέφερεν.	Προσέφερεν.
16,	Ὀλισθάνουσα.	Ὀλισθανοῦσα.
17,	᾿λειδόρει.	Λοιδορεῖ.
18,	Μὴ ᾿μέ περ.	Μὴ μέ περ.
ΣΕΛ. 9, στ. 2,	Λέγῃς.	Λέγεις.
7,	Τῶν δὲ τυπτόντων.	Τῶν δὲ τυπτόντων αὐτόν.
ΣΕΛ. 10, στ. 2,	Ἀλλ᾽ οὐκ ἂν ἔγωγε τοῦτο πρᾶξαι δυναίμην.	Ἀλλ᾽ οὐκ ἂν τοῦτο δυναίμην ἔγωγε πρᾶξαι.
7,	Αὐτήν.	Ταύτην.
10,	Προσαπειλήφασιν.	Προϋπειλήφασιν.

(1) Ἐκ τῶν προτέρων ἐκδοτῶν προηγουμένως ἐχρησάμην τῷ Ἐρνεστίῳ, μύθους Αἰσωπείους 296 ἐκδόντι ἐν Λειψίᾳ κατὰ τὸ 1781 ἔτος· τῶν ἐκείνῳ δὲ παραλελειμμένων τοὺς μὲν ὑπὸ Ἀφθονίου καταλογάδην, καὶ τοὺς ὑπὸ τοῦ Ἰγνατίου (τοῦ ψευδῶς καλουμένου Γαβρίου) τετραστίχως γεγραμμένους ἠρανισάμην ἐκ τῆς Φραγκοφορτιανῆς ἐκδόσεως 1610 τοῦ Νευελέτου· τῶν δὲ λοιπῶν, τοὺς μὲν ἐκ τῆς ἐν Λειψίᾳ 1741 τοῦ Ὠπτεμάννου (Hauptmann), καὶ ἐκ τῆς 1776 τοῦ Εὐσιγγήρου (Heusinger), τοὺς δὲ ἐκ διαφόρων ἄλλων, τῶν ἐν ταῖς σημειώσεσι δεδηλωμένων, παρείληφα. Διεσκεύακα δὲ τὸ κείμενον τὰ μὲν ἐκ διαφόρων γραφῶν, ἢ ἐκδόσεων, ἢ διορθώσεων, εἰληφώς, πλεῖστα δὲ καὶ αὐτὸς διορθώσας.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

	Τὸ ἡμέτερον κείμενον.	Τὸ τοῦ προτέρου ἐκδότου.
ΣΕΛ. 10, στ. 18,	Πρὸς ταῦτα δέ.	Πρὸς τοῦτο δέ.
21,	Ἰδοὺ ἡ Ῥόδος.	Ἰδοὺ Ῥόδος.
Σ. 11, στ. 14,	Ὦ Ἄπολλον.	Ἄπολλον.
14,	Μετὰ χεῖρας.	Μετὰ χεῖρα.
20,	Ἀποδεῖξαι.	Ὑποδεῖξαι.
Σ. 12, στ. 1,	Ἐπηρώτησε.	Ἐπερώτησε.
3,	Εἴπῃ.	Εἴπειεν.
—	Προενεγκεῖν.	Προσενεγκεῖν.
9,	Ἐπ' ἄγραν.	Εἰς ἄγραν.
22,	Ὄναρ.	Κατ' ὄναρ.
Σ. 16, στ. 1,	Ἢν δὲ μή.	Εἰ δὲ μή.
Σ. 18, στ. 10,	Δεήσει.	Δεῖ.
22,	Οὐ τόν.	Αὐτόν.
Σ. 19, στ. 19,	Ἴδοιεν.	Ἴδωσι.
Σ. 20, στ. 5,	Νεκρός.	Νεκρόν.
12,	Εὕροι.	Εὕρηκεν.
Σ. 21, στ. 11,	Ἐν καιρῷ ἀναγκης ὠφελεῖν, καὶ τὰς βοηθείας παρέχειν.	Ἐν καιρῷ ἀνάγκης τὰς βοηθείας παρέχειν.
15,	Ἐχρῆτο.	Ἔχρην.
17,	Ὅτε.	Ὅτι.
18,	Ὅτε.	Ὅτι.
Σ. 22, στ. 3,	Ἀφεώρα.	Ἐφεώρα.
Σ. 23, στ. 4,	Ἐπιδείξω.	Ὑποδείξω.
Σ. 25, στ. 17,	Ὁμοῦ νεβρῷ.	Ὁμοῦ βουνεύρῳ.
20,	Τὸν νεβρόν.	Τὸ βούνευρον.
21,	Τοῦτον.	Τοῦτο.
Σ. 26, στ. 1,	Περὶ τούτου.	Περὶ τοῦτο.
5,	Δρομαῖος.	Δρομαίως.
22,	Τοῦτο δ' ὁ μύρμηξ.	Τοῦτο δὲ ὁ μύρμηξ.
Σ. 29, στ. 1,	Τὸν δὲ ποταμὸν οὐδὲ τὴν ἰδίαν.	Τὸν δὲ ποταμὸν τὴν ἰδίαν.
21,	Ὀρνιθοθήρου.	Ὀρνιθοθήρα.
23,	Τοὺς ἐνοικοῦντας.	Ἐνοικοῦντας.

	Τὸ ἡμέτερον κείμενον.	Τὸ τοῦ προτέρου ἐκδότου.
Σ. 30, στ.	7, Διανενέμημαι.	Διανέμημαι.
Σ. 31, στ.	7, Αὔτη.	Αὐτή.
Σ. 32, στ.	6, Οἱ μηθέν.	Οἱ μηδέν.
Σ. 34, στ.	14, Ἤ τι τοιοῦτον.	Ἢ πλοῦτον.
Σ. 35, στ.	4, Φυγόντων βατράχων.	Φυγόντα βατράχῳ.
Σ. 37, στ.	21, Θλάσεν.	Θλάσας.
Σ. 38, στ.	2, Τοῦ δυνατοῦ.	Τῷ δυνατῷ.
	4, Ἀφαλομένης.	Ἀφαλλομένης.
Σ. 39, στ.	10, Ἐλαττόνων.	Ἐλάττονα.
	11, Εἰσιᾶσιν.	Εἰσίασιν.
Σ. 40, στ.	20, Δόξαντος.	Δόξαν αὐτῷ.
Σ. 41, στ.	17, Τῶν πεζῶν ζώων.	Τῶν πεζῶν.
Σ. 42, στ.	4, Κρίνονται.	Γίνονται.
	16, Ηὐξήθη.	Ηὐξήνθη.
Σ. 43, στ.	1, Παρῆσαν.	Παρῆσαν.
Σ. 44, στ.	4, Οὐδὲν γάρ.	Οὐδὲ γάρ.
Σ. 45, στ.	9, Χαλαστραίοις.	Χαλάστραις.
	15, Ῥύμματα.	Ῥύμαλα.
	16, Μεταβαλεῖν.	Μεταβάλλειν.
Σ. 47, στ.	2, Συνελήφθην.	Συνελήφθη.
	3, Ἐσωφρονίσθην.	Ἐσωφρονίσθη.
Σ. 48, στ.	19, Τούτῳ.	Τοῦτο.
Σ. 49, στ.	5, Τηνικαῦτα ἐμέ.	Τηνικαῦτά με.
	9, Αὐτῷ.	Αὐτόν.
Σ. 50, στ.	6, Ζῶα, ἔφη, τόν.	Ζῶα, τόν.
Σ. 51, στ.	6, Οὗτος.	Οὕτως.
Σ. 55, στ.	10, Καταλείποντες.	Καταλιπόντες.
Σ. 58, στ.	3, Ἀπολείποντες.	Ἀπολιπόντες.
	4, Οὐδὲ ἐς μίαν.	Οὔτε ἐς μίαν.
Σ. 60, στ.	14, Τίνες ἐςέ.	Τίνες τε ἐςέ.
Σ. 63, στ.	17, Ἥλλετο.	Ἥλατο.
Σ. 64, στ.	10, Προσαπολλύντες.	Προσαπολοῦντες.
	18, Ἐπώαζε.	Ποάζουσα ἐπεκάθητο.
Σ. 65, στ.	1, Πρῶτον.	Πρότερον.
	4, Ἐπιδείξηται.	Επεδείξατο.

	Τὸ ἡμέτερον κείμενον.	Τὸ τοῦ προτέρου ἐκδότου.
Σ. 66, στ. 12,	Ὅτε δή... ἐγγίσασα.	Ὅτε δέ... ἐγγίσας.
Σ. 67, στ. 11,	Ἱμάτιον συγκαταφαγόντα.	Ἱμάτια συγκαταφαγόντα.
Σ. 70, στ. 1,	Καθικέτευε.	Καὶ ἱκέτευε.
—	Αὐτῇ.	Αὐτήν.
3,	Τοῦ δρυοτόμου.	Τὸν δρυοτόμον.
Σ. 71, στ. 14,	Τυπτήσαντα.	Τυπτήσαντι.
Σ. 72, στ. 2,	Τῶν τις δὲ κυνῶν, τῶν καθ' ὁδὸν αὐτῷ συναντώντων.	Τῶν δὲ κυνῶν τις τῶν καθ' ὁδὸν αὐτῷ συναντῶν.
Σ. 73, στ. 3,	Θηρᾶν.	Θήραν.
4,	Οὕς.	Ἅς.
10,	Τὸν μόσχον.	Μόσχον.
Σ. 76, στ. 9,	Μύρμηξ δ' ἔφησε κ. τ. λ. (Δ.Γ. Μύρμηξ πρὸς αὐτὸν εἶπε, Πῶς γὰρ οὐκ ἔχεις;).	
12,	Πρὸς τοὺς μὴ θέλοντας κ. τ. λ. (ΔΓ. Ὅτι τὸ ἐν καιρῷ ἀργεῖν, καὶ ἐπιζητεῖν ἀκαίρως, μάταιον).	
17,	Ἆρα πράττων διετέλεις.	Ἆρα διετέλεις.
19,	Εἰς τό.	Ὡς εἰς τό.
Σ. 77, στ. 15,	Θέλων (ΔΓ. Πλέον).	
16,	Μεῖζον (ΔΓ. Μείζων).	
17,	Πρὸς τοὺς ἐλπίδι κ. τ. λ. (Δ.Γ. Τοῦ πλείονος μὴ ἐρᾷν).	
Σ. 78, στ. 11,	Κατακλινθεὶς (Γράφε, Κατακλιθείς).	Καὶ κατακλινθείς.
Σ. 79, στ. 3,	Εὐπορίαν.	Πορείαν.
5,	Συνιοῦσα.	Συνεῖσα.
Σ. 81, στ. 17,	Θράσος.	Θάρσος.
Σ. 82, στ. 6,	Εὐθέως.	Εὐθύς.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

		Τὸ ἡμέτερον κείμενον.	Τὸ τοῦ προτέρου ἐκδότου.
Σ. 83, στ.	8,	Καὶ ὁ πατήρ.	Ὁ δὲ πατήρ.
Σ. 84, στ.	21,	Ὑποκλιθείς.	Ὑποκλινθείς.
Σ. 85, στ.	15,	Πνεύμασιν.	Πνεύμασι.
	16,	Ἕλιξι.	Ἄλεξι.
	17,	Πνεύμασιν.	Πνεύμασι.
Σ. 86, στ.	5,	Πρὸς δολίους ἄνδρας.	Πρὸς ἄνδρας.
	17,	Μηδ' ἄλλο κ. τ. λ. (Δ.Γ. Μὴ δῶρον ἄλλο, φησὶν, ἢ τοῦτο σκόπει).	
	18,	Πρὸς τοὺς ἐπικύνδυνον κ. τ. λ. (Δ.Γ. Μεγα κέρδος ὑπὸ κακοῦ μὴ βλαβῆναι).	
Σ. 87, στ.	13,	Εὔκολος ἡ σωτηρία.	Εὔκολον εἰς σωτηρίαν.
	14,	Ἐκφεύγοντα.	Ἐκφυγόντα.
Σ. 88, στ.	6,	Χρή τινα.	Χρή τινι.
Σ. 89, στ.	1,	Ὁ δὲ ἦν κατηφὴς, καὶ οὐδὲν ἤσθιεν ἐκ της λύπης· ὅμοιος δὲ ἦν βασιλεῖ δεσμώτῃ. Ἕτερος.	Ὁ δὲ κατηφὴς ὑπῆρχεν ἐν τῆς λύπης. Ἕτερος.
	14,	Καὶ τὶ τοῦτον, τοιοῦτον ὄντα.	Καὶ τὶ τοιοῦτον ὄντα.
Σ. 90, στ.	8,	Ζωῆς.	Ὥρης.
	9,	Χαίροις.	Ζώοις.
Σ. 91, στ.	2,	Τεθνηκυίας.	Τεθνευΐας.
	4,	Ἀπελάσας.	Γελάσας.
	6,	Γινομένου.	Γενομένου.
	21,	Ἡ προσπεσών.	Ἢ πρὸς πασῶν.
	22,	Μὴ δῆτα φήσῃς.	Μὴ δὴ σαφήσοις.
Σ. 92, στ.	2,	Σχηματίσας ἑαυτόν.	Σχηματισθεὶς ἑαυτόν.
	3,	Πρόσφορα λαβὼν ἐργαλεῖα.	Προσφέρων ἐργαλεῖα.
Σ. 93, στ.	13,	Εὔκολος.	Εὔκολον.

	Τὸ ἡμέτερον κείμενον.	Τὸ τοῦ προτέρου ἐκδότου.
Σ. 93, στ. 13,	Μεγάλως.	Μεγάλων.
—,	Τοὺς δὲ μεγάλους ὄντας.	Τοὺς δὲ μέγα ὄντας.
14,	Ἴδοις.	Ἴδῃς.
Σ. 94, στ. 4,	Δι' ἀδυναμίαν.	Δι' ἀδυναμίας.
11,	Θηλαζόντων, ἀρνόν.	Θηλαζόντων, τὸν ἄρνον.
23,	Οὐ πέπειρος.	Μὴ πέπειρος.
Σ. 95, στ. 1,	Κοιλώματος.	Κοίλωμα.
5,	Τὴν ὁδόν.	Τήνδε.
10,	Ἐν πήρᾳ βοσκοῦ ἐθεάσατο.	Ἐν πείνῃ ἐθεάσατο βοσκοῦ.
19,	Ζημίαις ἴσαις.	Ζημίας ἴσας.
Σ. 97, στ. 10,	Τὸν Νεῖλον ποταμόν.	Τοῦ Νείλου ποταμοῦ.
Σ. 98, στ. 2,	Νεωτέρῳ αὐτῆς.	Νεωτέραν αὐτῆς.
3,	Παρεγίνετο.	Παρεγένετο.
5,	Ἀπέσπα.	Ἐπέσπασεν.
6,	Τιλλόμενον.	Τιλλομένων.
15,	Διεννηνοχυῖαι (Ἴδε τὰς Σημειωσ. σελ. 420).	Δ' ἐνηνοχυῖαι.
Σ. 99, στ. 7,	Πολλάκις βλάβη γίνεται μεγάλη.	Πολλάκις τύχῃ βλάβην γίνεσθαι μεγάλην.
18,	Τούτου.	Ταύτης.
Σ. 100, στ. 1,	Φιλανθρωπότατον.	Φιλάνθρωπον.
5,	Βιοῦντας.	Βιῶντας.
Σ. 102, στ. 23,	Εἷλκον.	Εἵλκοντο.
	Τοῦ δὲ ἄξονος τρίζοντος.	Οἱ δὲ ἄξονες τρίζοντες.
24,	Αὐτὸν, Ὦ οὗτος.	Αὐτοὺς, Ὦ οὗτοι.
25,	Σὺ τί κραυγάζεις;	Διὰ τί κραυγάζετε;
Σ. 103, στ. 1,	Μεγίστην πολλοί.	Μεγίστῃ πόλει.
14,	Πάλιν εἰς.	Πάλιν αὐτὴν εἰς.
Σ. 104, στ. 9,	Ἣν γαλῆ· φανέντι.	Γαλῆ δὲ, τῷ φανέντι.
Σ. 105, στ. 9,	Δέσμην.	Δεσμήν.
10,	Δέσμην μίαν.	Εἰς δεσμὴν μίαν.
11,	Δέσμην.	Δεσμήν.
20,	Γεωργός.	Ὁ γεωργός.

ΣΕΛ

	Τὸ ἡμέτερον κείμενον.	Τὸ τοῦ προτέρου ἐκδότου.
Σ. 105, στ. 22,	Ἱκέτευεν ἀφεθῆναι, λέγων.	Ἱκέτευε λέγων ἀφεθῆναι.
Σ. 106, στ. 18,	Πρὸς φίλον τινὸς κ. τ. λ. (Ἑτερ. Κακοῖς μὴ συναγελάζεσθαι. Ἀλλ. Ἀδικίᾳ μὴ συμφέρεσθαι).	
Σ. 107, στ. 6,	Καὶ τὸν γεωργόν.	Καὶ αὐτὸν γεωργόν.
16,	Σφαγῆς.	Σφαγῇ.
Σ. 108, στ. 5,	Κοιτάζει.	Κοιτάζῃ.
6,	Ὠχριάσας.	Ὠχριώσας.
12,	Εἶδες ἴχνη.	Ἴχνη εἶδες.
13,	Εἰ θέλεις.	Ἐθέλεις.
14,	Ἴχνους.	Ἴχνος.
15,	Πρὸς ἀνθρώπους κ. τ. λ. (Ἀλλ. Κατὰ ἀπόντων μὴ θρασύνεσθαι).	
Σ. 109, στ. 6,	Παρεχομένου.	Παρασχομένου.
8,	Χρήσασθαι.	Χρήσεσθαι.
12,	Καθῆσο.	Καθίσῃ.
Σ. 110,	ΚΑΡΙΣ.	ΣΚΑΡΟΣ.
1,	Φάλαιναι.	Φάλαινα.
2,	Καρίς.	Σκάρος.
5,	Ἢ σοῦ.	Ἢ σου.
8,	Ἐκείνων οὐ πάνυ.	Ἐκείνων μὲν πάντη.
15,	Κεχόλωται.	Κεχώληται.
19,	Ἔσχιζον, ἐξ αὐτῆς σφῆνας ποιήσαντες. Ἡ δέ.	Ἔσχιζον, οἱ δὲ ἐξ αὐτῆς σφῆνας ποιήσαντες, ἔσχιζον. Ἡ δέ.
Σ. 112, στ. 5,	Κἀκεῖ συλληφθῆναι.	Κἀκεῖσε ὑπὸ τοῦ λέοντος συλληφθῆναι.
25,	Χρείαν.	Χρεία.
Σ. 114, στ. 3,	Μετὰ λύπης.	Κατὰ λυπῆς.
5,	Ἐπὶ δέσμῃ ἀκανθῶν.	Ἐπὶ δεσμίᾳ ἀκάνθων.
10,	Ἀπῄει.	Ἀπίῃ.
7,	Ἐπιχειρήσαντα.	Ἐπιχειρίσαντα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

	Τὸ ἡμέτερον κείμενον.	Τὸ τοῦ προτέρου ἐκδότου.
Σ. 114, στ.	14, Ἐν τῶν.	Ἐκ τῶν.
	16, Παρεκάλει.	Προεκάλει.
Σ. 115, στ.	10, Ἐκεκράγεισαν.	Ἐκεκράγησαν.
	14, Δεῖται.	Δεῖ.
	24, Ἀποκατέστησεν.	Ἀπεκατέστησεν.
Σ. 116, στ.	1, Τοξείας.	Τοξίας.
	2, Ἐντείναντος.	Ἐκτείναντος.
	Τὸ βέλος.	Τοῦ βέλους.
	5, Γέλωτα.	Γέλωτος.
	16, Δοκοῦσί τι ἔχειν.	Δοκοῦσιν αὐχεῖν.
Σ. 118, στ.	8, Πρώτη.	Πρῶτον.
Σ. 120, στ.	7, Φανερὸν δὲ ᾗ ἕκαστον ὧν χρείαν εἶχον.	Φανερὸν δὲ εἴη ἕκαστον, οὗ χρείαν εἶχον.
	8, Ὑποθεῖναι.	Ἀποθεῖναι.
Σ. 121, στ.	10, Αὐτόν.	Ἑαυτόν.
	11, Δι' ἥν.	Δι' ἧς.
	14, Ἥμην.	Ἧμεν.
	21, Ὑπερβήσῃ.	Ὑπερβήσειν.
	24, Κἀκεῖνος.	Κἀκεῖνοι.
Σ. 122, στ.	10, Ἐπαιρέσθω.	Ἐπαίρεσθαι.
Σ. 123, στ.	3, Ἀφ' ὧν.	Ἐφ' ὧν.
	9, Σαίνει.	Σείει.
	11, Μόνους εἰώθασι.	Ἐκεῖνοι εἰώθασι.
	24, Χολήν.	Χόλον.
Σ. 124, στ.	2, Ἐπιτιθῶνται.	Ἐπιτίθενται.
	3, Προσδοκωμένου.	Προσδοκουμένου.
	9, Περισσοτέρων.	Περισσότερον.
	12, Ἀλλοτρίοις.	Ἄλλοις.
	16, Προσαφελέσθαι.	Προσαφελεῖσθαι.
	19, Ἐζήτει.	Ἐξῄτει.
Σ. 125, στ.	9, Τῇ δέ.	Τῷ δέ.
	20, Διὰ φθόνον.	Διὰ φθόνου.
Σ. 126, στ.	8, Ἐμφιλοχωροῦσαν.	Ἐμφιλοχωρήσασαν.
	12, Ἐκάθισεν.	Ἐκάθευδεν.
	13, Γένωνται.	Γίνωνται.

	Τὸ ἡμέτερον κείμενον.	Τὸ τοῦ προτέρου ἐκδότου.
Σ. 127, στ. 11,	Ὑμεῖς ἂν ἀδυνάτως.	Ὑμεῖς ἀδυνάτως.
Σ. 129, στ. 13,	Αἰσθόμενος.	Αἰσθανόμενος.
13,	Τί ἂν εἴη.	Τί ἦ.
19,	Προσκτᾶται.	Κτᾶται.
Σ. 131, στ. 3,	Ἐπῄνει.	Ἐπαινεῖ.
22,	Διενήνοχας.	Διενήνοχεν.
23,	Προσήκουσαν.	Προύχουσαν.
Σ. 132, στ. 19,	Βοᾶν τορόν.	Βοᾶν τυρόν.
